ἀργυρόω argento induco, met. Ne. X 43: Σικυωνόθε δ' ἀργυρωθέντες σὺν οἰνηραῖς φιάλαις ἀπέβαν: argento donati; ἀπὸ Σικυῶνος δὲ καὶ τῶν ἐκεῖσε Πυθίων ἀργυραῖς φιάλαις τιμηθέντες ἀνεχώρησαν ἐπὶ τὸ Ἄργος οἱ πρόγονοι τοῦ Θειαίου. Schol. Is. II 8: οὐδ' ἐπέρναντο γλυκεῖαι μελιφθόγγου ποτὶ Τερψιχόρας ἀργυρωθεῖσαι πρόσωπα μαλθακόφωνοι ἀοιδαί: ἀργυρωθεῖσαι ἤτοι πρόσωπον κεκοσμημέναι καὶ λαμπρυνθεῖσαι ὡς τὸ ὤνια ὑπὸ τῶν πωλούντων ἐκοσμοῦντο. Schol.; tristiorem et frigidiorem argenti colorem intelligit Dissen.

Ἀργώ Argo, Iasonis et Argonautarum navis Ol. XIII 54: Μήδειαν —, ναΐ σώτειραν Ἀργοῖ καὶ προπόλοις. Py. IV 184: γλυκὺν ἡμιθέοισιν πόθον ἔνδαιεν Ἥρα ναὸς Ἀργοῦς. IV 25: ἄγκυραν —, θοᾶς Ἀργοῦς χαλινόν.

ἄρδω irrigo Ol. V 12: ὀχετούς, Ἵππαρις οἷσιν ἄρδει στρατόν: ποτίζει. Schol. — met. *colo, foveo* Is. V (VI) 64: τὰν Ψαλυχιαδᾶν δὲ πάτραν Χαρίτων ἄρδοντι καλλίστᾳ δρόσῳ: τοῖς ὕμνοις. Schol. audacius Ol. V 23: ὑγίεντα δ' εἴ τις ὄλβον ἄρδει —, μὴ ματεύσῃ θεὸς γενέσθαι: „h. e. αὔξει, quod plantae rigatae aluntur" Boeckh.

Ἀρέας (Ἀρείας) πόρος v. **Ῥέα.**

Ἀρέθουσα *Arethusa*, fons Siciliae ad Syracusas aquas profundens Py. III 69: μόλον Ἰονίαν τέμνων θάλασσαν Ἀρέθουσαν ἐπὶ κράναν παρ' Αἰτναῖον ξένον, ὃς Συρακόσσαισι νέμει βασιλεύς.

ἀρείων praestantior, melior Ne. VII 101: ἔχοιεν αἰεὶ γέρας τό περ νῦν καὶ ἄρειον ὄπιθεν. Py. VIII 49: ὁ δὲ καμὼν προτέρᾳ πάθᾳ νῦν ἀρείονος ἐνέχεται ὄρνιχος ἀγγελίᾳ Ἄδραστος: faustioris. Ne. VIII 5: τῶν ἀρειόνων ἐρώτων ἐπικρατεῖν δύνασθαι. pro praedic. Is. VII (VIII) 13: τὸ δὲ πρὸ ποδὸς ἄρειον αἰεὶ [σκοπεῖν] χρῆμα πᾶν: h. e. „praesentia semper prae ceteris curanda sunt" Dissen.

ἀρετά (sg. ἀρετά, -ᾶς, -ᾷ, -άν. pl. ἀρεταί, -ᾶν; -αῖσι(ν), -αῖς; -άς) *virtus* 1) quaevis praestantia vel animi vel corporis vel fortunae Py. I 94: οὐ φθίνει Κροίσου φιλόφρων ἀρετά. Ol. I 13: δρέπων μὲν κορυφὰς ἀρετᾶν ἄπο πασᾶν, ἀγλαΐζεται δὲ καὶ μουσικᾶς ἐν ἀώτῳ (Hiero). IX 101: τὸ δὲ φυᾷ κράτιστον ἅπαν· πολλοὶ δὲ διδακταῖς ἀνθρώπων ἀρεταῖς κλέος ὤρουσαν ἀρέσθαι. Py. XI 54: μέμφομ' αἶσαν τυραννίδων· ξυναῖσι δ' ἀμφ' ἀρεταῖς τέταμαι. I 41: ἐκ θεῶν γὰρ μαχαναὶ πᾶσαι βροτέαις ἀρεταῖς. Ne. IV 41: ἐμοὶ δ' ὁποίαν ἀρετὰν ἔδωκε Πότμος ἄναξ, εὖ οἶδ' ὅτι χρόνος ἕρπων πεπρωμέναν τελέσει: facultatem. III 42: μυριᾶν δ' ἀρετᾶν ἀτελεῖ νόῳ γεύεται (ψεφεννὸς ἀνήρ). Ol. III 43: νῦν γε πρὸς ἐσχατιὰν Θήρων ἀρεταῖσιν ἱκάνων ἅπτεται οἴκοθεν Ἡρακλέος σταλᾶν, [cf. Is. III 31 (IV 13). fr. 265 (221): ἀρχὰ μεγάλας ἀρετᾶς, ὤνασσ' Ἀλάθεια. Ol. II 12. VI 72. VII 43. Py. II 14. Ne. III 74. fr. 1 (4), 5. 108 (75), 2. — de pietate Py. VI 42: ἐδόκησέν τε (Antilochus) — ὕπατος ἀμφὶ τοκεῦσιν ἔμμεν πρὸς ἀρετάν: v. ἀμφί II) 3). — 2) imprimis: quae vere virum decet ornatque, fortitudo quum in bello tum in certaminibus ludicris spectata indeque reportata laus victoriae Py. I 80: παίδεσσιν ὕμνον Δεινομένεος τελέσαις,

τὸν ἐδέξαντ᾽ ἀμφ᾽ ἀρετᾷ, πολεμίων ἀνδρῶν καμόντων, cf. II 62. Ol. XIII 51: πόλεμόν τ᾽ ἐν ἡρωίαις ἀρεταῖσιν οὐ ψεύσομ᾽ ἀμφὶ Κορίνθῳ. Py. IV 187: ἐπὶ καὶ θανάτῳ φάρμακον κάλλιστον ἑᾶς ἀρετᾶς ἅλιξιν εὑρέσθαι σὺν ἄλλοις. Is. IV (V) 45: τετείχισται δὲ πάλαι πύργος ὑψηλαῖς ἀρεταῖς ἀναβαίνειν. Py. VIII 22: ἀρεταῖς κλειναῖσιν Αἰακιδᾶν. Ol. I 92 (89). Ne. I 34. III 32. Is. III 56 (IV 38). V (VI) 56. VII 48 (VIII 53). — Py. V 2: ὁ πλοῦτος εὐρυσθενής, ὅταν τις ἀρετᾷ κεκραμένον καθαρᾷ βροτήσιος ἀνὴρ πότμου παραδόντος αὐτὸν ἀνάγῃ πολύφιλον ἑπέταν, cf. Ol. II 58 (53). Ol. VII 89: ἄνδρα τε πὺξ ἀρετὰν εὑρόντα. VIII 6: μαιομένων μεγάλαν ἀρετὰν θυμῷ λαβεῖν, cf. Py. IX 76. V 98. Ne. VI 54 (47). Is. III 4. Ol. XI 6. Ne. VI 27 (23): τρεῖς ἀεθλοφόροι πρὸς ἄκρον ἀρετᾶς ἦλθον. V 52: πύκταν τέ νιν καὶ παγκρατίῳ φθέγξαι ἑλεῖν Ἐπιδαύρῳ διπλόαν νικῶντ᾽ ἀρετάν: victoriae laudem, cf. Is. IV (V) 17: τὶν δ᾽ ἐν Ἰσθμῷ διπλόα θάλλοισ᾽ ἀρετά, Φυλακίδα, κεῖται — παγκρατίου. Ol. V 15. Ne. VIII 40. IX 54. X 2. Ol. III 37: ἀγῶνα νέμειν ἀνδρῶν τ᾽ ἀρετᾶς πέρι καὶ ῥιμφαρμάτου διφρηλασίας, cf. Is. III 13. Py. X 23: χερσὶν ἢ ποδῶν ἀρετᾷ κρατήσαις. Ol. VI 9: ἀκίνδυνοι δ᾽ ἀρεταὶ οὔτε παρ᾽ ἀνδράσιν οὔτ᾽ ἐν ναυσὶ κοίλαις τίμιαι. IV 9: χρονιώτατον φάος εὐρυσθενέων ἀρετᾶν. V 1: ὑψηλᾶν ἀρετᾶν καὶ στεφάνων ἄωτον γλυκὺν τῶν Οὐλυμπίᾳ, cf. Ne. III 8. Ol. III 18: φύτευμα ξυνὸν ἀνθρώποις στέφανόν τ᾽ ἀρετᾶν. Ne. I 9: κείνου σὺν ἀνδρὸς δαιμονίαις ἀρεταῖς. Is. V (VI) 11: δαπάνᾳ τε χαρεὶς καὶ πόνῳ πράσσει θεοδμάτους ἀρετάς. Ol. XIII 15: νικαφόρον ἀγλαΐαν ὤπασαν ἄκραις ἀρεταῖς ὑπερελθόντων ἱεροῖς ἐν ἀέθλοις. Is. I 22: λάμπει δὲ σαφὴς ἀρετὰ ἐνσταδίοις. Ne. VII 50: Αἴγινα, τεῶν Διός τ᾽ ἐκγόνων θρασύ μοι τόδ᾽ εἰπεῖν φαενναῖς ἀρεταῖς ὁδὸν κυρίαν λόγων οἴκοθεν, ubi ἀρεταῖς pendet ab ὁδὸν λόγων; v. θρασύς. Ol. IX 16. 83. X 20. Ne. VII 7. XI 37. Is. I 41. III 21 (IV 3). VI (VII) 22. fr. 228 (252).

ἀρήγω *auxilior, opitulor, prosum,* c. dat. Ne. I 49: γυναῖκας, ὅσαι τύχον Ἀλκμήνας ἀρήγοισαι λέχει. Py. II 63: νεότατι μὲν ἀρήγει θράσος δεινῶν πολέμων. abs. Py. II 94: φέρειν δ᾽ ἐλαφρῶς ἐπαυχένιον λαβόντα ζυγὸν ἀρήγει.

ἀρήιος *Mavortius, fortis* Ol. II 46 (42): Ἐριννὺς ἔπεφνέ οἱ σὺν ἀλλαλοφονίᾳ γένος ἀρήιον: Eteoclem et Polynicem.

ἀρηίφιλος *a Marte dilectus* Is. VII (VIII) 26: ἀντίθεοι ἀρίστευον υἱέες υἱέων τ᾽ ἀρηίφιλοι παῖδες ἀνορέᾳ.

Ἄρης (Ἄρης, Ἄρεος; Ἄρεϊ et Ἄρει, cuius paenultima ter producitur, bis brevis est Ne. X 84. Py. XI 36, semel anceps Is. III 33) *Mars* Ol. X 15: μέλει τέ σφισι Καλλιόπα καὶ χάλκεος Ἄρης. Is. III 33 (IV 15): ἱπποτρόφοι τ᾽ ἐγένοντο χαλκέῳ τ᾽ Ἄρει ἅδον. VI (VII) 25: χάλκασπις ᾧ πότμον μὲν Ἄρης ἔμιξεν. Py. I 10: βιατὰς Ἄρης. Ol. XIII 23: ἐν δὲ Μοῖσ᾽ ἁδύπνοος, ἐν δ᾽ Ἄρης ἀνθεῖ νέων οὐλίαις αἰχμαῖσιν ἀνδρῶν. Py. X 14: ἐν πολεμαδόκοις Ἄρεος ὅπλοις. Ne. X 84: Οὔλυμπον θέλεις ναίειν — σύν τ᾽ Ἀθαναίᾳ κελαινεγχεῖ τ᾽ Ἄρει. Py. XI 36: χρονίῳ σὺν Ἄρει πέφνεν τε ματέρα θῆκέ τ᾽ Αἴγισθον ἐν φοναῖς. Is. VII 37 (VIII 41): υἱὸν (Achillem) εἰσιδέτω θανόντ᾽ ἐν πολέμῳ, χεῖρας Ἄρεϊ τ᾽ ἐναλίγκιον στεροπαῖσί τ᾽ ἀκμὰν ποδῶν. Py. II 2: μεγαλοπόλιες ὦ Συράκοσαι, βαθυπολέμου τέμενος Ἄρεος. — met. *pugna, bellum* Py. V 85: καπνωθεῖσαν πάτραν ἐπεὶ ἴδον ἐν Ἄρει. Is. IV (V) 48: καὶ νῦν ἐν Ἄρει μαρτυρῆσαι κεν πόλις Αἴαντος ὀρθωθεῖσα ναύταις — Σαλαμίς. Ol. IX 76: οὐλίῳ — ἐν Ἄρει — ταξιοῦσθαι.

ἀρίγνως *valde notus v. clarus* Ne. V 12: Ἐνδαΐδος ἀρίγνωτες υἱοί (Bergk. sec. Lobeck. Pathol. p. 181 ἀριγνῶτες): Peleus et Telamo.

ἀρίγνωτος *valde notus* Py. IV 95: τάφε δ᾽ αὐτίκα παπτάναις ἀρίγνωτον πέδιλον δεξιτερῷ μόνον ἀμφὶ ποδί: τὸ ἄγαν αὐτῷ διὰ τὸν χρησμὸν εὔγνωστον ὑπόδημα τοῦ Ἰάσονος. Schol.

ἀρίζηλος *valde conspicuus, perillustris* Ol. II 61 (55): (πλοῦτος) ἀστὴρ ἀρίζηλος, ἐτυμώτατον ἀνδρὶ φέγγος.

ἀριθμέω *enumero* Ne. X 46: χαλκὸν μυρίον οὐ δυνατὸν ἐξελέγχειν· μακροτέρας γὰρ ἀριθμῆσαι σχολᾶς.

ἀριθμός 1) *numerus* Ol. XIII 46: σαφὲς οὐκ ἂν εἰδείην λέγειν ποντιᾶν ψάφων ἀριθμόν. — fr. 127 (236): μὴ

πρεσβυτέραν ἀριθμοῦ δίωκε, θυμέ, πρᾶξιν: „iusto numero“ Boeckh. — 2) *enumeratio* Ne. II 23: *τὰ δ᾽ οἴκοι μάσσον᾽ ἀριθμοῦ.* Ol. II 108 (98): *ψάμμος ἀριθμὸν περιπέφευγεν.*

Ἄρἴμα v. **Ἄρἴμοι** *Arima*, regio Ciliciae, v. *Arimi*, eius incolae fr. 93: *οἷος ἄπλατον κεράϊζες θεῶν Τυφῶν᾽ ἑκατοντακάρανον ἀνάγκᾳ, Ζεῦ πάτερ, ἐν Ἀρίμοις ποτέ*: cf. Hom. Il. II 782.

ἀρισθάρματος *curru v. victoria curuli praestantissimus* Py. V 30: *ἀλλ᾽ ἀρισθάρματον — γέρας ἀμφέβαλε τεαῖσιν κόμαις*: „praemium, coronam praestantissimo currui debitam“ Boeckh.

Ἀριστᾰγόρας *Aristagoras*, Arcesilai filius, e Pisandridarum nobili gente Tenedius, cui quum prytanis insulae esset creatus ad munus hoc auspicandum carmen Ne. XI 1 est scriptum; Ne. XI 3: *εὖ μὲν Ἀρισταγόραν δέξαι τεὸν ἐς θάλαμον.* XI 19: *ἓξ καὶ δέκ᾽ Ἀρισταγόραν ἀγλααὶ νῖκαι ἐστεφάνωσαν πάλᾳ καὶ μεγαυχεῖ παγκρατίῳ.*

Ἀρισταῖος *Aristaeus*, Apollinis et Cyrenes filius, deus rei pecuariae, avium, venationis ferarum, porro cultum olivarum, vitium, arvorum tuens, numen perantiquum, cuius cultus a Minyis Iolciacis Cyrenas translatus est; Py. IX 65: *νέκταρ ἐν χείλεσσι καὶ ἀμβροσίαν στάξοισι* (*Ὧραι*) *θήσονταί τε νιν ἀθάνατον Ζῆνα καὶ ἁγνὸν Ἀπόλλων᾽, ἀνδράσι χάρμα φίλοις, ἄγχιστον ὀπάονα μήλων, Ἀγρέα καὶ Νόμιον, τοῖς δ᾽ Ἀρισταῖον καλεῖν*: v. *ἀθάνατος*. fr. 251 (139): Pindarus — eum ait de Cea insula in Arcadiam migrasse ibique vitam coluisse. Nam apud Arcades pro Iove colitur, quod primus ostenderit, qualiter apes debeant reparari (Serv. Verg. Georg. I 14).

Ἀριστέας fr. 271 (194): *Ἀριστέαν μὲν τὸν Προκοννήσιον — τοῦ Ἀπόλλωνος ἐπισκήψαντος Μεταποντίνοις ἐν θεῶν μοίρᾳ μένειν* (*Κέλσος φησίν*). *Ἔοικε δ᾽ εἰληφέναι τὴν ἱστορίαν ἀπὸ Πινδάρου καὶ Ἡροδότου κτλ.* (Origin. adv. Cels. III p. 126 Spenc.).

ἀριστεύς *princeps, vir nobilis* Py. IX 107: *τὰν μάλα πολλοὶ ἀριστῆες ἀνδρῶν αἴτεον σύγγονοι.* Is. VII 55 (VIII 59): *Ἕκτορά τ᾽ ἄλλους τ᾽ ἀριστέας.*

ἀριστεύω (praes. *ἀριστεύει, -οισιν. ἀριστεύων, -οισαν.* ipf. *ἀρίστευον.* aor. *ἀρίστευσεν, -ατε*) *princeps sum, excello* Ol. III 42: *ἀριστεύει μὲν ὕδωρ*: sc. inter elementa. fr. 199 (213): *ἔνθα βουλαὶ γερόντων καὶ νέων ἀνδρῶν ἀριστεύοισιν αἰχμαί.* Py. III 74: *στεφάνοις, τοὺς ἀριστεύων Φερένικος ἕλεν Κίρρᾳ ποτέ*: vincens. Ne. XI 14: *ἔν τ᾽ ἀέθλοισιν ἀριστεύων ἐπέδειξεν βίαν.* add. accus. Ol. X 64: *στάδιον μὲν ἀρίστευσεν.* XIII 43: *ὅσσα τ᾽ ἐν Δελφοῖσιν ἀριστεύσατε.* dat. Ne. X 10: *γυναιξὶ καλλικόμοισιν ἀριστεύει πάλαι* (*Ἄργος*). Is. VII 25 (VIII 26): *τοῦ μὲν ἀντίθεοι ἀρίστευον υἱέες υἱέων τ᾽ ἀρηΐφιλοι παῖδες ἀνορέᾳ χάλκεον στονόεντ᾽ ἀμφέπειν ὅμαδον*: h. e. „excellebant fortitudine in pugnis administrandis“ Dissen. c. gen. Ne. I 14: *κατένευσέν τέ οἱ* (Proserpinae) *χαίταις, ἀριστεύοισαν εὐκάρπου χθονὸς Σικελίαν πίειραν ὀρθώσειν κορυφαῖς πολίων ἀφνεαῖς*: „terram ubertate prae aliis insignem“ Dissen. *ἀρίστην οὖσαν καὶ ἐπιτηδειοτάτην τῆς γῆς τῆς εὐκαρποτάτου.* Schol.

ἀριστογόνος *optimae subolis parens* Py. XI 3: *ἴτε σὺν Ἡρακλέος ἀριστογόνῳ ματρὶ πὰρ Μελίαν.*

Ἀριστόκλειδας *Aristoclides*, Aristophanis filius, Aegineta, cui pancratio victori carmen Ne. III scriptum est longiore post victoriam intervallo, sed ante Ol. 80, 1 (sec. Mezgerum ante Ol. 80, 3); Ne. III 15: *ἀγορὰν οὐκ ἐλεγχέεσσιν Ἀριστοκλείδας ἐὰν ἐμίανε κατ᾽ αἶσαν ἐν περισθενεῖ μαλαχθεὶς παγκρατίου στόλῳ.* III 67: *βοὰ δὲ νικαφόρῳ σὺν Ἀριστοκλείδᾳ πρέπει.*

ἀριστόμαχος *optime pugnans, excellens pugnā* Py. X 3: *ἀριστομάχου γένος Ἡρακλέος βασιλεύει.*

Ἀριστομένης *Aristomenes*, Xenarcis filius, Aegineta, cui lucta victori Ol. 82, 3 carmen Py. VIII scriptum est (sec. Bergk. bellis Persicis compositis ante Aeginetarum bellum cum Atheniensibus); Py. VIII 5: *Πυθιόνικον τιμὰν Ἀριστομένει δέκευ.* VIII 80: *ὦ ᾽ριστόμενες.*

ἀριστοπόνος *praeclare laborans v. operans, sollers* Ol. VII 50: *αὐτὰ δέ σφισιν* (Rhodiis) *ὤπασε τέχναν πᾶσαν ἐπιχθονίων Γλαυκῶπις ἀριστοπόνοις χερσὶ κρατεῖν.*

ἄριστος (sg. m. *ἄριστος.* n. *ἄρι-*

στον. pl. m. ἄριστοι) *optimus, praestantissimus* Ol. I 1: ἄριστον μὲν ὕδωρ: τῶν ἄλλων δηλονότι στοιχείων. Schol. „quia saluberrimum habetur“ Dissen. Py. II 56: τὸ πλουτεῖν δὲ σὺν τύχᾳ πότμου σοφίας ἄριστον. Ol. XIII 48: νοῆσαι δὲ καιρὸς ἄριστος. fr. 159 (132): ἀνδρῶν δικαίων χρόνος σωτὴρ ἄριστος. Ne. IV 1: ἄριστος εὐφροσύνα πόνων κεκριμένων ἰατρός. c. dat. Ne. VIII 8: ἔβλαστεν δ' υἱὸς Οἰνώνας βασιλεὺς χειρὶ καὶ βουλαῖς ἄριστος. — plur. pro subst. Is. VI (VII) 35: προμάχων ἀν' ὅμιλον, ἔνθ' ἄριστοι ἔσχον πολέμοιο νεῖκος ἐσχάταις ἐλπίσιν: fortissimi.

Ἀριστοτέλης *Aristoteles,* postea *Battus* appellatus h. e. rex (cf. Her. IV 155) Py. V 87: ἄνδρες —, τοὺς Ἀριστοτέλης ἄγαγε ναυσὶ θοαῖς ἁλὸς βαθεῖαν κέλευθον ἀνοίγων: Ἀριστοτέλης ἦν ὁ κτίσας τὴν Κυρήνην, ὁ Βάττος κληθείς, ὁ καὶ τὴν λεγομένην Σκυρωτὴν πλατεῖαν αὐτοῖς κατασκευάσας. Schol.

ἀριστοτέχνας *arte excellens,* de Iove fr. 57 (29): Δωδωναῖε μεγασθενες, ἀριστότεχνα πάτερ, cf. Plut. praec. rei publ. ger. c. 13: ὁ δὲ πολιτικὸς ἀριστοτέχνας ὢν κατὰ Πίνδαρον καὶ δημιουργὸς εὐνομίας καὶ δίκης, et de fac. in orbe lunae c. 13: ἢ τίνος γέγονε ποιητὴς καὶ πατὴρ δημιουργὸς ὁ Ζεὺς ὁ ἀριστοτέχνας.

Ἀριστοφάνης *Aristophanes,* Aristoclidae pater Ne. III 20: ἀνορέαις ὑπερτάταις ἐπέβα παῖς Ἀριστοφάνευς (var. Ἀριστοφάνους).

Ἀρκᾱδία *Arcadia* Py. III 26: ἐλθόντος γὰρ εὐνάσθη ξένου λέκτροισιν ἀπ' Ἀρκαδίας. Ol. III 27: δέξατ' ἐλθόντ' ἀπὸ δειρᾶν καὶ πολυγνάμπτων μυχῶν. VI 100: ματέρ' εὐμήλοιο λείποντ' Ἀρκαδίας. fr. 95 (63): ὦ Πάν, Ἀρκαδίας μεδέων. Ol. VI 80: Ἀρκαδίαν τ' εὐάνορα τιμᾷ (Ἑρμᾶς). VII 83: ὅ τ' ἐν Ἄργει χαλκὸς ἔγνω νιν τά τ' ἐν Ἀρκαδίᾳ ἔργα καὶ Θήβαις: „artis opera s. praemia, quales sunt lebetes, tripodes, crateres. Ac χαλκόν, vasa ahenea, etiam in Arcadia data, ubi Lycaea, Alcaea, Coreia, Hermaea agebantur, ipse Pindarus ostendit Ne. X 45 sequ.“ Dissen.

Ἀρκάς *Arcas* Ol. XIII 107: ὅσα τ' Ἀρκὰς ἀνάσσων μαρτυρήσει Λυκαίου βωμὸς ἄναξ (Herm., libri Ἀρκάσιν ἀνάσσων): v. ἀνάσσω. — plur. pro subst. *Arcades* Ol. IX 68: οἱ δ' Ἀρκάδες, οἱ δὲ καὶ Πισᾶται (ἀφίκοντο ξένοι). VI 34: ὃς ἀνδρῶν Ἀρκάδων ἄνασσε Φαισάνᾳ (Aepytus).

Ἀρκεσίλας *Arcesilaus* 1) Batti filius, Cyrenarum rex, cui curru victori Ol. 78, 3 (sec. Bergk. 79, 3) carmina Py. IV et V scripta sunt; Py. IV 1: σάμερον μὲν χρή σε παρ' ἀνδρὶ φίλῳ στᾶμεν, εὐίππου βασιλῆι Κυράνας, ὄφρα κωμάζοντι σὺν Ἀρκεσίλᾳ, Μοῖσα, Λατοίδαισιν ὀφειλόμενον Πυθῶνί τ' αὔξῃς οὖρον ὕμνων. IV 65: παισὶ τούτοις ὄγδοον θάλλει μέρος Ἀρκεσίλας: „quum Arcesilaus posterorum a Batto septimus sit, nota Battum simul numeratum“ Dissen. Py. V 102: (ἀκούοντι) σφὸν ὄλβον υἱῷ τε κοινὰν χάριν ἔνδικόν τ' Ἀρκεσίλᾳ. V 5: ὦ θεόμορ' Ἀρκεσίλα. IV 250: ὦ 'ρκεσίλα (var. ὦ Ἀρκ.). IV 298: Ἀρκεσίλα. — 2) pater Aristagorae Ne. XI 11: ἄνδρα δ' ἐγὼ μακαρίζω μὲν πατέρ' Ἀρκεσίλαν.

ἀρκέω *sufficio* Ol. IX 3: τὸ μὲν Ἀρχιλόχου μέλος φωνᾶεν Ὀλυμπίᾳ — ἄρκεσε Κρόνιον παρ' ὄχθον ἁγεμονεῦσαι κωμάζοντι — Ἐφαρμόστῳ.

ἅρμα (sg. ἅρμα, -ατι, -(α). pl. ἁρμάτων, -ασι(ν), -ατα) *currus* equis iunctus, quo vehuntur et homines et dei 1) in itinere Ol. VIII 49: Ὀρσοτρίαινα δ' ἐπ' Ἰσθμῷ ποντίᾳ ἅρμα θοὸν τάνυεν ἀποπέμπων Αἰακὸν δεῦρ' ἀν' ἵπποις χρυσέαις. de Ol. I 79 (77) v. infra 3). — met. Py. X 65: Θώρακος, ὅσπερ ἐμὰν ποιπνύων χάριν τόδ' ἔζευξεν ἅρμα Πιερίδων τετράορον: λέγει δὲ τὸν ὕμνον. Schol. Is. VII 62 (VIII 67): τὸ καὶ νῦν φέρει λόγον, ἔσσυταί τε Μοισαῖον ἅρμα Νικοκλέος μνᾶμα πυγμάχου κελαδῆσαι: „festinat Musarum currus, (quo vectus modo heroicas res Achillis cecini,) ut nunc etiam pugilis monumentum canatur“ Dissen. — de mercatura Is. IV (V) 5: νᾶες ἐν πόντῳ καὶ ὑφ' ἅρμασιν ἵπποι — ἐν ἁμίλλαισι θαυμασταὶ πέλονται: plaustra intelligit Mezger. cf. fr. 234 (258): ὑφ' ἅρμασιν ἵππος, ἐν δ' ἀρότρῳ βοῦς, ubi quod genus curruum dicatur ambigitur. — 2) in proelio Py. VI 32: Νεστόρειον γὰρ ἵππος ἅρμ' ἐπέδα Πάριος ἐκ βελέων δαϊχθείς. Ne. VI 58 (51): Ἀχιλεὺς — χαμαὶ καταβὰς ἀφ' ἁρμάτων φαεννᾶς υἱὸν εὖτ' ἐνάριξεν Ἀόος. — 3) in ludis Ne. IX 4: τὸ κρατήσιππον γὰρ ἐς

ἅρμ᾽ ἀναβαίνων. Ol. X 62: ἔλαχε στέφανον χείρεσσι ποσίν τε καὶ ἅρματι. Is. I 14: Ἡροδότῳ τεύχων τὸ μὲν ἅρματι τεθρίππῳ γέρας. Py. VI 17: εὔδοξον ἅρματι νίκαν Κρισαίαις ἐνὶ πτυχαῖς ἀπαγγελεῖ. I 33: Πυθιάδος δ᾽ ἐν δρόμῳ κᾶρυξ ἀνέειπέ νιν ἀγγέλλων Ἱέρωνος ὑπὲρ καλλινίκου ἅρμασι. Is. III 43 (IV 25): ἅ τε κὴν γουνοῖς Ἀθανᾶν ἅρμα καρύξαισα νικᾶν ἔν τ᾽ Ἀδραστείοις ἀέθλοις Σικυῶνος. Ne. IX 12: ἰσχύος τ᾽ ἀνδρῶν ἁμίλλαις ἅρμασί τε γλαφυροῖς ἔμφαινε κυδαίνων πόλιν. Is. I 54: ἄμμι δ᾽ ἔοικε Κρόνου σεισίχθον᾽ υἱὸν γείτον᾽ ἀμειβομένοις εὐεργέταν ἁρμάτων ἱπποδρόμιον κελαδῆσαι. III 16: ἴστε μὰν Κλεωνύμου δόξαν παλαιὰν ἅρμασιν. Py. XI 46: τὰ μὲν ἐν ἅρμασι (Bergk. coni. ἅμμασι) καλλίνικοι πάλαι Ὀλυμπίᾳ τ᾽ ἀγώνων πολυφάτων ἔσχον θοὰν ἀκτῖνα σὺν ἵπποις. Ol. I 113 (110): ἔτι γλυκυτέραν κεν ἔλπομαι σὺν ἅρματι θοῷ κλεΐξειν ἐπίκουρον εὑρὼν ὁδὸν λόγων. Ne. I 7: ἅρμα δ᾽ ὀτρύνει Χρομίου Νεμέα θ᾽ ἔργμασιν νικαφόροις ἐγκώμιον ζεῦξαι μέλος: Py. II 11: ξεστὸν ὅταν δίφρον ἔν θ᾽ ἅρματα πεισιχάλινα καταζευγνύῃ σθένος ἵππιον, ubi sellae currui impositae adiunguntur cetera currus instrumenta. Ol. I 79 (77): ἐμὲ δ᾽ ἐπὶ ταχυτάτων πόρευσον ἁρμάτων ἐς Ἆλιν, κράτει δὲ πέλασον: „Pelopi velocissimum currum dedit Neptunus et victoriam curulem nobilissimam; ac tam celeber erat in fabulis hic currus, ut etiam in proverbium abiret Λύδιον ἅρμα, v. fr. 206“ Dissen. Ne. VII 93: τετραόροισιν ὥθ᾽ ἁρμάτων ζυγοῖς ἐν τεμένεσσι δόμον ἔχει τεοῖς: v. ζυγόν. fr. 106 (73), 5: ἅρμα Θηβαῖον (vulg. Θηβαίων). fr. 206 (222): παρὰ Λύδιον ἅρμα πεζὸς οἰχνέων.

ἁρμασίδουπος fr. 17: ἁρμασιδούπους τοὺς ἱππικωτάτους (Eust. Pr. 16).

ἁρματηλάτας *curruum agitator* Py. V 114: ἔν τε Μοίσαισι ποτανὸς ἀπὸ ματρὸς φίλας. πέφανταί θ᾽ ἁρματηλάτας σοφός: Arcesilaus.

ἅρμενος *conveniens* Ne. III 58: γόνον τέ οἱ φέρτατον ἀτίταλλεν ἐν ἁρμένοισι πᾶσι θυμὸν αὔξων. Ol. VIII 72: Ἀΐδα τοι λάθεται ἅρμενα πράξαις ἀνήρ: ὁ παθὼν ἀρεστὰ τῇ ἑαυτοῦ γνώμῃ, ἤτοι εὐτυχήσας. Schol.

ἁρμόδιος *conveniens, gratus* Ne. I 21: ἔνθα μοι ἁρμόδιον δεῖπνον κεκόσμηται, ubi etiam „paratam“ coenam dici posse existimat Mezger.

ἁρμόζω (praes. ἁρμόζων, -οισα, -οντα. ipf. ἅρμοζον. aor. ἅρμοσαν. ἁρμόσαις) I) trans. 1) *apto, iungo, concinno*, c. dat. Is. VI (VII) 39: ἀείσομαι χαίταν στεφάνοισιν ἁρμόζων. met. Ne. VII 98: εἰ γάρ σφισιν ἐμπεδοσθενέα βίοτον ἁρμόσαις ἥβᾳ λιπαρῷ τε γήραϊ διαπλέκοις εὐδαίμον᾽ ἐόντα, ubi Bergkius διαπλέκειν scripsit ἁρμόσαις optativum esse censens secundum scholiastam. — de connubio a parentibus sollemniter iuncto Py. IX 13: ξυνὸν ἁρμόζοισα θεῷ τε γάμον μιχθέντα κούρᾳ θ᾽ Ὑψέος. IX 117: οὕτω δ᾽ ἐδίδου Λίβυς ἁρμόζων κόρᾳ νυμφίον ἄνδρα. — 2) *iungo regens ordinansque* Ne. VIII 11: ἐν Ἀθάναισιν ἅρμοζον στρατόν: „ἁρμόζειν στρατόν est κοσμεῖν, unde κοσμήτορες λαῶν dicti, et cogitandum de prisca Athenarum laude tactica“ Dissen. Py. III 113: ἐπέων κελαδεννῶν, τέκτονες οἷα σοφοὶ ἅρμοσαν: concinnarunt; „ultimum verbum accommodatum τέκτοσιν ἐπῶν, poetis“ Boeckh. — II) intr. *convenio* Py. IV 80: (ἐσθὰς) ἁ — Μαγνήτων ἐπιχώριος ἁρμόζοισα θαητοῖσι γυίοις: „tunicam habebant adstrictam, qua nunc Iason utitur, ut educatus apud Chironem Magnetem“ Dissen. Py. IV 129: ξείνι᾽ ἁρμόζοντα τεύχων: „epulas convenientes, non parcas“ Dissen., cf. ἁρμόδιος.

ἁρμονία 1) *harmonia* a) coniunctio, consensus Py. VIII 68: ἄναξ, ἑκόντι δ᾽ εὔχομαι νόῳ κατὰ τὶν ἁρμονίαν βλέπειν ἀμφ᾽ ἕκαστον ὅσα νέομαι (Pauw., libri κατά τιν᾽): „die Übereinstimmung mit dir“ Mezger. „tuum canticum“ Boeckh. „verba cum melodia, cantum“ Dissen., qui dat. τὶν refert ad εὔχομαι. — b) de musica: concentus Ne. IV 45: ἐξύφαινε, γλυκεῖα, καὶ τόδ᾽ αὐτίκα, φόρμιγξ, Λυδίᾳ σὺν ἁρμονίᾳ μέλος. — 2) **Ἁρμονία** *Harmonia*, filia Martis et Veneris, uxor Cadmi Py. III 91: Ἁρμονίαν γᾶμεν βοῶπιν (Κάδμος). fr. 29 (5), 6: γάμον λευκωλένου Ἁρμονίας ὑμνήσομεν. Py. XI 7: ὦ παῖδες Ἁρμονίας: Semele et Ino.

ἁρμῷ *nunc ipsum* fr. 10: ἐλπίσιν ἀθανάταις ἁρμῷ φέρονται: τὸ ἁρμῷ,

ἤγουν ἄρτι, ὃ παρ' ἑτέροις ἁρμοῖ λέγεται (Eust. pr. 21).

ἀρότας *arator* Is. I 48: *μηλοβότα τ' ἀρότα τ' ὀρνιχολόχῳ.* met. Ne. VI 37 (32): *Πιερίδων ἀρόταις δυνατοὶ παρέχειν πολὺν ὕμνον*: h. e. poetis, quippe qui „accepta semina laudum in arvis Musarum serant curentque ut laetae oriantur segetes" Dissen. v. *ἀρόω.*

ἄροτρον *aratrum* Py. IV 224: *Αἰήτας ἀδαμάντινον ἐν μέσσοις ἄροτρον σκίμψατο καὶ βόας.* IV 234: *σπασσάμενος δ' ἄροτρον.* fr. 234 (258): *ὑφ' ἅρμασιν ἵππος, ἐν δ' ἀρότρῳ βοῦς.*

ἄρουρα (sg. *ἀρούρας, -αν.* pl. *ἄρουραι, -αισι(ν), -αις*) *arvum*, ager, campus Py. IV 34: *ἁρπάξαις ἀρούρας δεξιτερᾷ προτυχὸν ξένιον μάστευσε δοῦναι.* Ne. XI 39: *μέλαιναι καρπὸν ἔδωκαν ἄρουραι.* VI 11 (9): *ἄγχι καρποφόροις ἀρούραισιν.* Py. XI 15: *ἐν ἀφνεαῖς ἀρούραισι Πυλάδα*: *ἐν τῷ προκειμένῳ ἀγῶνι τῆς Κίρρας, ἐν τοῖς Πυθίοις.* Schol. Pylades autem filius erat Strophii, regis Phocēi. Ol. XII 19: *ὁμιλέων παρ' οἰκείαις ἀρούραις.* II 16 (14): *εὔφρων ἄρουραν ἔτι πατρίαν σφίσιν κόμισον λοιπῷ γένει.* Is. I 35: *γαρύσομαι — τὰν Ἀσωποδώρου πατρὸς αἶσαν Ὀρχομένοιό τε πατρῴαν ἄρουραν.* Ne. V 8: *Αἰακίδας ἐγέραρεν ματρόπολιν τε, φίλαν ξένων ἄρουραν*: Aeginam. — met. de carmine pangendo Py. VI 1: *ἀκούσατ'· ἦ γὰρ ἑλικώπιδος Ἀφροδίτας ἄρουραν ἢ Χαρίτων ἀναπολίζομεν*: v. *κᾶπος.* — Py. IV 254: *ἐν ἀλλοδαπαῖς σπέρμ' ἀρούραις — δέξατο μοιρίδιον ἆμαρ* (var. *ἀρούραισι*): de gremio muliebri dici existimat Friederichs., alii de terris.

ἀρόω *aro*, met. Ne. X 26: *τύχᾳ τε μολὼν καὶ τὸν Ἰσθμοῖ καὶ Νεμέᾳ στέφανον Μοίσαισιν* (Heynius, libri et schol. *Μοίσαισί τ'*) *ἔδωκ' ἀρόσαι*: h. e. ad colendum vel in qua tanquam in agro elaborarent; „vulgo poetae arant et colunt arva Musarum" Dissen.

ἁρπάζω *rapio, arripio, corripio* Ol. I 40: *υἱὲ Ταντάλου, σὲ δ' ἀντία προτέρων φθέγξομαι — Ἀγλαοτρίαιναν ἁρπάσαι.* additur locus unde persona vel res rapitur Py. IX 6: *τὰν ὁ χαιτάεις ἀνεμοσφαράγων ἐκ Παλίου κόλπων ποτὲ Λατοΐδας ἅρπασ'.* III 43: *παῖδ' ἐκ νεκροῦ ἅρπασε.* Ne. X 67: *ἔνθεν ἁρπάξαντες ἄγαλμ' Ἀίδα, ξεστὸν πέτρον, ἔμβαλον στέρνῳ Πολυδεύκεος.*

ἁρπᾰλέος *cito cupideque arreptus* Py. VIII 65: *οἴκοι δὲ πρόσθεν ἁρπαλέαν δόσιν πενταεθλίου — ἐπάγαγες*: pergratum, iucundum. Py. X 62: *τῶν δ' ἕκαστος ὀρούει, τυχών κεν ἁρπαλέαν σχέθοι φροντίδα τὰν πὰρ ποδός.*

ἄρρηκτος *infragilis, firmus* Is. V 47: *τὸν μὲν* (Aiacem) *ἄρρηκτον φυάν, ὥσπερ τόδε δέρμα με νῦν περιπλανᾶται θηρός.*

Ἀρσῐνόα *Arsinoe*, nutrix Orestis Py. XI 17: *τὸν δὴ* (Orestem) *φονευομένου πατρὸς Ἀρσινόα Κλυταιμνήστρας χειρῶν ὕπο κρατερᾶν ἐκ δόλου τροφὸς ἄνελε*: *ἰδίως δέ φησιν ὁ Πίνδαρος Ἀρσινόην εἶναι τὴν Ὀρέστου τροφόν· Φερεκύδης δὲ Λαοδάμειαν λέγων αὐτὴν τὸν ταύτης φησὶ παῖδα ἀνῃρῆσθαι ὑπὸ Αἰγίσθου νομιζόμενον Ὀρέστην εἶναι.* Schol.

ἀρτεμία v. **ἀτρεμία.**

Ἄρτεμις (*Ἄρτεμις, -ιδος*) *Diana* dea, imprimis venatrix Ne. III 50: *τὸν* (Achillem) *ἐθάμβεον Ἄρτεμίς τε καὶ θρασεῖ' Ἀθάνα κτείνοντ' ἐλάφους ἄνευ κυνῶν δολίων θ' ἑρκέων.* Py. IV 90: *καὶ μὰν Τιτυὸν βέλος Ἀρτέμιδος θήρευσε κραιπνὸν ἐξ ἀνικάτου φαρέτρας ὀρνύμενον.* III 10: *Φλεγύα θυγάτηρ — δαμεῖσα χρυσέοις τόξοισιν ὕπ' Ἀρτέμιδος ἐν θαλάμῳ δόμον εἰς Ἀίδα κατέβα*: „obiit Dianae sagittis percussa, hoc est — ex pestilentia, quum multi simul perierint (v. 35—37)" Boeckh. Py. II 7: *ἀνέδησεν Ὀρτυγίαν στεφάνοις, ποταμίας ἕδος Ἀρτέμιδος*: „Diana in Peloponneso multis locis cum lacubus, fontibus, fluviis colebatur coniuncta, et inter fluvios quidem nominatim cum Cladeo et Alpheo, unde *ποταμία* dicta. Hoc loco *Ἀλφειῶα* intelligitur sive *Ἀλφειῶσα, Ἀλφειοῦσα, Ἀλφειονία.* Olympia in Ortygiam delata a primis colonis ibique magnopere culta" Dissen. cf. Ne. I 1: *ἄμπνευμα σεμνὸν Ἀλφεοῦ, κλεινᾶν Συρακοσσᾶν θάλος Ὀρτυγία, δέμνιον Ἀρτέμιδος.* fr. 250 (135): *Ἀλφειῷ καὶ Ἀρτέμιδι θύουσιν* (*Ἠλεῖοι*) *ἐπὶ ἑνὸς βωμοῦ. τὸ δὲ αἴτιον τούτων παρεδήλωσε — Πίνδαρος ἐν ᾠδῇ* (Pausan. V 14, 6).

ἄρτῐ *nunc ipsum* Py. IV 158: *σὸν δ' ἄνθος ἥβας ἄρτι κυμαίνει.*

ἀρτιεπής *disertus* Ol. VI 61: *ἀντ-*

ἐφθέγξατο δ' ἀρτιεπὴς πατρία ὄσσα: „diserta vox, ni fallor, opponitur omnibus obscuris, qualia sunt terrae motus, fulmina, similia“ Boeckh. Is. IV (V) 46: πολλὰ μὲν ἀρτιεπὴς γλῶσσά μοι τοξεύματ' ἔχει περὶ κείνων κελαδῆσαι.

ἄρτιος *aptus, rectus* Ol. VI 94: τὰν Ἱέρων καθαρῷ σκάπτῳ διέπων, ἄρτια μηδόμενος, φοινικόπεζαν ἀμφέπει Δάματρα: ἴσα καὶ δίκαια βουλευόμενος. Schol.

ἀρχά (sg. ἀρχά, -ᾶς, -ᾷ, -άν, -ά. pl. ἀρχαί, -αῖς) 1) *initium, principium, primordium, exordium* Py. X 10: Ἄπολλον, γλυκὺ δ' ἀνθρώπων τέλος ἀρχά τε δαίμονος ὀρνύντος αὔξεται. fr. 108 (75): θεοῦ δὲ δείξαντος ἀρχὰν ἕκαστον ἐν πρᾶγος εὐθεῖα δὴ κέλευθος ἀρετὰν ἑλεῖν, τελευταί τε καλλίονες. Ne. I 8: ἀρχαὶ δὲ βέβληνται θεῶν κείνου σὺν ἀνδρὸς δαιμονίαις ἀρεταῖς: h. e. „initia huius carminis ita sunt posita, ut a deis proficiscatur simul victoris mentione facta, itaque lyricae poesios legibus satisfactum“ Leutsch. sec. schol. Ol. XI 5: ὕμνοι ὑστέρων ἀρχὰ λόγων τέλλεται: „fundamenta et initia“ Dissen. Ol. X 78: ἀρχαῖς δὲ προτέραις ἑπόμενοι — κελαδησόμεθα βροντάν: ἤγουν τῇ παλαιᾷ συνηθείᾳ. Schol. fr. 137 (102): ὄλβιος ὅστις ἰδὼν κεῖν' εἶσ' ὑπὸ χθόν'· οἶδε μὲν βίου τελευτάν, οἶδεν δὲ διόσδοτον ἀρχάν. Py. IV 70: τίς γὰρ ἀρχὰ δέξατο (ἀρχή 'κδέξατο Bergk.) ναυτιλίας; I 3: τᾶς (φόρμιγγος) ἀκούει μὲν βάσις ἀγλαΐας ἀρχά. fr. 122 (87), 11: τοιάνδε μελίφρονος ἀρχὰν εὑρόμενον σκολίου. Ol. VII 20: ἐθελήσω τοῖσιν ἐξ ἀρχᾶς ἀπὸ Τλαπολέμου ξυνὸν ἀγγέλλων διορθῶσαι λόγον: a principio. Py. IV 132: πάντα λόγον θέμενος σπουδαῖον ἐξ ἀρχᾶς ἀνὴρ συγγενέσιν παρεκοινᾶθ'. fr. 107 (74), 16: γαῖαν κατακλύσαισα θήσεις ἀνδρῶν νέον ἐξ ἀρχᾶς γένος: denuo. Py. VIII 25: τελέαν δ' ἔχει δόξαν ἀπ' ἀρχᾶς: ab initio. — ad personam refertur fr. 205 (221): ἀρχὰ μεγάλας ἀρετᾶς, ὤνασσ' Ἀλάθεια,: „principium h. e. caput, dux“ Dissen. — 2) *regnum* Ol. XIII 61: ἐξεύχετ' ἐν ἄστει Πειράνας σφετέρου πατρὸς ἀρχὰν καὶ βαθὺν κλᾶρον ἔμμεν. Py. IV 106: ἀρχὰν ἀγκομίξων πατρὸς ἐμοῦ (Bergk. sec. Chaeridis emendationem pro vulg. ἀρχαίαν κομίζων — τιμάν). met. Ol. II 64 (58): τὰ δ' ἐν τᾷδε Διὸς ἀρχᾷ ἀλιτρὰ κατὰ γᾶς δικάζει τις: Διὸς ἀρχήν φησι τὴν ζωὴν καὶ τὴν ἄνω διαγωγήν. Schol. „in terra, quam Iuppiter sortitus est“ Boeckh.

ἀρχᾶθεν *ab initio* Ol. IX 55: ὑμέτεροι πρόγονοι ἀρχᾶθεν Ἰαπετιονίδος φύτλας κοῦροι κορᾶν καὶ — Κρονιδᾶν, Is. III 25 (IV 7): τοὶ μὲν ὦν Θήβαισι τιμάεντες ἀρχᾶθεν λέγονται.

ἀρχᾱγέτας *dux et auctor coloniae* Ol. VII 77: τόθι λύτρον συμφορᾶς — Τλαπολέμῳ ἵσταται Τιρυνθίων ἀρχαγέτᾳ ὥσπερ θεῷ. Py. V 60: ὁ δ' ἀρχαγέτας ἔδωκ' Ἀπόλλων θῆρας αἰνῷ φόβῳ: ὁ Ἀπόλλων ἔχρησεν οἰκίσαι τὴν Κυρήνην. Schol.

ἀρχαῖος (sg. m. ἀρχαῖον. f. ἀρχαίας, -αν. n. ἀρχαίῳ, -ον. pl. f. ἀρχαῖαι. n. ἀρχαῖα. [superl. ἀρχαιέστατον]) *vetus, antiquus, priscus, pristinus* fr. 30 (6), 5: Θέμιν — σωτῆρος ἀρχαίαν ἄλοχον Διὸς ἔμμεν: „quum postea etiam aliae essent“ Dissen. Is. I 39: νῦν δ' αὖτις ἀρχαίας ἐπέβασε πότμος συγγενὴς εὐαμερίας. Ol. VI 89: ἀρχαῖον ὄνειδος —, Βοιωτίαν ὗν. XIII 17: πολλὰ δ' ἐν καρδίαις ἀνδρῶν ἔβαλον Ὧραι — ἀρχαῖα σοφίσμαθ': h. e. antiquitus, adiectivo pro adv. posito. Ne. I 34: ἀρχαῖον ὀτρύνων λόγον. XI 37: ἀρχαῖαι δ' ἀρεταὶ ἀμφέροντ' ἀλλασσόμεναι γενεαῖς ἀνδρῶν σθένος: antiquitus innatae. Ol. XIII 92: τὸν δ' (ἵππον) ἐν Οὐλύμπῳ φάτναι Ζηνὸς ἀρχαῖαι δέκονται: h. e. aeternae. Ol. X 24: ἀρχαίῳ σάματι πὰρ Πέλοπος. (de Py. IV 106 v. ἀρχά.) fr. 45 (20): ἀρχαιέστερον. Πίνδαρος ἐν Ὕμνοις (Antiattic. in Bekk. An. I 80, 8).

ἀρχεδῐκας *qui ab initio ius imperii habet, princeps legitimus* Py. IV 110: πεύθομαι γάρ νιν (h. e. ἀρχάν) Πελίαν — ἁμετέρων ἀποσυλᾶσαι βιαίως ἀρχεδικᾶν τοκέων.

ἀρχέπολις *civitatis domina* Py. IX 54: ἔνθα νιν (h. e. Cyrenam) ἀρχέπολιν θήσεις.

Ἀρχέστρᾰτος *Archestratus*, pater Agesidami Ol. XI 11: Ἀρχεστράτου παῖ, — Ἀγησίδαμε. X 99: παῖδ' ἐρατὸν δ' Ἀρχεστράτου αἴνησα. X 2: τὸν Ὀλυμπιονίκαν — Ἀρχεστράτου παῖδα.

Ἀρχῐλοχος *Archilochus*, poeta Parius Ol. XXIII florens Ol. IX 1: τὸ

μὲν Ἀρχιλόχου μέλος φωνᾶεν Ὀλυμπίᾳ, καλλίνικος ὁ τριπλόος κεχλαδώς: „fuit hymnus nobilis in Herculem Callinicum, ex quo duo versus in Scholiis servati sunt (ὦ καλλίνικε χαῖρ' ἄναξ Ἡράκλεες, αὐτός τε καὶ Ἰόλαος αἰχματὰ δύο)" Dissen. Py. II 54: εἶδον γὰρ ἑκὰς ἐὼν τὰ πόλλ' ἐν ἀμαχανίᾳ ψογερὸν Ἀρχίλοχον βαρυλόγοις ἔχθεσιν πιαινόμενον.

ἀρχός *dux, rector, princeps* Py. IV 194: λαβὼν φιάλαν ἀρχὸς ἐν πρύμνᾳ πατέρ' Οὐρανιδᾶν — ἐκάλει: ὁ τῆς νεὼς ἡγεμὼν Ἰάσων. Schol. Ol. VII 71: ὁ γενέθλιος ἀκτίνων πατήρ, πῦρ πνεόντων ἀρχὸς ἵππων: Sol. Is. V (VI) 50: ἀρχὸν οἰωνῶν μέγαν αἰετόν, cf. Py. I 7: αἰετὸς — ἀρχὸς οἰωνῶν. Py. I 73: Συρακοσίων ἀρχῷ δαμασθέντες. Ne. IX 14: ἀρχοὶ δ' οὐκ ἔτ' ἔσαν Ταλαοῦ παῖδες, βιασθέντες λύᾳ.

ἄρχω (act. praes. ἄρχει. ἄρχε. ἄρχειν. ipf. ἆρχε. aor. inf. ἄρξαι. — pass. fut. ἄρξεται. — med. praes. ἄρχονται. ἀρχομένου; ἀρχόμενοι — μένοις(ιν); ἀρχόμεναι. ipf. ἄρχετο) I) *incipio, ordior* 1) trans. c. acc. Ne. III 10: ἄρχε — δόκιμον ὕμνον (ὦ Μοῖσα). Pass. Ol. VIII 45: ἅμα πρώτοις ἄρξεται καὶ τετράτοις (Christ. e coni. Bergkii ῥήξεται): „a primis et quartis incipietur (Troiae excidium)" Boeckh. melius Dissenius: „parebit"; ἁλωθήσεται. Schol. — c. gen. Py. IV 30: φιλίων δ' ἐπέων ἄρχετο. — abs. fr. 89 (59): τί κάλλιον ἀρχομένοισιν ἢ καταπαυομένοισιν, ἢ — Λατὼ — ἀεῖσαι; Py. I 34: ναυσιφορήτοις δ' ἀνδράσι πρώτα χάρις ἐς πλόον ἀρχομένοις πομπαῖον ἐλθεῖν οὖρον (var. ἐρχομένοις). — de sacro quodam initio: *auspicor* Is. V (VI) 37: κελήσατο νεκταρέαις σπονδαῖσιν ἄρξαι — Ἀμφιτρυωνιάδαν. ab aliquo Ne. V 25: αἳ δὲ (Musae) πρώτιστον μὲν ὕμνησαν Διὸς ἀρχόμεναι σεμνὰν Θέτιν. II 3: ὅθεν περ καὶ Ὁμηρίδαι ῥαπτῶν ἐπέων τὰ πόλλ' ἀοιδοὶ ἄρχονται, Διὸς ἐκ προοιμίου. — 2) intr. Ol. VI 3: ἀρχομένου δ' ἔργου πρόσωπον χρὴ θέμεν τηλαυγές: incipientis. Ne. IV 53: τόθι πρῶνες ἔξοχοι κατάκειται Δωδώναθεν ἀρχόμενοι πρὸς Ἰόνιον πόρον. — II) *dux sum, impero* Ol. X 51: πρόσθε γὰρ νώνυμνος (πάγος), ἇς Οἰνόμαος ἆρχε. c. gen. Py. IV 230: βασιλεύς, ὅστις ἄρχει ναός: praeest. c. dat. Py. III 4: βάσσαισί τ' ἄρχειν Παλίου Φῆρ' ἀγρότερον.

ἌΡΩ. pf. intr. *ἄρᾱρα sum aptus v. coniunctus*, met. Ol. X 83: κελαδησόμεθα βροντὰν καὶ πυρπάλαμον βέλος ὀρσικτύπου Διός, ἐν ἅπαντι κράτει αἴθωνα κεραυνὸν ἀραρότα: „summae potentiae iniunctum, h. e. cum summa potentia coniunctum" Friese. „summae potentiae Iovis aptatum (ἐναραρότα v. ἐνηρμοσμένον ἅπαντι κράτει)" Boeckh. Ne. III 64: τηλαυγὲς ἄραρε φέγγος Αἰακιδᾶν αὐτόθεν: „apta est, pendet hinc (ex his Achillis rebus gestis)" Dissen.; ἤρτηται. Schol. Is. II 19: καὶ τόθι κλειναῖς τ' Ἐρεχθειδᾶν χαρίτεσσιν ἀραρώς: „h. e. μιχθείς, honores consecutus" Dissen. Ne. V 44: ἁ Νεμέα μὲν ἄραρεν μείς τ' ἐπιχώριος: „favet ei, amica est, non adversatur; οὐκ ἀντιξοεῖ, ut dicit Ol. XIII 34" Dissen.; ἥρμοσται. Schol.

ἀρωγός *auxilians* Ol. II 49 (45): (λείφθη δὲ Θέρσανδρος ἐριπέντι Πολυνείκει) Ἀδραστιδᾶν θάλος ἀρωγὸν δόμοις: h. e. „huic familiae Thersander auxiliator exstitit tunc illustrans et propagans eam" Dissen.

ἇς (dor. pro ἕως) *quamdiu, dum* Ol. X 51: πρόσθε γὰρ νώνυμνος (πάγος), ἇς Οἰνόμαος ἆρχε. (de Py. VIII 80 v. δαμάζω.)

ἄσβεστος *inexstinctus* Is. III 60 (IV 42): βέβακεν ἐργμάτων ἀκτὶς καλῶν ἄσβεστος αἰεί.

ἀσεβής *impius* fr. 132 (97): ψυχαὶ δ' ἀσεβέων ὑπουράνιοι γαίᾳ ποτῶνται ἐν ἄλγεσιν.

ἀσθενής *infirmus* Py. I 55: ἀσθενεῖ μὲν χρωτὶ βαίνων: Philoctetes.

ἆσθμα *anhelitus* Ne. X 74: καί νιν οὔπω τεθναότ', ἄσθματι δὲ φρίσσοντα πνοὰς ἔκιχεν.

ἀσθμαίνω *anhelo* Ne. III 47: σώματα δὲ (ferarum caesarum) παρὰ Κρονίδαν Κένταυρον ἀσθμαίνοντα κόμιζεν (Boeckh. et Herm. c. var. σώματι — ἀσθμαίνοντι, Hartung. Rauchenstein. Christ. σώματα . . . ἀσθμαίνων): „h. e. moribunda, quum ἆσθμα etiam morientium sit" Dissen.

Ἀσία *Asia* Ol. VII 18: Ἀσίας εὐρυχόρου τρίπολιν νᾶσον πέλας ἐμβόλῳ ναίοντας.

ἀσκέω *exerceo, colo* Ol. VIII 22: ἔνθα Σώτειρα Διὸς ξενίου πάρεδρος

ἀσκεῖται Θέμις. Ne. XI 8: καὶ ξενίου Διὸς ἀσκεῖται θέμις ἀενάοις ἐν τραπέζαις: dicuntur epulae legatis civitatum aliisque peregrinis, qui aderant, praeberi apud Tenedios solitae in prytaneo. Py. III 108: τὸν δ' ἀμφέποντ' αἰεὶ φρασὶν δαίμον' ἀσκήσω κατ' ἐμὰν θεραπεύων μαχανάν: „fortunam colam, non contemnam, sed venerabor, utar ut possim" Dissen.

ἄσκιος v. **δάσκιος.**

Ἀσκλᾱπιός *Aesculapius*, filius Apollinis et Coronidis, a Chirone educatus Ne. III 54: Χείρων τράφε — Ἀσκλαπιόν, τὸν φαρμάκων δίδαξε μαλακόχειρα νόμον (Bergk., v. Ἀσκληπιόν, Boeckh. Ἀσκλήπιον Homericam accentus ponendi rationem Pindarum secutum esse censens). Py. III 6: θρέψεν (Chiron) ποτὲ τέκτονα νωδυνίας ἅμερον γυιαρκέος Ἀσκλαπιόν, ἥρωα παντοδαπᾶν ἀλκτῆρα νούσων (var. Ἀσκληπιόν, Herm. et Boeckh. Ἀσκλήπιον): de fatis eius in eodem carmine leg. v. 8—58; eodemque referendum videtur fr. 266: τὸν Ἀσκλ(ηπιὸν δ' ὑ)πὸ Διὸς κε(ραυνω)θῆναι γέγρ(αφεν Ἡ)σίοδος κα(ὶ Πίνδ)αρος. Philodemus περὶ εὐσεβείας p. 17 ed. Gomperz.

ἄσμενος *lubens, non invitus* Ol. XIII 74: ἐπιχώριον μάντιν ἄσμενος εὗρεν.

ἄσοφος *imprudens* Ol. III 44: τὸ πόρσω δ' ἐστι σοφοῖς ἄβατον κἀσόφοις.

ἀσπάζομαι *saluto* Is. II 25: ἀδυπνόῳ τέ νιν ἀσπάζοντο φωνᾷ.

ἀσπῐδόδουπος *scutis sonum gravem faciens, „scutistrepus"* Is. I 23: λάμπει δὲ σαφὴς ἀρετὰ — ἔν τ' ἀσπιδοδούποισιν ὁπλίταις δρόμοις.

ἀσπίς *scutum* Py. VIII 46: θαέομαι σαφὲς δράκοντα ποικίλον αἰθᾶς Ἀλκμᾶν' ἐπ' ἀσπίδος νωμῶντα.

ἄσσω *surgo*, met. Ne. VIII 40: αὔξεται δ' ἀρετά, χλωραῖς ἐέρσαις ὡς ὅτε δένδρεον ἄσσει, ἐν σοφοῖς ἀνδρῶν ἀερθεῖσ' ἐν δικαίοις τε, πρὸς ὑγρὸν αἰθέρα (Boeckh. pro codd. δένδρον ἀΐσσει σοφοῖς κτλ., contra Bergkius ἀΐσσει, quod neque schol. 1 neque paraphr. agnoscat, vitiosum additamentum censens e coni. scr. δένδρεον, αἴνῳ ἐν κτλ.).

ἀστεροπά *fulmen* Ne. IX 19: οὐδὲ Κρονίων ἀστεροπὰν ἐλελίξαις οἴκοθεν μαργουμένους στείχειν ἐπώτρυν', ἀλλὰ φείσασθαι κελεύθου.

ἀστήρ *sidus* Py. III 75: ἀστέρος οὐρανίου φαμὶ τηλαυγέστερον κείνῳ φάος ἐξικόμαν κε βαθὺν πόντον περάσαις. met. Ol. II 61 (55): ὁ μὰν πλοῦτος ἀρεταῖς δεδαιδαλμένος — ἀστὴρ ἀρίζηλος, ἐτυμώτατον ἀνδρὶ φέγγος.

ἀστός (sg. ἀστός, -όν. pl. ἀστοί, -ῶν, -οῖς) *civis*, qui eiusdem est urbis et civitatis Py. II 82: ἀδύνατα δ' ἔπος ἐκβαλεῖν κραταιὸν ἐν ἀγαθοῖς δόλιον ἀστόν. Ne. XI 17: ἐν λόγοις δ' ἀστῶν ἀγαθοῖσί νιν αἰνεῖσθαι χρεών. Is. III 3: ἄξιος εὐλογίαις ἀστῶν μεμῖχθαι. Ol. VI 7: ἐπικύρσαις ἀφθόνων ἀστῶν ἐν ἱμερταῖς ἀοιδαῖς. Py. I 84: ἀστῶν δ' ἀκοὰ κρύφιον θυμὸν βαρύνει. Ne. VIII 38: ἀστοῖς ἁδών. Py. IX 93: εἰ φίλος ἀστῶν εἴ τις ἀντάεις. IV 297: μήτ' ὤν τινι πῆμα πορών, ἀπαθὴς δ' αὐτὸς πρὸς ἀστῶν. Ol. V 14: ἄγων ἐς φάος τόνδε δᾶμον ἀστῶν. fr. 109 (228): τὸ κοινόν τις ἀστῶν ἐν εὐδίᾳ τιθείς. Is. VI (VII) 29: ἀστῶν γενεᾷ μέγιστον κλέος αὔξων. Ne. VIII 14: γονάτων πόλιός θ' ὑπὲρ φίλας ἀστῶν θ' ὑπὲρ τῶνδ' ἅπτομαι. Is. III 79 (IV 61): δαῖτα πορσύνοντες ἀστοί. — Py. I 68: ἀστοῖς καὶ βασιλεῦσιν. — Py. IV 78: ξεῖνος αἴτ' ὦν ἀστός. Ol. VII 90: χάριν καὶ ποτ' ἀστῶν καὶ ποτὶ ξείνων. XIII 2: οἶκον ἅμερον ἀστοῖς, ξένοισι δὲ θεράποντα. Py. III 71: πραῢς ἀστοῖς, οὐ φθονέων ἀγαθοῖς, ξείνοις δὲ θαυμαστὸς πατήρ. Is. II 37: αἰδοῖος μὲν ἦν ἀστοῖς ὁμιλεῖν, — οὐδέ ποτε ξενίαν οὖρος ἐμπνεύσαις ὑπέστειλ' ἱστίον ἀμφὶ τράπεζαν. — add. gen. Py. VII 9: πάσαισι γὰρ πολίεσι λόγος ὁμιλεῖ Ἐρεχθέος ἀστῶν: v. Ἐρεχθεύς.

ἀστρᾰβής *inconcussus* Ol. II 90 (82): Ἕκτορ' ἔσφαλε, Τροίας ἄμαχον ἀστραβῆ κίονα: ἄστρεπτον καὶ ἀμετακίνητον. Schol.

ἄστρον (sg. ἄστρον. pl. ἄστρα, -οις) *sidus* Ol. I 6: μηκέτ' ἀελίου σκόπει ἄλλο θαλπνότερον ἐν ἁμέρᾳ φαεννὸν ἄστρον ἐρήμας δι' αἰθέρος. fr. 107 (74), 2: ἄστρον ὑπέρτατον ἐν ἁμέρᾳ κλεπτόμενον: dicitur sol, cf. Schol. Arati Phaen. 11: λέγεται δὲ καὶ ὁ ἥλιος ἄστρον ἰδίως, παρὰ δὲ Πινδάρῳ ἄστρον ὑπέρτατον. Is. III 42 (IV 24): λάμπει (φάμα) Ἀωσφόρος θαητὸς ὣς ἄστροις ἐν ἄλλοις. fr. 136 (101): ἄστρα τε καὶ ποταμοὶ καὶ κύματα πόντου τὴν ἀωρίαν τὴν σὴν ἀνακαλεῖ (Aristid. T. I 130). — met.

fr. 87 (58), 4: βροτοὶ Δᾶλον κικλήσκουσιν, μάκαρες δ᾽ ἐν Ὀλύμπῳ τηλέφαντον κυανέας χθονὸς ἄστρον: „h. e. Asteriam, quod vetus nomen mythologicum insulae a diis repetitur" Dissen.

ἄστυ (sg. ἄστεος, ἄστεϊ, ἄστει, ἄστυ. pl. ἄστεα v. ἄστη, ἀστέων) *urbs, civitas* Ne. X 5: πολλὰ δ᾽ Αἰγύπτῳ παλάμαις κατένασθεν ἄστεα ταῖς Ἐπάφου (Bergk., libri κατῴκισθεν, ἄστη, ταῖς Ἐπ. παλάμαις). Py. IV 15: Ἐπάφοιο κόραν ἀστέων ῥίζαν φυτεύσεσθαι. Ol. VII 76: ἀπάτερθε δ᾽ ἔχον — ἀστέων μοῖραν, κέκληνται δέ σφιν ἕδραι. certa quaedam urbs significatur fr. 75 (45), 3: θεοί, — οἵτ᾽ ἄστεος ὀμφαλὸν θυόεντα ἐν ταῖς ἱεραῖς Ἀθάναις οἰχνεῖτε (var. ἄστεως), ubi antiquissimam urbis partem forum dici suspicatur Dissen. Ne. IV 23: ξένιον ἄστυ κατέδραμεν: Thebas. Is. V (VI), 69: ξυνὸν ἄστει κόσμον ἑῷ προσάγων: Aeginae. Py. V 56: (ὁ Βάττου ὄλβος) πύργος ἄστεος ὄμμα τε φαεννότατον ξένοισι: Cyrenarum. add. gen. Ne. X 42: Προίτοιο — ἱπποτρόφον ἄστυ: Argos. Py. IV 260: ἄστυ χρυσοθρόνου διανέμειν θεῖον Κυράνας: Cyrenas. Ol. XIII 61: ἐν ἄστεϊ Πειράνας: Corinthi. Ol. IX 42: φέροις δὲ Πρωτογενείας ἄστει γλῶσσαν: Opunti. fr. 204 (218): καὶ λιπαρῷ Σμυρναίων ἄστεϊ (Bergk. pro ἄστει).

Ἀστυδάμεια *Astydamia*, Amyntoris regis Ormenii filia, mater Tlepolemi, ab Homero (Il. II 658) Astyochia dicta Ol. VII 23: τὸ μὲν γὰρ πατρόθεν ἐκ Διὸς εὔχονται· τὸ δ᾽ Ἀμυντορίδαι ματρόθεν Ἀστυδαμείας.

ἀστύνομος *qui ad urbem pertinet, urbicus* Ne. IX 31: Ζεῦ πάτερ, ἀγλαΐαισιν δ᾽ ἀστυνόμοις ἐπιμῖξαι λαόν.

ἁσυχᾷ adv. 1) *tranquille* Py. XI 55: εἴ τις ἄκρον ἑλὼν ἁσυχᾷ τε νεμόμενος αἰνὰν ὕβριν ἀπέφυγεν (Bergk., Herm. ἄσυχᾶ, Momms. ἡσυχᾶ, Heyn. ἄσυχα, libri vett. ἡσυχίᾳ v. ἡσυχίᾳ): „tranquille, modeste vivens" Dissen. — 2) *placide* Ne. VII 82: Διὸς δὲ μεμναμένος ἀμφὶ Νεμέᾳ πολύφατον θρόον ὕμνων δόνει ἁσυχᾷ (Bergk., ἄσυχᾶ Herm., libri ἡσυχῆ): εὐμούσως καὶ τεταγμένως. Schol.; opp. ἀνέκραγον v. 76.

ἁσυχία 1) *quies, tranquillitas* Py. IV 296: ἔν τε σοφοῖς δαιδαλέαν φόρμιγγα βαστάζων πολίταις ἁσυχίᾳ θιγέμεν (Heynius, libri ἡσυχίᾳ). Ne. I 70: ἁσυχίαν καμάτων μεγάλων ποινὰν λαχόντ᾽ ἐξαίρετον (Heynius, libri ἡσ.). Py. I 70: δᾶμον γεραίρων τράποι σύμφωνον ἐς ἁσυχίαν: tranquillitatem. Ne. IX 48: ἁσυχία δὲ φιλεῖ μὲν συμπόσιον (Bergk. c. uno schol., libri ἡσυχία, Tricl. ἡσυχίαν). — 2) **Ἁσυχία** *Hesychia* (*Tranquillitas*) dea Py. VIII 1: φιλόφρον Ἁσυχία, Δίκας ὦ μεγιστόπολι θύγατερ: quam in Aegina pro numine habitam censet Dissen. fr. 109 (228), 3: ἐρευνασάτω μεγαλάνορος Ἁσυχίας (Boeckh., var. ἡσυχίας) τὸ φαιδρὸν φάος. Ol. IV 14 (18): πρὸς Ἁσυχίαν (Heynius, libri ἡσ.) φιλόπολιν καθαρᾷ γνώμᾳ τετραμμένον.

ἁσύχιμος *tranquillus* Ol. II 35 (32): ἁσύχιμον ἁμέραν ὁπότε παῖδ᾽ ἀελίου ἀτειρεῖ σὺν ἀγαθῷ τελευτάσομεν (ἡσ. Christ.).

ἁσύχιος *tranquillus* Py. IX 22: πολλάν τε καὶ ἁσύχιον βουσὶν εἰράναν παρέχοισα πατρῴαις (var. ἡσ.).

ἀσφᾰλής *firmus* Ne. VI 3: τὸ μὲν οὐδέν, ὁ δὲ χάλκεος ἀσφαλὲς αἰὲν ἕδος μένει οὐρανός. Ol. XIII 6: κασιγνήτα τε, βάθρον πολίων ἀσφαλές, Δίκα. — met. *incolumis, securus* Py. III 86: αἰὼν δ᾽ ἀσφαλὴς οὐκ ἔγεντ᾽ οὔτ᾽ Αἰακίδᾳ παρὰ Πηλεῖ οὔτε παρ᾽ ἀντιθέῳ Κάδμῳ: ἄπταιστος, ἄνευ σφάλματος καὶ βλάβης. Schol. — neutr. pro adv. Py. II 20: Λοκρὶς — πολεμίων καμάτων ἐξ ἀμαχάνων διὰ τεὰν δύναμιν δρακεῖσ᾽ ἀσφαλές (var. ἀσφαλῶς): ἤγουν ἀφόβως. Schol.

ἀσχολία *occupatio* Is. I 2: μᾶτερ ἐμά, τὸ τεόν, χρύσασπι Θήβα, πρᾶγμα καὶ ἀσχολίας ὑπέρτερον θήσομαι.

ἄσχολος *non otiosus, occupatus* Py. VIII 29: εἰμὶ δ᾽ ἄσχολος ἀναθέμεν πᾶσαν μακραγορίαν λύρᾳ: οὐκ εὐκαιρῶ. Schol.

Ἀσωπίδες *Asopides* h. e. filiae Asopi fluminis Boeotii Is. VII (VIII) 19: πατρὸς — δίδυμαι γένοντο θύγατρες Ἀσωπίδων ὁπλόταται: Thebā et Aegina.

Ἀσώπιος *Asopius*, pertinens ad Asopum rivulum prope urbem Aeginam s. per urbem fluentem Ne. III 4: ἵκεο Δωρίδα νᾶσον Αἴγιναν· ὕδατι γὰρ μένοντ᾽ ἐπ᾽ Ἀσωπίῳ — νεανίαι: „erat Asopus, pater Aeginae nymphae,

fluvius Sicyonius, unde probabile est nomen in Aeginam translatum rivuloque datum; quum autem etiam in Boeotia fluvius Asopus esset, Thebani suum fluvium dixerunt Aeginae patrem et Thebam Aeginamque sorores" Dissen.

Ἀσώπιχος („a diminutive from Ἀσωπός most probably for Ἀσώπισκος" Fennell) *Asopichus*, Cleodami filius, Orchomenius, cui Ol. 76 (sec. Bergk. Ol. 77) stadio inter pueros victori carmen Ol. XIV scriptum est; Ol. XIV 17: *Λυδίῳ γὰρ Ἀσώπιχον ἐν τρόπῳ μελέταις τ' ἀείδων ἔμολον.*

Ἀσωπόδωρος *Asopodorus*, pater Herodoti, Thebanus Is. I 34: *γαρύσομαι τοῦδ' ἀνδρὸς ἐν τιμαῖσιν ἀγακλέα τὰν Ἀσωποδώρου πατρὸς αἶσαν Ὀρχομενοῖό τε πατρῴαν ἄρουραν*: „quum maiores Asopodori Orchomenii essent" Dissen.

Ἀσωπός *Asopus*, fluvius Sicyonius apud Phliuntem Ne. IX 9: *ἅ τε Φοίβῳ θῆκεν Ἄδραστος ἐπ' Ἀσωποῦ ῥεέθροις*: h. e. in Pythiis Sicyoniis; „credibile est ludos, quos Adrasto, ut ferebatur, auctore iam antea Sicyonii Apollinis in honorem celebraverant, ab Clisthene tyranno antiquatos et Pythia in eorum locum substituta esse" Boeckh.

ἄτα (sg. ἄτα, -ας, -αν. pl. ἆται ci.) *noxa, calamitas, pernicies* Ol. I 57: *κόρῳ δ' ἕλεν ἄταν ὑπέροπλον, ἅν οἱ πατὴρ ὕπερ κρέμασε καρτερὸν αὐτῷ λίθον.* Py. XI 55: *φθονεροὶ δ' ἀμύνονται ἆται, εἴ τις ἄκρον ἑλὼν ἀσυχᾷ τε νεμόμενος αἰνὰν ὕβριν ἀπέφυγεν* (ἆται, εἴ v. τᾶν εἴ Herm. pro librorum ἄτα εἴ, Boeckh. ἄτα. εἴ, Bergkius bisyllaba anacrusi admissa ἄγᾰ, εἴ provocans ad schol.): *οἱ δὲ φθονεροὶ τῇ αὐτῶν ἄτῃ καὶ βασκανίᾳ ἀμύνονται καὶ βλάπτονται, βασκαίνοντες εἴ τις κτλ.* Schol. „die Beschädigungen durch den Neid werden abgewehrt" Mezger. Ol. X 37: *ἴδε — ὑπὸ στερεῷ πυρὶ πλαγαῖς τε σιδάρου βαθὺν εἰς ὀχετὸν ἄτας ἵζοισαν ἑὰν πόλιν.* Ne. IX 21: *φαινομέναν δ' ἄρ' ἐς ἄταν σπεῦδεν ὅμιλος ἱκέσθαι χαλκέοις ὅπλοισιν.* fr. 42 (171), 4: *εἰ δέ τις ἀνθρώποισι θεόσδοτος ἄτα* (Bergk. pro librorum ἄτη v. ἀτλητηκότας, Boeckh. ἀτλάτα κακότας) *προστύχῃ, ταύταν σκότει κρύπτειν ἔοικε.* v. ἀνάτα.

Ἀτᾱβύριον (sc. ὄρος) *Atabyrius* mons Rhodi insulae altissimus Ol. VII 87: *ἀλλ' ὦ Ζεῦ πάτερ, νώτοισιν Ἀταβυρίου μεδέων*: *ἐπάνω γὰρ τοῦ ὄρους ἵδρυται ὁ Ζεύς.* Schol.

ἀτάλλω *alo*, met. fr. 214 (233): *γλυκεῖά οἱ καρδίαν ἀτάλλοισα γηροτρόφος συναορεῖ ἐλπίς.*

ἀτᾰλός *pius, obsequiosus* Ne. VII 91: *πατρὶ Σωγένης ἀταλὸν ἀμφέπων θυμόν*: „iuveniliter tenerum, mollem, nunc obsequiosum interpretor ob dativum πατρὶ adiectum" Dissen.

ἀτάρ *at, vero, tamen* Ne. VII 39: *Μολοσσίᾳ δ' ἐμβασίλευεν ὀλίγον χρόνον· ἀτὰρ γένος αἰεὶ φέρεν τοῦτό οἱ γέρας.* fr. 131 (96), 4: *εὕδει δὲ* (τὸ εἴδωλον s. animae natura) *πρασσόντων μελέων, ἀτὰρ εὑδόντεσσιν ἐν πολλοῖς ὀνείροις δείκνυσι τερπνῶν ἐφέρποισαν χαλεπῶν τε κρίσιν.* praecedit μέν Py. IV 169: *οἱ μὲν κρίθεν· ἀτὰρ Ἰάσων αὐτὸς ἤδη ὤρνυεν κάρυκας.* Py. III 98: *τὸν μὲν — θύγατρες ἐρήμωσαν — εὐφροσύνας μέρος αἱ τρεῖς· ἀτὰρ λευκωλένῳ γε Ζεὺς πατὴρ ἤλυθεν ἐς λέχος ἱμερτὸν Θυώνᾳ.* sequitur δέ Ne. IV 47: *Κύπρῳ, ἔνθα Τεῦκρος ἀπάρχει ὁ Τελαμωνιάδας· ἀτὰρ Αἴας Σαλαμῖν' ἔχει πατρῴαν· ἐν δ' Εὐξείνῳ πελάγει φαεννὰν Ἀχιλεὺς νᾶσον· Θέτις δὲ κρατεῖ Φθίᾳ· Νεοπτόλεμος δ' ἀπείρῳ.*

ἀτάρβακτος *imperterritus* Py. IV 84: *ἐστάθη γνώμας ἀταρβάκτοιο πειρώμενος ἐν ἀγορᾷ* (Bergk. c. Herm. ἀταρμύκτοιο): *ἀντὶ τοῦ ἀκαταπλήκτου.* Schol. „insolentior forma a dorico futuro ταρβάξω hic nervosior est" Dissen.

ἀταρβής *intrepidus* Py. V 51: *ὅλον δίφρον κομίξαις ἀταρβεῖ φρενί.* IX 31: *γυναικὸς — δύνασιν θαύμασον, οἷον ἀταρβεῖ νεῖκος ἄγει κεφαλᾷ.*

ἄτε v. ὥστε.

ἀτειρής *illibatus* Ol. II 36 (33): *ἁσύχιμον ἁμέραν ὁπότε παῖδ' ἀελίου ἀτειρεῖ σὺν ἀγαθῷ τελευτάσομεν.*

ἀτέκμαρτος *nullo certo signo indicatus, obscurus* Py. X 63: *τὰ δ' εἰς ἐνιαυτὸν ἀτέκμαρτον* (sc. ἐστί) *προνοῆσαι*: *ἄδηλον καὶ ἀδύνατόν ἐστιν.* Schol. — neutr. plur. pro adv.

Ol. VII 45: ἐπὶ μὰν βαίνει τι καὶ λάθας ἀτέκμαρτα νέφος (Schmid., libri ἀτέκμαρτον): ex improviso.

ἀτελής *ad finem non perveniens* itaque 1) act. *nihil perficiens* Ne. III 42: μυριᾶν δ' ἀρετᾶν ἀτελεῖ νόῳ γεύεται. Py. V 62: ἔδωκ' Ἀπόλλων θῆρας αἰνῷ φόβῳ, ὄφρα μὴ ταμίᾳ Κυράνας ἀτελὴς γένοιτο μαντεύμασιν: h. e. irritus, vanus. — 2) pass. *imperfectus* fr. 209 (227): ἀτελῆ σοφίας καρπὸν δρέπειν.

ἀτενής *intentus* Ne. VII 88: γείτον' ἔμμεναι νόῳ φιλήσαντ' ἀτενέϊ (Herm., libri ἀτενεῖ) γείτονι χάρμα. — neutr. pro adv. Py. II 77: ὀργαῖς ἀτενὲς ἀλωπέκων ἴκελοι: prorsus; εὐθύτατα καὶ ὀρθότατα. Schol.

ἄτερ praep. c. gen., cui modo praemittitur modo postponitur; 1) *seorsum, absque* Py. X 42: πόνων δὲ καὶ μαχᾶν ἄτερ οἰκέοισι. Ne. VII 27: (*Αἴαντα*) κράτιστον Ἀχιλέος ἄτερ μάχᾳ: Achille excepto. — 2) *sine*, nullo personae v. rei comitatu atque auxilio Ol. VIII 45: οὐκ ἄτερ παίδων σέθεν — ἄρξεται. Is. IV (V) 20: τὸ δ' ἐμὸν οὐκ ἄτερ Αἰακιδᾶν κέαρ ὕμνων γεύεται: ἄνευ τῆς τῶν Αἰακιδῶν μνήμης. Schol. Py. V 76: ἵκοντο — οὐ θεῶν ἄτερ, ἀλλὰ μοῖρά τις ἄγεν. Ol. XIV 8: οὐδὲ γὰρ θεμερᾶν θεοὶ Χαρίτων ἄτερ κοιρανέοντι χοροὺς οὔτε δαῖτας. Py. II 7: Ἀρτέμιδος, ἇς οὐκ ἄτερ — ἐδάμασσε πώλους. II 32: οὐκ ἄτερ τέχνας. Ol. X 91: ὅταν καλὰ ἔρξαις ἀοιδᾶς ἄτερ — εἰς Ἀΐδα σταθμὸν ἀνὴρ ἵκηται. IX 44: ἄτερ δ' εὐνᾶς ὁμόδαμον κτισσάσθαν λίθινον γόνον. Py. IX 28: λέοντι — μούναν παλαίοισαν ἄτερ ἐγχέων.

ἄτερθε *seorsum* Py. V 96: ἄτερθε δὲ πρὸ δωμάτων ἕτεροι λαχόντες ἀΐδαν βασιλέες ἱεροὶ ἐντί: h. e. seorsum a Batti sepulcro in foro posito. c. gen. Ol. IX 78: νιν — παραγορεῖτο μή ποτε σφετέρας ἄτερθε ταξιοῦσθαι δαμασιμβρότου αἰχμᾶς.

ἀτῑμάζω *sperno* fr. 123 (88), 5: πρὸς δ' Ἀφροδίτας ἀτιμασθείς (var. ἀτιμαθείς).

ἀτιμάω *sperno*, *contemno* Py. IX 80: ἔγνον ποτὲ καὶ Ἰόλαον οὐκ ἀτιμάσαντά νιν ἑπτάπυλοι Θῆβαι.

ἀτιμία *contemtus* Ol. IV 21: Κλυμένοιο παῖδα Λαμνιάδων γυναικῶν ἔλυσεν ἐξ ἀτιμίας.

ἄτιμος *inhonoratus* Ol. VIII 69: ἀπεθήκατο — νόστον ἔχθιστον καὶ ἀτιμοτέραν γλῶσσαν καὶ ἐπίκρυφον οἶμον.

ἀτῐτάλλω *alo, educo* Ne. III 58: γόνον τέ οἱ φέρτατον (Achillem) ἀτίταλλεν ἐν ἀρμένοισι πᾶσι θυμὸν αὔξων: Chiron.

Ἄτλας *Atlas*, Titan idemque mons Libycus, met. Py. IV 289: καὶ μὰν κεῖνος Ἄτλας οὐρανῷ προσπαλαίει νῦν γε πατρῴας ἀπὸ γᾶς ἀπό τε κτεάνων: „tamen (Damophilus) ille Atlas (Ἄτλας ὤν, alter Atlas) coelo luctatur h. e. cum gravissimo onere conflictatur, exsilii scilicet, procul a patria. Similiter Atlas in extremis terrae oris stat procul a consortio deorum“ Dissen.

ἄτλᾱτος *intolerabilis* Ol. VI 38: ᾤχετ' ἰὼν μαντευσόμενος ταύτας περ' ἀτλάτου πάθας. Ne. I 48: ἐκ δ' ἄρ' ἄτλατον βέλος (Bergk. δέος) πλᾶξε γυναῖκας.

ἀτόλμᾱτος *intolerabilis* Is. VII (VIII) 12: τὸν ὑπὲρ κεφαλᾶς ἄτε Ταντάλου λίθον παρά τις ἔτρεψεν ἄμμι θεός, ἀτόλματον Ἑλλάδι μόχθον.

ἄτολμος *audacia carens* Ne. XI 32: τὸν δ' αὖ καταμεμφθέντ' ἄγαν ἰσχὺν οἰκείων παρέσφαλεν καλῶν — θυμὸς ἄτολμος ἐών.

ἀτρᾰπός *trames* fr. 107 (74), 5: (ἀκτὶς Ἀελίου) ἀτραπὸν ἐσσυμένα ἐλαύνειν τι νεώτερον ἢ πάρος (Schneider. pro ἄτροπον ἐσσαμένα).

Ἀτρεΐδας (primae syllabae vocalis producitur bis) *Atrides* h. e. Atrei filius Py. XI 31: θάνεν μὲν αὐτὸς ἥρως Ἀτρεΐδας: Agamemnon. — plur. **Ἀτρεῖδαι** *Atridae* vocantur Menelaus et Agamemnon Is. VII 51 (VIII 56): γεφύρωσέ τ' Ἀτρεΐδαισι νόστον (Achilles), ubi propter librorum scripturam Ἀτρεάδαισι poetam Ἀργεάδαισι scripsisse coni. Bergkius. Is. IV (V) 38: πόλιν Τρώων πράθον — σὺν Ἀτρεΐδαις (var. Ἀτρεΐδαισιν). Ol. IX 70: τοῦ παῖς (Aiax) ἅμ' Ἀτρεΐδαις Τεύθραντος πεδίον μολών.

ἀτρέκεια *veritas* fr. 213 (232), 4: δίχα μοι νόος ἀτρέκειαν εἰπεῖν: „de ea re verum dicturo suspensa mens est“ Boeckh. — tanquam dea **Ἀτρέκεια** *Veritas, Iustitia* Ol. X 13: νέ-

μει γὰρ Ἀτρέκεια πόλιν Λοκρῶν Ζεφυρίων: „veritas iudiciorum, dictorum et conventorum, s. fides et iustitia publice privatimque“ Dissen. „Zuverlässigkeit, der personificirte Credit“ Mezger.

ἀτρεκής *verus, iustus, certus* Ol. III 12: ἀτρεκὴς Ἑλλανοδίκας: κριτὴς ἀτρεκὴς καὶ ἀληθὴς καὶ ἀπροσωπόληπτος. Schol. — Ne. V 17: οὔ τοι ἅπασα κερδίων φαίνοισα πρόσωπον ἀλάθει' ἀτρεκής („malim ἀτρεκές, et sic fort. paraphr.“ Bergk.): „res etiam verissima“ Dissen.; Christ. rec. ἀτρεκές, quod Mezgerus vertit: „ohne Scheu“. Ne. III 41: ὃς δὲ διδάκτ' ἔχει, ψεφεννὸς ἀνὴρ ἄλλοτ' ἄλλα πνέων οὔ ποτ' ἀτρεκεῖ (Schmid., libri ἀτρεκεὶ v. ἀτρεμεῖ) κατέβα ποδί: „certo, firmo pede“ Dissen. Py. VIII 7: τὺ γὰρ τὸ μαλθακὸν ἔρξαι τε καὶ παθεῖν ὁμῶς ἐπίστασαι καιρῷ σὺν ἀτρεκεῖ: „iusto tempore, ubi vacare iucunditatibus et ferias agere licet“ Dissen.

ἀτρεμία *constantia* animi Ne. XI 12: μακαρίζω μὲν πατέρ' Ἀρκεσίλαν, καὶ τὸ θαητὸν δέμας ἀτρεμίαν τε ξύγγονον (Tricl. c. paraphr. Ἀτρεμίαν, Bergk. c. Schneidero ἀρτεμίαν): sc. Aristagorae.

Ἀτρεύς *Atreus* Ol. XIII 58: τοὶ μὲν γένει φίλῳ σὺν Ἀτρέος Ἑλέναν κομίζοντες.

ἄτροπος *indecorus* Ne. VII 103: τὸ δ' ἐμὸν οὔ ποτε φάσει κέαρ ἀτρόποισι Νεοπτόλεμον ἑλκύσαι ἔπεσι: οὐκ ἀτρόπως φησὶν οὐδ' ἀπεοικότως εἰς μνήμην ἐληλυθέναι Νεοπτολέμου. Schol.

ἄτρυτος *indefessus* Py. IV 178: πέμπε δ' Ἑρμᾶς χρυσόραπις διδύμους υἱοὺς ἐπ' ἄτρυτον πόνον: τὸν ἀκαταπόνητον· ἐκ δὲ τούτου τὸν ὑπερβεβλημένον ὡς δεινὸν ἐμφαίνει. Schol.

ἄτρωτος *invulnerabilis*, met. Is. III 18: αἰὼν δὲ κυλινδομέναις ἁμέραις ἄλλ' ἄλλοτ' ἐξάλλαξεν. ἄτρωτοι γε μὰν παῖδες θεῶν: μόνοι θεοὶ οὐκ ἔχουσι μεταβολὴν εἰς κακόν. Schol. Ne. XI 10: ἀλλὰ σὺν δόξᾳ τέλος δυωδεκάμηνον περᾶσαι σὺν ἀτρώτῳ κραδίᾳ: „nulla aegritudine contristato“ Dissen.

ἀτύζω *conturbo, percello*, met. Ol. VIII 39: οἱ δύο μὲν (δράκοντε) κάπετον, αὖθι δ' ἀτυζομένω ψυχὰς βάλον: ταραττόμενοι. Schol. Py. I 13: ὅσσα δὲ μὴ πεφίληκε Ζεύς, ἀτύζονται βοὰν Πιερίδων ἀΐοντα.

αὖ *rursus* 1) denuo Is. III 36 (IV 18): νῦν δ' αὖ μετὰ χειμέριον ποικίλων μηνῶν ζόφον χθὼν ὥτε φοινικέοισιν ἄνθησεν ῥόδοις: οἷον ἐξ ὑπαρχῆς αὐτοῖς ὁ οἶκος ἀνθεῖ. Schol. — 2) vicissim, contra Ol. VI 70: Ζηνὸς ἐπ' ἀκροτάτῳ βωμῷ τότ' αὖ χρηστήριον θέσθαι κέλευσεν. Py. IV 144: μία βοῦς Κρηθεῖ τε μάτηρ καὶ — Σαλμωνεῖ· τρίταισιν δ' ἐν γοναῖς ἄμμες αὖ — σθένος ἀελίου λεύσσομεν. praecedunt μὲν — δέ Ol. XII 6: αἵ γε μὲν ἀνδρῶν πόλλ' ἄνω, τὰ δ' αὖ κάτω ψεύδη μεταμώνια τάμνοισαι κυλίνδοντ' ἐλπίδες. Ne. XI 30: βροτῶν τὸν μὲν κενεόφρονες αὖχαι ἐξ ἀγαθῶν ἔβαλον· τὸν δ' αὖ καταμεμφθέντ' ἄγαν ἰσχὺν οἰκείων παρέσφαλεν καλῶν — θυμὸς ἄτολμος ἐών. fr. 218 (239): ὃς μὲν ἀχρήμων, ἀφνεὸς τότε, τοὶ δ' αὖ πλουτέοντες . . . (de Is. V (VI) 5 v. αὖτις.)

αὐάτα (aeol. pro ἄτα, q. v.) *noxa* Py. II 28: ἀλλά νιν (Ixionem) ὕβρις εἰς αὐάταν ὑπεράφανον ὦρσεν (libri et Boeckh. ἀνάταν). III 24: ἔσχε τοιαύταν μεγάλαν αὐάταν — λῆμα Κορωνίδος (libri fere ἀνάταν). Utroque loco quum metrum anapaestum requirat, Curtius Etym. Gr. p. 518 digamma commendat, atque ἀϝάταν scribit Th. Mommsen.

αὐγά 1) *fulgor, splendor* Ne. IV 83: ὁ χρυσὸς ἑψόμενος αὐγὰς ἔδειξεν ἁπάσας. imprimis solis (radius) Ol. III 24: τούτων ἔδοξεν γυμνὸς αὐτῷ κᾶπος ὀξείαις ὑπακουέμεν αὐγαῖς ἀελίου. Is. III 83 (IV 65): ἐν δυθμαῖσιν αὐγᾶν. — 2) *oculus* Py. IX 62: ταὶ δ' ἐπιγουνίδιον θαησάμεναι βρέφος αὐγαῖς (Bergk. pro librorum αὐταῖς v. αὐταῖς adnotationem secutus in GU adscriptam [ἢ] θησάμενοι(αι) τοῖς ὄμμασιν).

Αὐγέας *Augias*, Epeorum rex Ol. X 28: πέφνε δ' Εὔρυτον (Hercules), ὡς Αὐγέαν λάτριον ἀέκονθ' ἑκὼν μισθὸν ὑπέρβιον πράσσοιτο: eius urbem Hercules diruit ipsumque occidit X 34—42.

αὐδά *cantus* Ne. IX 4: τὸ κρατήσιππον γὰρ ἐς ἅρμ' ἀναβαίνων ματέρι καὶ διδύμοις παίδεσσιν αὐδὰν μανύει Πυθῶνος ὁμοκλάροις ἐπόπταις (Boeckh. ἀοιδὰν, Herm. αὐχὰν, Bergk.

coni. *αἴγλαν*): „hymnum ordiendum esse significat in honorem Latonae et liberorum“ Dissen.

αὐδᾱ́εις vocalis fr. 194 (206): *τειχίζωμεν ἤδη ποικίλον κόσμον αὐδάεντα λόγων.*

αὐδάω *dico, loquor* Is. V (VI) 42: *αὔδασε τοιοῦτον ἔπος.* Ol. II 101 (92): *αὐδάσομαι ἐνόρκιον λόγον ἀλαθεῖ νόῳ* (var. *αὐδάσομεν*). I 7: *μηδ' Ὀλυμπίας ἀγῶνα φέρτερον αὐδάσομεν*: h. e. secundum Boeckhium *αὐδάσωμεν*; adversatur tamen Dissenius probante Mezgero corripuisse Pindarum vocales, ut Homerus fecit, negans. Py. IV 232 = Ne. X 89: *ὣς ἄρ' αὐδάσαντος.* Py. IV 61: *ἅ σε χαίρειν ἐς τρὶς αὐδάσαισα πεπρωμένον βασιλέ' ἄμφανεν Κυράνᾳ*: quum salvere iussisset.

αὐερύω v. ***ἀναρύω.***

αὖθι (*statim*) *in loco* Ol. VIII 39: *αὖθι δ' ἀτυζομένω* (*δράκοντε*) *ψυχὰς βάλον.*

βορά *cibus* fr. 124 (94), 5: δείπνου δὲ λήγοντος γλυκὺ τρωγάλιον καίπερ πεδ' ἄφθονον βοράν.

Βορέας *Boreas*, aquilo Ol. III 55: ἴδε καὶ κείναν χθόνα πνοιαῖς ὄπιθεν Βορέα ψυχροῦ. deus Py. IV 182: Θᾶσσον ἔντυνεν βασιλεὺς ἀνέμων Ζήταν Κάλαΐν τε πατὴρ Βορέας.

βοτάνα *herba* Ne. VI 47 (42): βοτάνα τέ νιν ποθ' ἁ λέοντος νικῶντ' ἤρεφε δασκίοις Φλιοῦντος ὑπ' ὠγυγίοις ὄρεσιν: „sita Nemea prope Phliasios montes cum cupresseto sacro, ubi templum Iovis erat et ludi habebantur. Hic locus dicitur νάπα λέοντος Is. III 11, χόρτοι λέοντος Ol. XIII 43; unde quod ibi crescebat apium victores et nunc Creontidam coronans, βοτάνα λέοντος nominatur" Dissen. „nescio an Pindarus scripserit βοτάνᾳ δέ νιν πόα λέοντος i. e. apio pratum leonis eum coronavit" Bergk.

βουβότας *boves pascens v. alens* Is. V (VI) 32: τὸν βουβόταν οὔρεϊ ἴσον Φλεγραῖσιν εὑρὼν Ἀλκυονῆ: „bubulcus dicitur, quum Solis boves ex Erythia abegisse ferretur, cf. Apollod. I 6, 1" Dissen. — de loco Ne. IV 52: βουβόται τόθι πρῶνες ἔξοχοι κατάκεινται: pascuis apti.

βουθυσία *sacrificium bovinum* Ne. X 23: ἀγών τοι χάλκεος δᾶμον ὀτρύνει ποτὶ βουθυσίαν Ἥρας ἀέθλων τε κρίσιν: τελεῖται κατὰ τὸ Ἄργος τὰ Ἥραια, ἃ καὶ Ἑκατόμβαια καλεῖται παρὰ τὸ ἑκατὸν βοῦς θύεσθαι τῇ θεῷ. τὸ δὲ ἔπαθλον ἀσπὶς χαλκῆ, ὁ δὲ στέφανος ἐκ μυρσίνης. Schol. ad Ol. VII 152. Ol. V 6: τὰν σὰν πόλιν αὔξων, Καμάρινα, λαοτρόφον βωμοὺς ἓξ διδύμους ἐγέραρεν ἑορταῖς θεῶν μεγίσταις ὑπὸ βουθυσίαις: „non solum victor post ludos (ut ait schol.), sed in ipsis etiam ludorum quinque diebus ad deorum benignitatem expetendam" Boeckh.

βουλά (sg. βουλάν. pl. βουλαί, -ᾶν, -αῖσι(ν), -αῖς) *deliberatio, consilium, iudicium* Ne. X 89: οὐ γνώμα διπλόαν θέτο βουλάν. Is. VI (VII) 8: (θυμὸν τεὸν εὔφρανας) ἀμφὶ πυκναῖς Τειρεσίαο βουλαῖς. fr. 199 (213): ἔνθα βουλαὶ γερόντων καὶ νέων ἀνδρῶν ἀριστεύουσιν αἰχμαί. Py. IV 282: ἐν παισὶν νέος, ἐν δὲ βουλαῖς πρέσβυς. II 65: βουλαὶ δὲ πρεσβύτεραι: ὑπὲρ τὴν νεότητα βουλεύῃ. Schol. Py. VIII 3: Ἁσυχία, — βουλᾶν τε καὶ πολέμων ἔχοισα κλαῖδας ὑπερτάτας: εἰρήνης μὲν κατὰ τὸ φυλακτικόν, ἐν ᾗ καὶ βουλαί εἰσι· πολέμων δέ, ἵνα διακλείῃ αὐτοὺς καὶ ἀπείργῃ. Schol. Ne. VIII 8: βασιλεὺς χειρὶ καὶ βουλαῖς ἄριστος. Py. IV 72: θέσφατον ἦν Πελίαν ἐξ ἀγαυῶν Αἰολιδᾶν θανέμεν χείρεσσιν ἢ βουλαῖς ἀκάμπτοις. V 119: καὶ τὸ λοιπὸν ὁμοῖα — διδοῖτ' ἐπ' ἔργοισιν ἀμφί τε βουλαῖς ἔχειν. Ne. I 27: πράσσει γὰρ ἔργῳ μὲν σθένος, βουλαῖσι δὲ φρὴν ἐσσόμενον προιδεῖν συγγενὲς οἷς ἕπεται. Py. III 30: κλέπτει τέ νιν οὐ θεὸς οὐ βροτὸς ἔργοις οὔτε βουλαῖς. Ol. VI 46: αὐτὸν δαιμόνων βουλαῖσιν ἐθρέψαντο δράκοντες, cf. Is. III 37 (IV 19): ἄνθησε — δαιμόνων βουλαῖς. Ol. II 83 (75): βουλαῖς ἐν ὀρθαῖσι Ῥαδαμάνθυος: „secundum iudicia ab Rh. exercita" Boeckh.

βουλᾱφόρος *deliberatorius* Ol. XII 5: τὶν γὰρ (,Τύχα,) ἐν πόντῳ κυβερνῶνται θοαὶ νᾶες, ἐν χέρσῳ τε λαιψηροὶ πόλεμοι κἀγοραὶ βουλαφόροι: „quales nunc Himerae sunt libertate restituta" Dissen.

βούλευμα *consilium* fr. 61 (33), 3: οὐ — τὰ θεῶν βουλεύματ' ἐρευνάσει βροτέᾳ φρενί. Ne. V 28: πείσαισ' ἀκοίταν ποικίλοις βουλεύμασιν.

βουλεύω *consulo, intendo* Ne. IX 37: παῦροι δὲ βουλεῦσαι φόνου παρποδίου νεφέλαν τρέψαι ποτὶ δυσμενέων ἀνδρῶν στίχας χερσὶ καὶ ψυχᾷ δυνατοί. fr. 234 (258), 3: κάπρῳ δὲ βουλεύοντα φόνον κύνα χρὴ τλάθυμον ἐξευρεῖν.

βούλομαι *volo* fr. 118 (83): *βούλομαι παίδεσσιν Ἑλλάνων . . . . .*

βουπομπός *boum pompis insignis* fr. 193 (205): *πενταετηρὶς ἑορτὰ βουπομπός, ἐν ᾇ πρῶτον εὐνάσθην — ὑπὸ σπαργάνοις.*

βοῦς (sg. *βοῦς*. pl. *βοῶν, βουσίν, βόας*) m. f. *bos* fr. 234 (258): *ὑφ' ἅρμασιν ἵππος, ἐν δ' ἀρότρῳ βοῦς.* Py. IV 225: *ἄροτρον σκίμψατο καὶ βόας* (sc. *ἔστησε*), *οἳ φλόγ' ἀπὸ ξανθᾶν γενύων πνέον καιομένοιο πυρός.* IV 149: *βοῶν ξανθὰς ἀγέλας.* IX 23: *ἀσύχιον βουσὶν εἰράναν παρέχοισα πατρῴαις.* Ne. X 60: *Ἴδας ἀμφὶ βουσίν πως χολωθείς: διὰ βοῶν ἀπελασίαν.* Schol. fr. 169 (151), 5: *Γηρυόνα βόας — ἀναιτήτας τε καὶ ἀπριάτας ἤλασεν.* fr. 168 (150): *δοιὰ βοῶν θέρμ' ἔδει ἀνθρακιὰν στέψαντα πυρίπνοά τε σώματα.* — met. Py. IV 142: *μία βοῦς Κρηθεῖ τε μάτηρ καὶ θρασυμήδεϊ Σαλμωνεῖ*: dicitur Enarea, Aeoli uxor, abavia Iasonis et Peliae; proverbialis videtur dictio subesse.

βοῶπις *magnis oculis insignis* Py. III 91: *Ἁρμονίαν γᾶμεν βοῶπιν.*

βρᾰχύς (sg. m. *βραχύς, -ύν.* n. *βραχύ, -εῖ, -ύ.* pl. f. *βραχεῖαι.* superl. n. *βραχίστοις*) *brevis* 1) de loco Py. IX 68: *ὠκεῖα δ' ἐπειγομένων ἤδη θεῶν πρᾶξις ὁδοί τε βραχεῖαι.* IV 248: *οἶμον ἴσαμι βραχύν.* IV 286: *ὁ γὰρ καιρὸς πρὸς ἀνθρώπων βραχὺ μέτρον ἔχει*, cf. Is. I 62: *βραχὺ μέτρον ἔχων ὕμνος.* de statura Is. III 71 (IV 53): *μορφὰν βραχύς, ψυχὰν δ' ἄκαμπτος*: dicitur Hercules. — 2) de numero Ol. X 93: *κενεὰ πνεύσαις ἔπορε μόχθῳ βραχύ τι τερπνόν: ἀντὶ τοῦ οὐδέν, οὐδὲ ὀλίγον, οὐδὲ τὸ ἐλάχιστον.* Schol. Is. V (VI) 59: *τὸν Ἀργείων τρόπον εἰρήσεται πᾷρ' ἐν βραχίστοις.* Py. I 82: *πολλῶν πείρατα συντανύσαις ἐν βραχεῖ*: paucis. — 3) de vi: imbecillus, c. inf. Is. VI (VII) 44: *τὰ μακρὰ δ' εἴ τις παπταίνει, βραχὺς ἐξικέσθαι χαλκόπεδον θεῶν ἕδραν: ἀσθενής.* Schol. Ne. X 19: *βραχύ μοι στόμα πάντ' ἀναγήσασθαι.*

βραχυσίδᾱρος *brevi ferro armatus, breviter ferratus* Ne. III 45: *βραχυσίδαρον ἄκοντα πάλλων: ἐπεὶ παῖς ἦν ὁ Ἀχιλλεύς.* Schol.

βρέμω, βρέμομαι *fremo*, ad musicos sonos transfertur Ne. XI 7: *λύρα δέ σφι βρέμεται καὶ ἀοιδά.* — met. Py. XI 30: *ὁ δὲ χαμηλὰ πνέων ἄφαντον βρέμει*: occulta fremit, h. e. „er treibt sein Wesen unbemerkt“ Mezger.

βρέφος *infans* Ol. VI 33: *ἐκέλευσεν ἥρωι πορσαίνειν δόμεν Εἰλατίδᾳ βρέφος.* Py. IX 62: *ταὶ δ' ἐπιγουνίδιον θαησάμεναι βρέφος αὐταῖς.*

βρέχω *irrigo, perfundo* Ol. X 51: *πρόσθε γὰρ* (*πάγος Κρόνου*) *νώνυμνος, ᾆς Οἰνόμαος ἆρχε, βρέχετο πολλᾷ νιφάδι.* VI 55: *ἴων ξανθαῖσι καὶ παμπορφύροις ἀκτῖσι βεβρεγμένος ἁβρὸν σῶμα*: perfusus, oppletus. Ol. VII 34: *ἔνθα ποτὲ βρέχε θεῶν βασιλεὺς ὁ μέγας χρυσέαις νιφάδεσσι πόλιν.* — met. fr. 240 (269): *μὴ σιγᾷ βρεχέσθω* (Boeckh. pro *μησὶ γὰρ βρ.*).

βρῑθω 1) intr. *gravis, plenus sum* fr. 129 (95), 3: *προάστιον αὐτῶν καὶ λιβάνῳ σκιαρὸν καὶ χρυσέοις καρποῖς βεβριθός* (Reiskius, vulgo *βέβριθε* probante Boeckhio). — met. Ne. III 40: *συγγενεῖ δέ τις εὐδοξίᾳ μέγα βρίθει*: multum valet. — 2) trans. *gravem v. onustum reddo, cumulo*, met. Ne. VIII 18: *ὅσπερ καὶ Κινύραν ἔβρισε πλούτῳ ποντίᾳ ἔν ποτε Κύπρῳ.*

βρόμιος 1) *sonorus* Ne. IX 8: *ἀλλ' ἀνὰ μὲν βρομίαν φόρμιγγ', ἀνὰ δ' αὐλὸν ἐπ' αὐτὰν ὄρσομεν ἱππίων ἀέθλων κορυφάν.* — 2) **Βρόμιος** *Bromius* h. e. Bacchus fr. 75 (45), 10: *τὸν Βρόμιον Ἐριβόαν τε βροτοὶ καλέομεν, γόνον ὑπάτων μὲν πατέρων μελπέμεν γυναικῶν τε Καδμειᾶν ἔμολον.*

βρόμος *fremitus, fragor* Ol. II 27 (25): *ζώει μὲν ἐν Ὀλυμπίοις ἀποθανοῖσᾱ βρόμῳ κεραυνοῦ τανυέθειρα Σεμέλα.*

βροντά (brevis vocalis antecedens producitur nusquam) *tonitru* Ol. X 79: *κελαδησόμεθα βροντὰν καὶ πυρπάλαμον βέλος ὀρσικτύπου Διός, — αἴθωνα κεραυνόν.* IV 1: *ἐλατὴρ ὑπέρτατε βροντᾶς ἀκαμαντόποδος Ζεῦ: ὡς ἐπὶ ἵππου χρῆται τῷ λόγῳ.* Schol. Py. IV 197: *ἐκ νεφέων δέ οἱ ἀντάυσε βροντᾶς αἴσιον φθέγμα.* IV 23: *αἴσιον δ' ἐπί οἱ Κρονίων Ζεὺς πατὴρ ἔκλαγξε βροντάν* (Bergk. sec. paraphr., qui habet *βροντήσας*, e coni. scr. *βρονταίς* h. e. *βροντάς* participium verbi *βρόντημι* usurpatum a Corinna fr. 35).

βρότεος (sg. f. *βροτέα, -αν.* n. *βρότεον.* pl. f. *βροτεᾶν, -αις.* n. *βροτέων,*

-εα. brevis vocalis antecedens producitur Is. VII 35. fr. 222) *mortalis, humanus* Ol. IX 34: *ῥάβδον, βρότεα σώμαθ' ᾇ κατάγει (Ἀίδας) κοίλαν πρὸς ἀγυιὰν θνασκόντων.* Ne. III 74: *μέρος ἕκαστον οἷον ἔχομεν βρότεον ἔθνος.* Is. VII 35 (VIII 39): *βροτέων δὲ λεχέων τυχοῖσα.* Py. XII 1: *καλλίστα βροτεᾶν πολίων.* fr. 61 (33), 3: *οὐ — τὰ θεῶν βουλεύματ' ἐρευνάσει βροτέᾳ φρενί.* fr. 222 (243), 3: *δάμναται δὲ βροτέαν φρένα κάρτιστον κτεάνων.* Py. I 41: *ἐκ θεῶν γὰρ μαχαναὶ πᾶσαι βροτέαις ἀρεταῖς.*

βροτήσιος *mortalis* Py. V 3: *ὁ πλοῦτος εὐρυσθενής, ὅταν τις — βροτήσιος ἀνὴρ πότμου παραδόντος αὐτὸν ἀνάγῃ πολύφιλον ἑπέταν.*

βροτός (sg. m. *βροτός, -ῷ.* n. *βροτόν.* pl. m. *βροτοί, -ῶν, -οῖς, -οῖσιν.* brevis vocalis antecedens producitur quinquies) 1) adi. *mortalis* Py. X 28: *ὁ χάλκεος οὐρανος οὔ ποτ' ἀμβατὸς αὐτῷ· ὅσαις δὲ βροτὸν* (E. Schmid., libri *βρότεον*) *ἔθνος ἀγλαΐαις ἁπτόμεσθα, περαίνει πρὸς ἔσχατον.* — 2) subst. *mortalis* (homo) plerumque opp. immortalibus (deis) Py. III 30: *κλέπτει τέ νιν οὐ θεὸς οὐ βροτὸς ἔργοις οὔτε βουλαῖς.* Ol. I 103 (100): *τὸ δ' αἰεὶ παράμερον ἐσλὸν ὕπατον ἔρχεται παντὶ βροτῷ* (Bergk. c. vett. plerisque *βροτῶν*). — plur. Py. II 51: (*θεός, ὃ*) *καὶ ὑψιφρόνων τιν' ἔκαμψε βροτῶν.* III 81: *ἓν παρ' ἐσλὸν πήματα σύνδυο δαίονται βροτοῖς ἀθάνατοι.* fr. 141 (105): *θεὸς ὁ τὰ πάντα τεύχων βροτοῖς καὶ χάριν ἀοιδᾷ φυτεύει.* Py. II 21: *θεῶν δ' ἐφετμαῖς Ἰξίονα φαντὶ ταῦτα βροτοῖς λέγειν ἐν πτερόεντι τροχῷ παντᾷ κυλινδόμενον.* Ol. XIV 6: *σὺν ὔμμιν* (*ὦ Χάριτες*) *τὰ τερπνά τε καὶ γλυκέα ἀνατέλλεται πάντα βροτοῖς.* fr. 87 (58), 3: *χθονὸς — τέρας, ἅντε βροτοὶ Δᾶλον κικλήσκοισιν, μάκαρες δ' ἐν Ὀλύμπῳ τηλέφαντον κυανέας χθονὸς ἄστρον.* fr. 75 (45), 10: *θεόν, τὸν Βρόμιον Ἐριβόαν τε βροτοὶ καλέομεν.* Ne. VII 96: *Ἥρας πόσιν τε πειθέμεν κόραν τε γλαυκώπιδα· δύνασαι δὲ βροτοῖσιν ἀλκὰν ἀμαχανιᾶν δυσβάτων θαμὰ διδόμεν.* Ne. XI 29: *ἀλλὰ βροτῶν τὸν μὲν κενεόφρονες αὖχαι ἐξ ἀγαθῶν ἔβαλον.* Py. VIII 92: *ἐν δ' ὀλίγῳ βροτῶν τὸ τερπνὸν αὔξεται.* II 75: *οὐδ' ἀπάταισι θυμὸν τέρπεται ἔνδοθεν, οἷα ψιθύρων παλάμαις ἕπετ' αἰεὶ βροτῶν.* Ol. II 33 (30): *ἤτοι βροτῶν γε κέκριται πεῖρας οὔ τι θανάτου.* Ol. I 28. III 39. IV 16 (20). Py. III 88. Ne. X 78. Is. VI (VII) 17. VII (VIII) 15.

βωλάκιος *glebosus* Py. IV 228: *ὀρθὰς δ' αὔλακας ἐντανύσαις ἤλαυν', ἀνὰ βωλακίας* (var. *ἀναβωλακίας*) *δ' ὀρόγυιαν σχίζε νῶτον γᾶς*: magna est hoc loco interpretum dissensio; si a paraphr. discesseris *ἀναβωλακίας* coniunctim legente atque cum *γᾶς* consociante, Boeckhius *ἀνὰ* ad *ὀρόγυιαν* refert, Dissenius ad *σχίζε*; at Bergkius utrique interpretationi obstare collocationem praepositionis existimans *ἀνὰ βωλακίας* idem esse censet quod *ἀνὰ βώλους* sive *βώλακας*, quemadmodum a *χάραξ* descendat *χαρακίας*, ab *ὄμφαξ ὀμφακίας*, a *μύρμηξ μυρμηκίας.*

βῶλαξ *gleba* Py. IV 37: *χειρί οἱ χεῖρ' ἀντερείσαισ' δέξατο βώλακα δαιμονίαν.*

βωμός (sg. *βωμός, -οῖο, -ῷ, -όν.* pl. *βωμῶν, -οῖς, -ούς*) *ara, altare* Ol. V 5: *βωμοὺς ἓξ διδύμους ἐγέραρεν ἑορταῖς θεῶν μεγίσταις ὑπὸ βουθυσίαις*: *Ὀλυμπιάσι βωμοί εἰσιν ἓξ δίδυμοι τοῖς δώδεκα θεοῖς ἀνιδρυμένοι, ἑνὸς ἑκάστου βωμοῦ δύο θεοῖς καθωσιωμένου· πρῶτος Διὸς καὶ Ποσειδῶνος, δεύτερος Ἥρας καὶ Ἀθηνᾶς, τρίτος Ἑρμοῦ καὶ Ἀπόλλωνος, τέταρτος Χαρίτων καὶ Διονύσου, πέμπτος Ἀρτέμιδος καὶ Ἀλφειοῦ, ἕκτος Κρόνου καὶ Ῥέας, ὥς φησιν Ἡρόδωρος.* Schol. Ol. X 25: *ἀγῶνα —, ὃν ἀρχαίῳ σάματι πὰρ Πέλοπος βωμῶν* (var. *βωμὸν* v. *βωμῷ*) *ἑξάριθμον* [*Ἡρακλέης*] *ἐκτίσσατο* (Bergk. e coni. *ἰσάριθμον*): v. *ἑξάριθμος.* Ol. III 19: *πατρὶ* (Iovi) *μὲν βωμῶν ἁγισθέντων.* X 101: *τὸν εἶδον κρατέοντα χερὸς ἀλκᾷ βωμὸν παρ' Ὀλύμπιον*: „h. e. in stadio Olympico, a quo distabat ara Iovis nonnisi CC pass. Rom.“ Dissen. Ol. VI 70: *Ζηνὸς ἐπ' ἀκροτάτῳ βωμῷ τότ' αὖ χρηστήριον θέσθαι κέλευσεν*: „ara Iovis, de qua dicitur, est maxima, in qua fuit oraculum *δι' ἐμπύρων*; constabat autem duabus partibus; inferiori impositum erat altare minus, in quo victimae crematae, unde oracula edebantur“ Boeckh. et Dissen. Ol. VI 5: *βωμῷ τε μαντείῳ ταμίας Διὸς ἐν Πίσᾳ*: „Agesias vocatur, pro-

pter ius hereditarium gentis (Iamidarum), ex quo ipse deum consulere potuit Olympiae praesens, licet habitaret Syracusis" Dissen. Ol. I 96 (93): *τύμβον ἀμφίπολον ἔχων πολυξενωτάτῳ παρὰ βωμῷ*: sc. Iovis Olympici, qua in ara peregrinorum plurimi sacrificia offerebant Olympiorum tempore, „partim oraculi per Iamidas petendi causa (cf. Ol. VI 5. VIII 2), partim pietate aut quod certamen subituri Iovem studebant sibi propitium reddere" Boeckh. Ne. V 10: *πὰρ βωμὸν πατέρος Ἑλλανίου στάντες*: h. e. Iovis Hellenii, qui in Aegina insula colebatur atque Aeacidarum habebatur pater gentilis. *Ἑλλήνιος δὲ Ζεὺς τιμᾶται ἐν Αἰγίνῃ παρὰ τῷ οὕτως Ἑλληνίῳ ἀκρωτηρίῳ καλουμένῳ.* Schol. Ol. XIII 108: *μαρτυρήσει Λυκαίου βωμὸς ἄναξ*: v. *ἄναξ*. Py. IV 206: *νεόκτιστον λίθων βωμοῖο θέναρ* (*ὑπᾶρχεν*): „erat ara, quam prisca fama diis duodecim ferebat consecratam; in ea etiam Argonautae nunc sacrificant Neptuno, duodecim deorum uni" Dissen. Ol. VII 42: *ὡς ἂν θεᾷ πρῶτοι κτίσαιεν βωμὸν ἐναργέα*: Minervae. Ol. XIII 82: *θέμεν Ἱππίᾳ βωμὸν εὐθὺς Ἀθάνᾳ.* XIII 75: *ἀνὰ βωμῷ θεᾶς κοιτάξατο νύκτ' ἀπὸ κείνου χρήσιος*: „incubatio (*ἐγκοίμησις*) in Minervae ara memoratur oraculi petendi causa instituta" Boeckh. Ol. IX 112: *Αἰάντεόν τε δαίθ' ὅσ' Ἰλιάδα νικῶν ἐπεστεφάνωσε βωμόν*: „moris fuisse videtur, ut victores in ara domestici huius herois deponerent coronas" Dissen. Is. III 80 (IV 62): *νεόδματα στεφανώματα βωμῶν αὔξομεν ἔμπυρα χαλκοαρᾶν ὀκτὼ θανόντων*: „fuerunt Thebis sacra Herculis liberis instituta, quos e Megara Creontis filia susceperat heros; puta vero *τέμενος* fuisse ante Electras portas, in quo sepulcrum liberorum et arae, ibique inferiae habitae cum epulo" Dissen. fr. 129 (95), 7: *ὀδμὰ — κίδναται αἰεὶ θύα μιγνύντων πυρὶ τηλεφανεῖ παντοῖα θεῶν ἐπὶ βωμοῖς.*

Γ

γᾶ, γαῖα (1) *γᾶς, γᾶν. Γᾶς.* — 2) *γαῖ(α), -ας, -ᾳ, -αν.* pl. *γαίας. Γαῖα, -ας, -ᾳ*) I) *terra* 1) Erde a) superficies terrae Py. XI 10: *ὀρθοδίκαν γᾶς ὀμφαλόν*, cf. VIII 59: *ἰόντι γᾶς ὀμφαλὸν παρ' ἀοίδιμον.* fr. 167 (148): *ὤχεθ' ὑπὸ χθόνα Καινεὺς σχίσαις ὀρθῷ ποδὶ γᾶν.* Ne. IX 25: *Ἀμφιάρῃ σχίσσαις κεραυνῷ παμβίᾳ Ζεὺς γᾶν βαθύστερνον χθονὶ κρύψεν θάμ' ἵπποις* (Rauchenstein., libri *τὰν βαθύστερνον χθόνα*). Py. IV 229: *ἀνὰ βωλακίας δ' ὀρόγυιαν σχίζε νῶτον γᾶς.* opp. mari Py. I 14: *γᾶν τε καὶ πόντον κατ' ἀμαιμάκετον.* Ne. III 26: *ἐρεύνασε τεναγέων ῥοὰς — καὶ γᾶν φράδασσε.* fr. 101 (70): *περιδιναθεὶς ἐπήει γᾶν καὶ θάλασσαν.* fr. 107 (74), 15: *ὕδατι ζακότῳ ξερὰν — γαῖαν κατακλύσαισα.* Is. III 37 (IV 19): *ὁ κινητὴρ δὲ γᾶς Ὀγχηστὸν οἰκέων.* opp. coelo fr. 132 (97): *ψυχαὶ δ' ἀσεβέων ὑπουράνιοι γαίᾳ ποτῶνται —· εὐσεβέων δ' ἐπουράνιοι ναίοισαι κτλ.* de inferis Ol. II 65 (59): *τὰ δ' ἐν τᾷδε Διὸς ἀρχᾷ ἀλιτρὰ κατὰ γᾶς δικάζει τις.* Ne. X 56: *ὑπὸ κεύθεσι γαίας.* X 87: *γαίας ὑπένερθεν ἐών.* Py. IX 81: *τὸν — κρύψαν ἔνερθ' ὑπὸ γᾶν.* Ne. XI 16: *τελευτὰν ἁπάντων γᾶν ἐπιεσσόμενος.* X 8: *γαῖα δ' ἐν Θήβαις ὑπέδεκτο κεραυνωθεῖσα Διὸς βέλεσιν μάντιν Οἰκλείδαν.* Ol. VI 14: *κατὰ γαῖ' αὐτόν τέ νιν καὶ φαιδίμας ἵππους ἔμαρψεν.* — b) humus, ager, Erdreich Ne. I 68: *βελέων ὑπὸ ῥιπαῖσι κείνου φαιδίμαν γαίᾳ πεφύρσεσθαι κόμαν ἔνεπεν.* X 35: *γαίᾳ δὲ καυθείσᾳ πυρὶ καρπὸς ἐλαίας ἔμολεν*: *γαῖαν δὲ κεκαυμένην εἶπε τὴν ὑδρίαν, ἐν ᾗ τὸ ἔλαιον· ὀπτᾶται γὰρ ὁ κέραμος.* Schol. Py. IV 21: *κεῖνος ὄρνις —, τόν ποτε — θεῷ ἀνέρι εἰδομένῳ γαῖαν διδόντι ξείνια πρῴραθεν Εὔφαμος καταβὰς δέξατο*: *λέγει τὴν βῶλον.* Schol., cf. IV 37: *δέξατο βώλακα δαιμονίαν.* fr. 154 (126): *ἐμοὶ δ' ὀλίγον μὲν γᾶς δέδοται, τόθεν ἔδρυς*: „parvus agellus" Boeckh. — 2) Land Ol. VII 75: *διὰ γαῖαν τρίχα δασσάμενοι πατρωίαν.* Py. IV 290: *πατρῴας ἀπὸ γᾶς ἀπό τε κτεάνων.* IV 97: *ποίαν γαῖαν, ὦ ξεῖν', εὔχεαι πατρίδ' ἔμμεν*; Is. III 73: *γαίας τε πάσας καὶ βαθυκρήμνου πολιᾶς ἁλὸς ἐξευρὼν θέναρ*: omnes terras. Is. II 27: *νιν*

ἀσπάζοντο — γαῖαν ἀνὰ σφετέραν, τὰν δὴ καλέοισιν Ὀλυμπίου Διὸς ἄλσος. Py. I 30: *Ζεῦ —, ὃς τοῦτ' ἐφέπεις ὄρος, εὐκάρποιο γαίας μέτωπον*: Siciliae. Ol. VII 63: *ὁρᾶν ἔνδον θαλάσσας αὐξομέναν πεδόθεν πολύβοσκον γαῖαν ἀνθρώποισι καὶ εὔφρονα μήλοις*: Rhodum insulam. Py. IV 14: *τᾶσδ' ἐξ ἁλιπλάκτου — γᾶς*: ex insula Thera. Py. IV 26: *φέρομεν νώτων ὕπερ γαίας ἐρήμων εἰνάλιον δόρυ*: dicit deserta Libyae. Ol. III 25: *δὴ τότ' ἐς γαῖαν πορεύειν θυμὸς ὥρμαιν' Ἰστρίαν νιν.* fr. 186 (185): *αὐτόν με πρώτιστα συνοικιστῆρα γαίας ἔσδεξαι τεμενοῦχον.* — c. gen. Ol. IX 58: *θύγατρ' ἀπὸ γᾶς Ἐπειῶν Ὀπόεντος ἀναρπάσαις.* Py. IV 118: *οὐ μὰν ξεῖνος ἵκω γαῖαν ἄλλων.* (de fr. 106 (73), 5 v. ὁ.) — II) ***Γᾶ, Γαῖα*** *Terra, Tellus* Ol. II 84 (76): *ὃν πατὴρ ἔχει πάις ὁ Γᾶς ἑτοῖμον πάρεδρον*: Saturnus. Ol. VII 38: *Οὐρανὸς δ' ἔφριξέ νιν καὶ Γαῖα μάτηρ.* Py. IX 17: *Ναΐς — Κρέοισ' ἔτικτεν, Γαίας θυγάτηρ.* IX 102: *ἐν Ὀλυμπίοισί τε καὶ βαθυκόλπου Γᾶς ἀέθλοις*: Cyrenis etiam Telluria habita, Cyrene enim Hypsei filia aviam habuit Creusam, cuius mater Tellus, cf. IX 60: *ὃν* (Aristaeum) *κλυτὸς Ἑρμᾶς εὐθρόνοις Ὥραισι καὶ Γαίᾳ ἀνελὼν — οἴσει.* fr. 253 (140): *Αὐτόχθονες· . . . ὁ δὲ Πίνδαρος καὶ ὁ τὴν Δαναΐδα πεποιηκώς φασιν Ἐριχθόνιον καὶ Ἥφαιστον ἐκ Γῆς φανῆναι* (Harpocrat. p. 41 ed. Bekk.).

Γάδειρα *Gades*, urbs Hispaniae Ne. IV 69: *Γαδείρων τὸ πρὸς ζόφον οὐ περατόν*: *οὐκ ἔστι δυνατὸν τὸν πάντα λόγον καὶ ἔπαινον τῶν ἐκγόνων τοῦ Αἰακοῦ διελθεῖν, ὥσπερ οὐδὲ Γαδείρων ἐπέκεινα. Γάδειρα γὰρ πόλις μέχρι τῶν στηλῶν Ἡρακλέους, ἔνθα τὸ τέλος ἐστὶ τοῦ πλεῖν καὶ τοῦ ὁδεύειν· περαιτέρω γὰρ λοιπὸν ὁ Ὠκεανὸς καὶ πάντα ἀφανῆ ζόφου ὄντος.* Schol.

Γαδειρίς fr. 256 (155): *Καὶ τὰς Πλαγκτὰς καὶ τὰς Συμπληγάδας ἐνθάδε μεταφέρουσί τινες ταύτας εἶναι νομίζοντες στήλας, ἃς Πίνδαρος καλεῖ πύλας Γαδειρίδας* (C *Γαδειρίτας*), *εἰς ταύτας ὑστάτας ἀφῖχθαι φάσκων τὸν Ἡρακλέα. — Καὶ ὁ Πίνδαρος οὕτως ἂν ὀρθῶς λέγοι πύλας Γαδειρίδας, εἰ ἐπὶ τοῦ στόματος νοοῖντο αἱ στῆλαι· πύλαις γὰρ ἔοικε τὰ στόματα* (Strabo III 170 et 171).

γᾱθέω *gaudeo* Ne. III 33: *παλαιαῖσι δ' ἐν ἀρεταῖς γέγαθε Πηλεὺς ἄναξ, ὑπέραλλον αἰχμὰν ταμών*: h. e. gaudet virtutes virili aetate adeptus eisque fruens in senectute; contra perfecti vim habere *γέγαθε* et cum participio *ταμών* iungendum censet Dissenius vertens: „seniore in virtute laetatus est quum abscidisset". Py. IV 122: *ἂν πέρι ψυχὰν — γάθησεν ἐξαίρετον γόνον ἰδὼν κάλλιστον ἀνδρῶν.*

γαῖα v. *γᾶ.*

Γαιᾱοχος *terram continens* v. *cingens* h. e. Neptunus Ol. I 25: *τοῦ μεγασθενὴς ἐράσσατο Γαιάοχος Ποσειδᾶν* (Christ. *χαιάοχος*). Py. IV 33: *φάτο δ' Εὐρύπυλος Γαιαόχου παῖς ἀφθίτου Ἐννοσίδα ἔμμεναι.* Is. VI (VII) 38: *ἀλλὰ νῦν μοι Γαιάοχος εὐδίαν ὄπασσεν ἐκ χειμῶνος.* Ol. XIII 81: *ὅταν δ' εὐρυσθενεῖ κραταίποδ' ἀναρύῃ Γαϊαόχῳ* (recc. *Γεαόχῳ*, quod defendit Boeckhius).

γάλα *lac* fr. 166 (147): *ἀπὸ μὲν λευκὸν γάλα χερσὶ τραπεζᾶν ὤθεον.* fr. 106 (73): *Σκύριαι δ' ἐς ἄμελξιν γάλακτος αἶγες ἐξοχώταται*, ubi *γλάγους* ex Eust. ad Od. 1569, 44 restituit Bergkius veram tamen formam *γλάγευς* aut *γλάγεος* fuisse existimans. met. Ne. III 78: *ἐγὼ τόδε τοι πέμπω μεμιγμένον μέλι λευκῷ σὺν γάλακτι — πόμ' ἀοίδιμον*: „h. e. dulcem potum, dulci laude plenum eundemque lenem, qui non stimulet ad novas res gerendas ut vinum fervens, sed miti hilaritate et tranquillitate animum perfundat" Dissen.

γαμβρός (sg. *γαμβρός, -οῦ, -ῷ, -όν.* pl. *γαμβροί*) *affinis*, quivis per nuptias alicui coniunctus; itaque 1) gener Is. III 78 (IV 60): *χρυσέων οἴκων ἄναξ καὶ γαμβρὸς Ἥρας*: Hercules. Is. V (VI) 25: *Πηλέος —, εὐδαίμονος γαμβροῦ θεῶν.* futurus gener, sponsus Ol. VII 4: *φιάλαν — δωρήσεται νεανίᾳ γαμβρῷ προπίνων.* Py. IX 116: *ἄντινα σχήσοι τις ἡρώων, ὅσοι γαμβροί σφιν ἦλθον*: sponsi futuri, proci. — maritus sororis Ne. V 37: *τινὰ Νηρεΐδων πράξειν ἄκοιτιν, γαμβρὸν Ποσειδάωνα πείσαις*: „Neptunus Amphitriten Nereidem uxorem habens Nereidum est *γαμβρός*, ut maritus sororis" Dissen. — 2) fr. 9: „generum vero pro marito positum multi accipiunt, . . . nam et Pinda-

rus ἐν τοῖς Ἰσθμίοις γαμβρὸς ἀντὶ τοῦ νυμφίου dixit". Serv. Verg. Georg. 131.

γαμέω *in matrimonium duco* Ne IV 65: ἔγᾶμεν ὑψιθρόνων μίαν Νηρεΐδων. Py. III 91: Ἁρμονίαν γᾶμεν βοῶπιν.

γάμος (sg. γάμου. -ῳ. -ον. pl. γαμοισι) *coniugium, nuptiae*, etiam *concubitus* Ne. I 71: δεξάμενον θαλερὰν Ἥβαν ἄκοιτιν καὶ γάμον δαίσαντα. fr. 139, 6: Ὑμέναιον, ὃν ἐν γάμοισι (Herm. pro cod. ἐργάμοισι) χροϊζόμενον . . . σὺν πρῶτον λάβεν. Py. III 13: ἄλλον αἴνησεν γάμον κρύβδαν πατρός. IV 222: καταίνησάν τε κοινὸν γάμον γλυκὺν ἐν ἀλλάλοισι μῖξαι. IX 66: τερπνὰν γάμου κραίνειν τελευτάν. IX 13: ξυνὸν ἁρμόζοισα θεῷ τε γάμον μιχθέντα κούρᾳ θ' Ὑψέος. Ol. XIII 53: τὰν πατρὸς ἀντία Μήδειαν θεμέναν γάμον αὐτᾷ. Py. IX 112: πατὴρ δὲ θυγατρὶ φυτεύων κλεινότερον γάμον. IX 114: εὗρεν — παρθένοισι, πρὶν μέσον ἆμαρ ἑλεῖν, ὠκύτατον γάμον. Is. VII 38 (VIII 42): Πηλέι γάμου θεόμορον ὀπάσσαι γέρας. Ol. I 71 (69): ἑτοῖμον ἀνεφρόντισεν γάμον Πισάτα παρὰ πατρὸς εὔδοξον Ἱπποδάμειαν σχεθέμεν: „paratum et oblatum iis, qui ambire vellent, coniugium s. coniugem" Dissen. Ol. I 82 (80): ἀναβάλλεται γάμον θυγατρός. fr. 29 (5), 6: γάμον λευκωλένου Ἁρμονίας. Is. VII 47 (VIII 52): φαντὶ γὰρ ξύν' ἀλέγειν καὶ γάμον Θέτιος ἄνακτα. VII 27 (VIII 30): Ζεὺς ὅτ' ἀμφὶ Θέτιος ἀγλαός τ' ἔρισαν Ποσειδᾶν γάμῳ. (de Ne. I 72 v. νόμος.)

Γᾰνυμήδης *Ganymedes*, Trois filius, Iovis amasius Ol. I 45 (43): ἔνθα (h. e. ποτὶ δῶμα Διὸς) δευτέρῳ χρόνῳ ἦλθε καὶ Γανυμήδης Ζηνὶ τωὔτ' ἐπὶ χρέος: προτέρῳ δὲ ἐχρῆν εἰπεῖν· πρεσβύτερος γὰρ Γανυμήδης Πέλοπος. Schol. Ol. X 104: ὥρᾳ —, ἅ ποτε ἀναιδέα Γανυμήδει πότμον ἄλαλκε σὺν Κυπρογενεῖ, cf. Hom. Il. XX 234. fr. 282 (110): πολλὰ γὰρ καὶ περὶ δαιμόνων ᾄδουσιν, οἷα καὶ Πινδάρῳ κατὰ σοφίαν ὕμνηται περὶ τοῦ δαίμονος, ὃν ταῖς πηγαῖς ταύταις ἐφίστησιν ὑπὲρ ξυμμετρίας τοῦ Νείλου (Philostr. Athen. Vit. Apoll. Tyan. VI 26). Deus s. genius, quem Pindarus fontibus Nili custodem apposuit, Ganymedes videtur esse, cf. Schol. Arat. Phaen. 282: ἔχων γὰρ ἕστηκεν οἰνοχόην καὶ ἔκχυσιν πολλὴν ποιεῖται ὑγροῦ, ἥτις εἰκάζεται τῷ νέκταρι τοῦ Γανυμήδους. τὸν Γανυμήδην γὰρ αὐτὸν ἔφασαν οἱ περὶ Πίνδαρον ἑκατοντόργυιον (ἑκατοντορόγυιον coni. Bergk.) ἀνδριάντα. ἀφ' οὗ τῆς κινήσεως τῶν ποδῶν τὸν Νεῖλον πλημμυρεῖν.

γάπεδον v. **δάπεδον.**

γάρ (plerumque secundum locum tenet; tertium, si praemittitur 1) praep. c. casu Ol. XIII 6. Py. I 41. V 50. 83. Ne. VIII 17. Is. III 41. — 2) subst. v. adi. c. artic. Ne. VII 12. IX 4. Is. II 6. III 48. — 3) subst. c. adi. Ne. VII 33 (Bgk.). — 4) part. μέν Ol. II 53 (48). VII 23. Py. IV 272. VIII 25. — τὲ Py. IV 148. IX 90. XI 29. Is. III 51. — ναὶ μὰ γάρ Ne. XI 24. — 5) καὶ — γάρ Ol. VII 48. VIII 56. ἀλλὰ — γάρ Ol. I 56 (55). VI 54. Ne. VII 30. Is. III 34. VI 16, ubi Bergkius addito articulo particulae γάρ quartum tribuit locum) particula 1) argumentativa et explicativa: *nam, enim*, ut Ol. I 36 (35): ἔστι δ' ἀνδρὶ φάμεν ἐοικὸς ἀμφὶ δαιμόνων καλά· μείων γὰρ αἰτία. X 50: καὶ πάγον Κρόνου προσεφθέγξατο· πρόσθε γὰρ νώνυμνος — βρέχετο πολλᾷ νιφάδι. sententiam generalem probat exemplo Ne. VIII 26: μέγιστον δ' αἰόλῳ ψεύδει γέρας ἀντέταται. κρυφίαισι γὰρ ἐν ψάφοις Ὀδυσσῆ Δαναοὶ θεράπευσαν. Ol. VII 27. itaque transitum facit ad rem propositam Ol. VI 8. in sententia parenthetica legitur Py. I 85: ἀλλ' ὅμως, κρέσσων γὰρ οἰκτιρμοῦ φθόνος, μὴ παρίει καλά. II 38. Ne. X 46. XI 34. 45. Is. IV (V) 4. non ad totam sententiam, sed ad singula verba refertur Is. III 67 (IV 49): χρὴ δὲ πᾶν ἔρδοντ' ἀμαυρῶσαι τὸν ἐχθρόν. οὐ γὰρ φύσιν Ὠαριωνείαν ἔλαχεν. VI (VII) 42: ἕκαλος ἔπειμι γῆρας ἔς τε τὸν μόρσιμον αἰῶνα. θνάσκομεν γὰρ ὁμῶς ἅπαντες. Ne. VIII 9. fr. 61 (33), 3. interdum etiam id quo refertur γάρ cogitatione supplendum est Ne. IX 27: χθονὶ κρύψεν (Amphiaraum) θάμ' ἵπποις, δουρὶ Περικλυμένου πρὶν νῶτα τυπέντα μαχατὰν θυμὸν αἰσχυνθῆμεν. ἐν γὰρ δαιμονίοισι φόβοις φεύγοντι καὶ παῖδες θεῶν: quod mirum non fuisset, nam . . . Ne. XI 24 (idque iniuria, nam . . .). Is. V (VI) 10 (omnia tum sit consecutus, nam . . .). Py. IV 148 (certamine melius atque convenientius est pactum aequum, quod tibi offero, nam . . .). Py. IX 42

(miror autem simulque reprehendo te, quod hoc me interrogas; namque . . .). post vocativum legitur Ne. III 65: *Ζεῦ, τεὸν γὰρ αἷμα, σέο δ' ἀγών*: h. e. Iuppiter, te alloquor, te invoco, nam . . . Ol. IV 2: *Ζεῦ· τεαὶ γὰρ ὧραι — μ' ἔπεμψαν ὑψηλοτάτων μάρτυρ' ἀέθλων.* — 2) affirmativa: *certe, utique, videlicet* Is. II 12: *ἐσσὶ γὰρ ὤν σοφός.* Ne. VIII 9: *πολλά νιν πολλοὶ λιτάνευον ἰδεῖν· ἀβοατὶ γὰρ ἡρώων ἄωτοι περιναιεταόντων ἤθελον κείνου γε πείθεσθ' ἀναξίαις ἑκόντες.* Ol. XIV 8. Ol. I 56 (55): *ἀλλὰ γὰρ καταπέψαι μέγαν ὄλβον οὐκ ἐδυνάσθη*, cf. Py. IV 32. Ne. VII 52. Ol. VI 54: *ἀλλὰ κέκρυπτο γὰρ σχοίνῳ.* Ne. VII 30: *ἀλλὰ κοινὸν γὰρ ἔρχεται κῦμ' Ἀίδα.* Is. III 34 (IV 16): *ἀλλ' ἁμέρα γὰρ ἐν μιᾷ τραχεῖα νιφὰς πολέμοιο τεσσάρων ἀνδρῶν ἐρήμωσεν μάκαιραν ἑστίαν.* VI (VII) 16: *ἀλλὰ* (Bergk. *ἀλλ' ἁ*) *παλαιὰ γὰρ εὕδει χάρις.* Py. I 10: *καὶ γὰρ βιατὰς Ἄρης — ἰαίνει καρδίαν κώματι*: quin etiam, cf. Ne. I 67. — in iure iurando Py. I 46: *εἰ γὰρ ὁ πᾶς χρόνος ὄλβον μὲν οὕτω καὶ κτεάνων δόσιν εὐθύνοι, καμάτων δ' ἐπίλασιν παράσχοι.* Ne. VII 98. — in interrogatione Py. IV 70: *τίς γὰρ ἀρχὰ δέξατο ναυτιλίας;* altera interrogatione praemissa Ol. XIII 20. — 3) subiungitur particula *γάρ* articulo Py. IV 286: *ὁ γὰρ καιρὸς πρὸς ἀνθρώπων βραχὺ μέτρον ἔχει.* Ol. XI 19. Py. XI 52. Ne. I 53. fr. 181 (174). — pronomini personali Py. VIII 6: *τὺ γὰρ τὸ μαλθακὸν ἔρξαι τε καὶ παθεῖν ὁμῶς ἐπίστασαι.* possessivo Ne. III 65: *τεὸν γὰρ αἷμα.* Ol. IV 2. Ol. XII 3. demonstrativo Ol. VII 48: *καὶ τοὶ γὰρ αἰθούσσας ἔχοντες σπέρμ' ἀνέβαν φλογὸς οὔ.* IX 28: *κεῖναι γὰρ ὤπασαν τὰ τέρπν'.* III 36. VI 25. XIII 6. Py. IV 281. Ne. VI 19 (17). X 60. 62. Is. I 17. III 58 (IV 40). fr. 121 (86), 3. 131 (96), 3. 143 (107). 220 (241). relativo Ol. VIII 23: *ὅ τι γὰρ πολὺ καὶ πολλὰ ῥέπει, ὀρθᾷ διακρῖναι φρενὶ — δυσπαλές.* interrogativo Ol. XIII 20: *τίς γὰρ* . . . Py. IV 70. — negationi *οὐ* Is. I 26: *οὐ γὰρ ἦν πεντάθλιον.* II 33. III 67 (IV 49). fr. 61 (33), 3. 81 (49), 3. *οὐδέ* Ol. XIV 8. — praepositionibus Py I 82: *ἀπὸ γὰρ κόρος ἀμβλύνει — ἐλπίδας.* IV 68: *μετὰ γὰρ κεῖνο πλευσάντων Μινυᾶν.* II 9. Ne. IX 27. Ol. XIV 5. — coniunctionibus et particulis: *εἰ γάρ* Py. IV 43: *εἰ γὰρ οἴκοι νιν βάλε* . . . IV 263. VIII 73. Ne. VII 24. IX 46 (Bergk. e. coni *εἴ τις*). Is. V (VI) 10. Py. I 46. Ne. VII 98. *ἤδη γάρ* Ol. III 19. *ἀλλὰ γάρ* Ol. I 55. Py. IV 32. Ne. VII 52; disiunctim Ol. VI 54. Ne. VII 30. Is. III 34 (IV 16). VI (VII) 16. *καὶ γάρ* Ol. VII 27. Py. I 10. IV 181. IX 42. X 59. Ne. I 50. 67. VI 39 (34). Is. II 30. IV (V) 4. 26; disiunctim Ol. VII 48. VIII 56. *ἦ γάρ* Py. VI 1. *μὲν γάρ* Ol. II 53 (48). VII 23. Py. IV 272. VIII 25. *ναὶ μὰ γὰρ* Ne. XI 24. *τε γάρ* Py. IV 148. IX 90. XI 29. Is. III 51 (IV 33). — adverbiis Ol. X 50: *πρόσθε γὰρ νώνυμνος — βρέχετο πολλᾷ νιφάδι.* X 7. Py. II 79. IV 48. 102. 256. Ne. VIII 9. X 65. XI 34. — adiectivis (participiis, numeral.) Ol. II 21 (19): *ἐσλῶν γὰρ ὑπὸ χαρμάτων πῆμα θνάσκει παλίγκοτον δαμασθέν.* I 36 (35). VIII 61. X 3. XIV 16. Py. I 34. 85. II 25. IV 209. VI 32. VII 8. VIII 52. X 53. Ne. I 32. IV 71. V 31. VII 12. 30. VIII 20. 26. IX 4. X 46. Is. III 48. (IV 30). VI (VII) 16. VII (VIII) 14. — Py. III 25. Ne. VI 33 (29). fr. 229 (253). — Py. V 50. Ne. IX 24. — substantivis Ol. IV 9 (12): *Ψαύμιος γὰρ ἵκει ὀχέων.* VI 49. VIII 56. XIII 96. Py. I 41. II 38. III 85. IV 118. 247. V 83 VIII 35. Ne. III 3. 52. IV 22. VII 9. 33. VIII 17. IX 33. X 41. Is. I 47. II 6. III 20. 34. 41. 63. V (VI) 57. VII (VIII) 29. 77. fr. 105 (71), 3. — verbis Ol. VI 8: *ἴστω γὰρ ἐν τούτῳ πεδίλῳ δαιμόνιον πόδ' ἔχων Σωστράτου υἱός.* VI 54. 90. IX 104. X 13. Py. II 54. IV 14. 109. 159. 244. V 34. IX 114. X 7. Ne. I 26. 56. VII 84. IX 13. XI 45. Is. II 12. V (VI) 60. VI (VII) 21. 27. 42. VII (VIII) 46. fr. 88 (58), 1.

γᾱρύω (praes. *γαρύετον. γαρυέμεν, γαρύεν. γαρύων.* ipf. *γάρυον.* fut. *γαρύσομαι*) *sonum fundo* 1) loquor, garrio Py. IV 94: *τοὶ μὲν ἀλλάλοισιν ἀμειβόμενοι γάρυον τοιαῦτ'.* Ol. II 96 (87): *σοφὸς ὁ πολλὰ εἰδὼς φυᾷ· μαθόντες δὲ λάβροι παγγλωσσίᾳ κόρακες ὣς ἄκραντα γαρύετον Διὸς πρὸς ὄρνιχα θεῖον*: inania garriunt, inutili clamore certant; „Simonidem Bacchylidemque perstringi, quos duali *γαρύετον* obscurius significat, non male notare Scholiastae videntur“ Boeckh. at duos intelligi poetas non

videtur necesse esse, cf. Krüger Gr. Gr. II 64, 3; v. etiam κόραξ. Bergkius vero: „haud scio an Pindarus scripserit γαρυέτων, imperativus acrimoniae, qua poeta in adversarios invehitur, satis conveniens". — 2) cano, cantu celebro, praedico Ne. III 32: ποτίφορον δὲ κόσμον ἔλαχες γλυκύ τι γαρυέμεν. Ol. XIII 50: μῆτίν τε γαρύων παλαιγόνων. Ne. VI 66 (58): πέμπτον ἐπ' εἴκοσι τοῦτο γαρύων εὖχος ἀγώνων ἄπο. Py. V 72: τὸ δ' ἐμόν, γαρύεν ἀπὸ Σπάρτας ἐπήρατον κλέος (Bergk. sec. Hermannum, qui scr. γαρύειν; libri vett. plerique γαρύετ'). Is. I 34: γαρύσομαι — τὰν Ἀσωποδώρου πατρὸς αἶσαν. Ol. I 3: εἰ δ' ἄεθλα γαρύεν ἔλδεαι: Δωρικῶς τὸ γαρύεν, τοῦ ι ἐκλείψαντος. Schol. Ne. VII 83: βασιλῆα δὲ θεῶν πρέπει — γαρυέμεν ἁμέρᾳ ὀπί.

γαστήρ *venter* Is. I 49: γαστρὶ δὲ πᾶς τις ἀμύνων λιμὸν αἰανῆ τέταται. pro utero Py. IV 99: τίς ἀνθρώπων σε χαμαιγενέων πολιᾶς ἐξανῆκεν γαστρός;

γαστρίμαργος *vorax, gulosus* Ol. I 53 (52): ἐμοὶ δ' ἄπορα γαστρίμαργον μακάρων τιν' εἰπεῖν: μάργον τὴν γαστέρα, ἤγουν μαινόμενον, τουτέστιν ἀκρατῆ τῆς γαστρός. Schol.

γὲ (non eliditur vocalis ante ἔτος Ol. II 102 (93) et οἱ Ol. VI 20. XIII 65, quae voces quum digamma habuerint apud Pindarum, hiatus non exstat) particula est superiora aut affirmantis atque augentis: *certe, utique, vel*; aut restringentis: *quidem*; ponitur autem ita ut vocabulum cuius vim auget sequatur perraro ab eo seiuncta; articulum vero vel praepositio ubi exstat, his solet postponi, etsi pertinet ad sequentia. Py. X 11: ὁ μέν που τεοῖς γε μήδεσι (Ἄπολλον) τοῦτ' ἔπραξεν. V 57: κεῖνόν γε (Battum) καὶ βαρύκομποι λέοντες περὶ δείματι φύγον. IX 93: τοὔνεκεν, εἰ φίλος ἀστῶν εἴ τις ἀντάεις, τό γ' ἐν ξυνῷ πεπoναμένον εὖ μὴ λόγον βλάπτων ἁλίοιο γέροντος κρυπτέτω. — Ol. I 102 (99): ὁ νικῶν δὲ λοιπὸν ἀμφὶ βίοτον ἔχει μελιτόεσσαν εὐδίαν ἀέθλων γ' ἕνεκεν. Py. IX 96: κεῖνος αἰνεῖν καὶ τὸν ἐχθρὸν παντὶ θυμῷ σύν γε δίκᾳ καλὰ ῥέζοντ' ἔννεπεν. XII 30: ἐκ δὲ τελευτάσει νιν ἤτοι σάμερον δαίμων· τό γε μόρσιμον οὐ παρφυκτόν. — Additur autem γε 1) verbis Py. VII 20 (18): φαντί γε μὰν οὕτω κεν ἀνδρὶ παρμονίμαν θάλλοισαν εὐδαιμονίαν τὰ καὶ τὰ φέρεσθαι. Ne. VIII 50. — 2) substantivis Ol. II 33 (30): ἤτοι βροτῶν γε κέκριται πεῖρας οὔ τι θανάτου. I 102 (99). XIII 104. Ne. II 13. (de Is. VII (VIII) 11 v. ὅστε.) — 3) adiectivis (participiis, numeral.) Is. VII 60 (VIII 66): ἔδοξ' ἄρα καὶ ἀθανάτοις ἐσλόν γε φῶτα καὶ φθίμενον ὕμνοις θεᾶν διδόμεν. Ol. XIII 98 (e coni. Bergk. pro δέ). Py. III 98. Ne. II 11 (Bergk. coni. Ϝε). VIII 28. X 33. Is. III 18. Ne. VII 75. Ol. II 102 (93). — 4) articulo Ol. IX 37: ἀπό μοι λόγον τοῦτον, στόμα, ῥῖψον· ἐπεὶ τό γε λοιδορῆσαι θεοὺς ἐχθρὰ σοφία, ubi num γε potius ad ἐπεὶ referatur dubium. Ol. XII 5: αἵ γε μὲν ἀνδρῶν πόλλ' ἄνω, τὰ δ' αὖ κάτω ψεύδη μεταμώνια τάμνοισαι κυλίνδοντ' ἐλπίδες. I 108 (105). Py. IX 93. XI 44. XII 30. — 5) pronominibus a) personalibus Ne. III 83: τίν γε μὲν — Νεμέας Ἐπιδαυρόθεν τ' ἀπὸ καὶ Μεγάρων δέδορκεν φάος. Is. V (VI), 4 (ci.). Is. IV (V) 2: Θεία, σέο γ' ἕκατι καὶ μεγασθενῆ νόμισαν χρυσὸν ἄνθρωποι περιώσιον ἄλλων, ubi quum schol. γε non agnoscant, Bergk. scr. σέο ἕκατι h. e. Ϝέκατι. — b) possessivis Py. X 11: ὁ μέν που τεοῖς γε μήδεσι (Ἄπολλον) τοῦτ' ἔπραξεν. — c) demonstrativis οὗτος Ol. VI 20: οὔτε δύσηρις ἐὼν οὔτ' ὦν φιλόνικος ἄγαν — τοῦτό γέ οἱ σαφέως μαρτυρήσω. fr. 42 (171), 2. κεῖνος Py. IV 125. 243. Ne. VIII 10. τόσος Ne. IV 4. ὅγε ille quidem Ol. X 45. Py. II 41. — d) relativis Ne. VI 68 (60): τοῦτο γαρύων εὖχος ἀγώνων ἄπο, τοὺς ἐνέποισιν ἱερούς, Ἀλκιμίδα τό γ' ἐπάρκεσεν κλειτᾷ γενεᾷ. disiunctim Ol. IX 76: ἐξ οὗ Θετιός γ' οὐλίῳ γόνος νιν ἐν Ἄρει παραγορεῖτο μή ποτε σφετέρας ἄτερθε ταξιοῦσθαι — αἰχμᾶς (Herm. et Boeckh., libri Θέτιος γόνος οὐλίῳ, Bergk. Θετιός γ' ὄζος οὐλίῳ). Py. VII 9: πάσαισι γὰρ πολίεσι λόγος ὁμιλεῖ Ἐρεχθέος ἀστῶν, Ἄπολλον, οἳ τεόν γε δόμον Πυθῶνι δίᾳ θαητὸν ἔτευξαν (Moschop., libri τεόν τε δόμον v. τεὸν δόμον, Bergk. τεὸν τέμενος). — 6) praepositionibus σύν Is. VII (VIII) 15: ἰατὰ δ' ἔστι βροτοῖς σύν γ' ἐλευθερίᾳ καὶ τά. Py. IX 96. ἐν Ne. III 18: ἐν γε βαθυπέδῳ Νεμέᾳ

(var. ἐν βαθυπεδίῳ): vel in Nemea. — 7) coniunctionibus Ol. II 62 (56): εἴ γέ νιν (h. e. πλοῦτον) ἔχων τις οἶδεν τὸ μέλλον (Boeckh. e. coni. pro εἰ δέ, quod tenet Bergkius probante Mezgero). XIII 65: πόλλ' — ἔπαθεν, πρίν γέ οἱ χρυσάμπυκα κούρα χαλινὸν Παλλὰς ἤνεγκ'. fort. ἐπεὶ — γε Ol. IX 37. — 8) adverbiis Ol. III 43: νῦν γε πρὸς ἐσχατιὰν Θήρων ἀρεταῖσιν ἱκάνων ἅπτεται οἴκοθεν Ἡρακλέος σταλᾶν. Py. I 17. 50. IV 50. 290. — 9) negationi Ne. IV 28: πόρθησε καὶ Μέροπας καὶ τὸν — Ἀλκυονῆ, οὐ τετραορίας γε πρὶν δυώδεκα πέτρῳ ἥρωάς τ' — ἕλεν δὶς τόσους. — 10) cum particulis coniungitur: καὶ μὰν — γε Ne. II 13. ἦ μὰν — γε Ne. VIII 28. γε μάν Ol. XIII 104. Py. I 17. 50. VII 20 (18). Ne. VIII 50. Is. III 18. γε μέν Ol. VII 5. Py. IV 50. Ne. III 83. X 33.

γεγάκω (praes. dor. a perf. derivatum) *genitus sum* Ol. VI 49: Φοίβου γάρ αὐτὸν φᾶ γεγάκειν πατρός.

γεγωνέω *cano, cantu celebro* Py. IX 3: ἐθέλω — Πυθιονίκαν σὺν βαθυζώνοισιν ἀγγέλλων Τελεσικράτη Χαρίτεσσι γεγωνεῖν. Ol. II 6: Θήρωνα δὲ τετραορίας ἕνεκα νικαφόρου γεγωνητέον. III 9: ἅ τε Πίσα με γεγωνεῖν (sc. πράσσει).

γείτων (sg. γείτων, -ονι, -ον(α). pl. γείτονες, -ων) *vicinus* Ne. VII 87: φαῖμέν κε γείτον' ἔμμεναι νόῳ φιλήσαντ' ἀτενέι γείτονι χάρμα πάντων ἐπάξιον. Py. VIII 58: Ἀλκμᾶνα στεφάνοισι βάλλω —, γείτων ὅτι μοι καὶ κτεάνων φύλαξ ἐμῶν ὑπάντασεν ἰόντι γᾶς ὀμφαλὸν παρ' ἀοίδιμον: Alcmaeonem Thebis sacellum habuisse prope domum Pindari existimat Dissenius probante Mezgero, contra Boeckhius statuit in itinere Delphico poetam forte venisse aliquo ad sacellum Alcmaeonis, in eius vicinia habitasse, fortasse in luco pecunias servandas deposuisse. plur. Ol. I 48 (47): ἔννεπε κρυφᾷ τις αὐτίκα φθονερῶν γειτόνων. Py. III 35: γειτόνων πολλοὶ ἐπαῦρον. I 66: Τυνδαριδᾶν, βαθύδοξοι γείτονες. — pro adi. *vicinus, vicina* Is. I 53: ἄμμι δ' ἔοικε Κρόνου σεισίχθον' υἱὸν γείτον' ἀμειβομένοις εὐεργέταν ἁρμάτων ἱπποδρόμιον κελαδῆσαι: „Neptunum Onchestium, finibus Thebanorum vicinum" Dissen. Ne. I 60: γείτονα δὴ κάλεσεν Διὸς ὑψίστου προφάταν ἔξοχον, — Τειρεσίαν. IX 43: πολλὰ μὲν ἐν κονίᾳ χέρσῳ, τὰ δὲ γείτονι πόντῳ φάσομαι: dici pugnam ad Cumas factam monet Mezger. Py. I 32: οἰκιστὴρ ἐκύδανεν πόλιν γείτονα: Aetnam.

γελανής *hilaris* Ol. V 2: καρδίᾳ γελανεῖ — δέκευ. Py. IV 181: καὶ γὰρ ἑκὼν θυμῷ γελανεῖ θᾶσσον ἔντυνεν βασιλεὺς ἀνέμων Ζήταν Κάλαΐν τε πατὴρ Βορέας.

γελάω *rideo* Py. X 36: Ἀπόλλων χαίρει γελᾷ θ' ὁρῶν ὕβριν ὀρθίαν κνωδάλων (var. γαλᾶ, γ' ἐλᾶ, τελᾶ; Bergk. coni. γανᾷ). IX 38: τὸν δὲ Κένταυρος ζαμενὴς ἀγανᾷ χλαρὸν γελάσσαις ὀφρύι μῆτιν ἑὰν εὐθὺς ἀμείβετο (var. γελάσσας, γελάσας). met. Is. I 68: εἰ δέ τις ἔνδον νέμει πλοῦτον κρυφαῖον, ἄλλοισι δ' ἐμπίπτων γελᾷ, ψυχὰν Ἀίδᾳ τελέων οὐ φράζεται δόξας ἄνευθεν: „insultans ridet h. e. sibi placet insultans" Dissen.

γέλως *risus* Py. VIII 85: οὐδὲ μολόντων πὰρ ματέρ' ἀμφὶ γέλως γλυκὺς ὦρσεν χάριν.

γενεά (sg. γενεά, -ᾶς, -ᾷ, άν. pl. γενεαῖς) *generatio* 1) gens, stirps Is. III 39 (IV 21): τόνδε πορὼν γενεᾷ θαυμαστὸν ὕμνον: Cleonymidis. Ne. VI 36 (31): παλαίφατος γενεά: „per appositionem additur voci Βασσίδαισιν" Dissen. Ne. VI 69 (61): εὖχος —, Ἀλκιμίδᾳ τό γ' ἐπάρκεσεν κλειτᾷ γενεᾷ. Py. VI 15: πατρὶ τεῷ, Θρασύβουλε, κοινάν τε γενεᾷ — νίκαν ἀπαγγελεῖ. Ol. VI 51: οὐδέ ποτ' ἐκλείψειν γενεάν. c. gen. Py. VII 2: Ἀλκμανιδᾶν εὐρυσθενεῖ γενεᾷ. Is. IV (V) 55: μαρνάσθω τις ἔρδων ἀμφ' ἀέθλοισιν γενεὰν Κλεονίκου ἐκμαθών. fr. 190 (198): ἁ Μειδύλου δ' αὐτῷ γενεά (Herm. pro γέννα). . . . Py. IX 43: κούρας δ', ὁπόθεν, γενεὰν ἐξερωτᾷς, ὦ ἄνα; Ne. X 14: ὁ δ' (Ἀμφιτρύων) ὄλβῳ φέρτατος ἵκετ' ἐς κείνου γενεάν: „in gentem (h. e. in affinitatem) Iovis venit propter Alcmenae cum Iove coniugium" Dissen. — suboles Ol. IX 61: μὴ καθέλοι νιν αἰὼν πότμον ἐφάψαις ὀρφανὸν γενεᾶς. Py. XI 57: γλυκυτάτᾳ γενεᾷ εὐώνυμον, κτεάνων κράτιστον, χάριν πορών. — natio, populus Py. X 42: νόσοι δ' οὔτε γῆρας οὐλόμενον κέκραται ἱερᾷ γενεᾷ:

Hyperboreis. c. gen. Ol. XI 15: *τῶν Ἐπιζεφυρίων Λοκρῶν γενεὰν ἀλέγων.* Is. VI (VII) 29: *ἀστῶν γενεᾷ μέγιστον κλέος αὔξων.* — 2) progenies, gnatus Py. IV 136: *Τυροῦς ἐρασιπλοκάμου γενεά*: Pelias. Is. V (VI) 3: *κρατῆρα — κίρναμεν Λάμπωνος εὐάθλου γενεᾶς ὕπερ*: Phylacidae. Is. VII 65 (VIII 71): *τὸν μὲν οὐ κατελέγχει κριτοῦ γενεὰ πατραδελφεοῦ* (var. *γενεὰν*, quod defendit Boeckh.): Cleander, genitus ex Nicoclis patruo. — 3) generatio, homines eiusdem aetatis Py. IV 10: *καὶ τὸ Μηδείας ἔπος ἀγκομίσαιθ' ἑβδόμᾳ καὶ σὺν δεκάτᾳ γενεᾷ Θήραιον.* Ne. XI 38: *ἀρχαῖαι δ' ἀρεταὶ ἀμφέροντ' ἀλλασσόμεναι γενεαῖς ἀνδρῶν σθένος.* — aetas Py. VI 40: *ἐδόκησέν τε τῶν πάλαι γενεᾷ ὁπλοτέροισιν — ὕπατος ἀμφὶ τοκεῦσιν ἔμμεν πρὸς ἀρετάν*: h. e. *τοῖς γενεᾷ ὁπλοτέροισιν*, cf. Hom. Il. II 707: *αὐτοκασίγνητος μεγαθύμου Πρωτεσιλάου ὁπλότερος γενεῇ.*

γενέθλιος 1) *gentilis, gentilicius* Ol. VIII 15: *Τιμόσθενες, ὔμμε δ' ἐκλάρωσεν πότμος Ζηνὶ γενεθλίῳ*: „Blepsiadis Iuppiter ob Aeacum gentis auctor est deus gentilicius, iisque speciatim, quod originem ab Aeaco repeterent" Boeckh.; „simplicissimum sit dicere eos Heraclidas fuisse" Dissen. Py. IV 167: *καρτερὸς ὅρκος ἄμμιν μάρτυς ἔστω Ζεὺς ὁ γενέθλιος ἀμφοτέροις*: et Iasoni et Peliae auctor gentis est Iuppiter, quum avus sit Aeoli. Ol. XIII 105: *εἰ δὲ δαίμων γενέθλιος ἕρποι, Δὶ τοῦτ' Ἐνυαλίῳ τ' ἐκδώσομεν πράσσειν*: „fortasse nullus certus genius, sed Fortuna Oligaethidarum generatim" Boeckh. — 2) *genitivus* Ol. VII 70: *ὀξειᾶν ὁ γενέθλιος ἀκτίνων πατήρ*: dicitur Sol „pater radiorum, quos gignit" Boeckh.

γένειον *mentum* Ol. I 70 (68): *λάχναι νιν μέλαν γένειον ἔρεφον*: *αἱ τρίχες αὐτοῦ τὸ γένειον ἐστεφάνουν μελαίνουσαι, ὅ ἐστιν, ὅτε ἤρχετο γενειᾶν ὁ Πέλοψ.* Schol.

γενέτειρα *genitrix* Ne. VII 2: *Ἐλείθυια —, γενέτειρα τέκνων.*

γέννα 1) *genus* Py. IV 100: *μὴ ψεύδεσιν καταμιάναις εἰπὲ γένναν.* — 2) *gens* Ol. VII 23: *ἐθελήσω τοῖσιν — διορθῶσαι λόγον, Ἡρακλέος εὐρυσθενεῖ γέννᾳ*: „appositum est ad *τοῖσιν*: Rhodiis Heraclidis, genti olim regiae" Boeckh. — 3) *proles* fr. 88 (58), 6: *ἔνθα τεκοῖσ' εὐδαίμον' ἐπόψατο γένναν*: Apollinem et Dianam.

γενναῖος *generosus* Py. VIII 44: *φυᾷ τὸ γενναῖον ἐπιπρέπει ἐκ πατέρων παισὶ λῆμα.*

γεννάω *gigno* Py. V 74: *ἀπὸ Σπάρτας —, ὅθεν γεγενναμένοι ἵκοντο Θήρανδε φῶτες Αἰγεῖδαι.*

γένος (sg. *γένος, -ει, -ος*) *genus* 1) origo Py. IX 14: *Λαπιθᾶν — ἦν βασιλεύς, ἐξ Ὠκεανοῦ γένος ἥρως δεύτερος*: Hypseus dicitur, nepos Oceani. — 2) stirps, progenies, suboles Ol. II 17 (15): *εὔφρων ἄρουραν ἔτι πατρίαν σφίσιν κόμισον λοιπῷ γένει.* Py. IV 51: *ἀλλοδαπᾶν κριτὸν εὑρήσει γυναικῶν ἐν λέχεσιν γένος.* Ne. VII 39: *ἀτὰρ γένος αἰεὶ φέρεν τοῦτό οἱ γέρας.* Ol. VIII 83: *ἐνέποι κεν Καλλιμάχῳ λιπαρὸν κόσμον Ὀλυμπίᾳ, ὅν σφι Ζεὺς γένει ὤπασεν.* Ne. III 28: *Αἰακῷ σε φαμὶ γένει τε Μοῖσαν φέρειν.* Py. X 3: *πατρὸς δ' ἀμφοτέραις ἐξ ἑνὸς ἀριστομάχου γένος Ἡρακλέος βασιλεύει.* fr. 164 (142): *φιλόμαχον γένος ἐκ Περσέος.* Py. IV 256: *τόθι γὰρ γένος Εὐφάμου φυτευθὲν λοιπὸν αἰεὶ τέλλετο.* singuli ac certi quidam homines Ol. II 46 (42): *Ἐριννὺς ἔπεφνέ οἱ σὺν ἀλλαλοφονίᾳ γένος ἀρήιον*: Eteoclem et Polynicem. Py. III 41: *οὐκέτι τλάσομαι ψυχᾷ γένος ἀμὸν ὀλέσσαι*: Aesculapium. Py. IV 173: *δοιοὶ — ἀνέρες, Ἐννοσίδα γένος*: Periclymenus et Euphemus. Py. V 124: *δόμεν γέρας ἔπι Βάττου γένει*: Arcesilao. Ol. XIII 58: *τοὶ μὲν γένει φίλῳ σὺν Ἀτρέος Ἑλέναν κομίζοντες*: cum Agamemnone et Menelao. Py. XII 13: *ἤτοι τό τε θεσπέσιον Φόρκοι' ἀμαύρωσεν γένος*: *τὰς Γοργόνας φησί.* Schol. — 3) qui sunt eiusdem originis: genus, gens Ne. VI 1: *ἓν ἀνδρῶν, ἓν θεῶν γένος.* X 54: *καὶ μὰν θεῶν πιστὸν γένος.* fr. 107 (74), 16: *ἀνδρῶν νέον — γένος.* fr. 213 (232), 3: *ἐπιχθονίων γένος ἀνδρῶν.* fr. 29 (5), 2: *σπαρτῶν ἱερὸν γένος ἀνδρῶν.* Is. I 30: *Ἰφικλέος παῖς ὁμόδαμος ἐὼν Σπαρτῶν γένει.* Ne. X 37: *ματρώων πεδ' εὔγνωτον γένος ὑμετέρων* (Bergk., libri *πολύγνωτον γ.*, Schmid. *πολυγνώτῳ γένει*). — Ol. VI 25: *ἵκωμαι δὲ πρὸς ἀνδρῶν καὶ γένος*: ad Iamidarum gentem. Ol. VI 71: *πολύκλειτον καθ' Ἕλλανας γένος Ἰαμιδᾶν.*

γένυς (sg. *γέννι.* pl. *γενύων, -υσι(ν)*)

mala et bestiarum et hominum Py. IV 225: βόας, οἳ φλόγ' ἀπὸ ξανθᾶν γενύων πνέον καιομένοιο πυρός (Boeckh. γνάθων). IV 244: δράκοντος δ' εἴχετο λαβροτατᾶν γενύων (δέρμα). Ol. XIII 85: φάρμακον πραῢ τείνων ἀμφὶ γένυι (Pegasi). Py. XII 20: αὐλῶν τεῦχε πάμφωνον μέλος, ὄφρα τὸν Εὐρυάλας ἐκ καρπαλιμᾶν γενύων χριμφθέντα σὺν ἔντεσι μιμήσαιτ' ἐρικλάγκταν γόον. fr. 203 (217): κρυφᾷ δὲ σκολιοὺς γέννσιν (Σκύθαι) ἀνδέροισιν πόδας ἠδὲ κεφαλάς (equi mortui). — Ne. V 6: οὔπω γέννσι φαίνων τέρειναν ματέρ' οἰνάνθας ὀπώραν: genis.

γεραιός *senex* Ne. IV 89: Εὐφάνης — γεραιὸς προπάτωρ ὁ σός.

γεραίρω (praes. ipr. γεραίρετε. γεραίρων, -οντες. aor. ἐγέραρεν) *honoro, decoro, orno* Ne. V 8: Πυθέας — Αἰακίδας ἐγέραρεν ματρόπολίν τε (ed. Rom., libri ἐγέραιρε, Tricl. ἐγέραιρεν, quod rec. Bergk.): sc. virtute sua. Ol. V 5: βωμοὺς ἓξ διδύμους ἐγέραρεν ἑορταῖς θεῶν μεγίσταις ὑπὸ βουθυσίαις (var. ἐγέραιρεν, γέραρεν). Ol. III 2: Ἀκράγαντα γεραίρων: sc. hymno in Theronem. Is. VII 63 (VIII 68): γεραίρετέ νιν, ὃς Ἴσθμιον ἂν νάπος Δωρίων ἔλαχε σελίνων (Bothe, libri γεραίρεταί μιν v. γερᾶραί τε μιν, Herm. γέραιρέ τέ μιν): canite. — *colo* Ne. XI 5: ἑταίρους —, οἵ σε (Ἑστία) γεραίροντες ὀρθὰν φυλάσσοισιν Τένεδον. de maiore minorem colente Is. II 17: Ποσειδάων — εὐάρματον ἄνδρα γεραίρων, Ἀκραγαντίνων φάος. Py. I 70: σύν τοι τίν κεν ἁγητὴρ ἀνὴρ υἱῷ τ' ἐπιτελλόμενος δᾶμον γεραίρων τράποι σύμφωνον ἐς ἁσυχίαν: „non opprimens, sed benigne habens mitique imperio regens" Dissen.

γέρας (sg. n. a. γέρας) 1) *donum honorarium* Ol. VII 68: ἐς αἰθέρα νιν πεμφθεῖσαν (Rhodum insulam) ἑᾷ κεφαλᾷ ἐξοπίσω γέρας ἔσσεσθαι. imprimis *praemium victoriae* (corona) Ol. II 54 (49): Ὀλυμπίᾳ μὲν γὰρ αὐτὸς γέρας ἔδεκτο: coronam oleagineam. Py. V 124: εὔχομαί νιν Ὀλυμπίᾳ τωὐτὸ δόμεν γέρας ἔπι Βάττου γένει: τιμὴν τὴν ἀπὸ τῆς νίκης. Schol. Ol. VIII 11: μέγα τοι κλέος αἰεί, ᾧτινι σὸν γέρας (ὦ Πίσας ἄλσος) ἕσπητ' ἀγλαόν. Py. V 31: ἀρισθάρματον ὕδατι Κασταλίας ξενωθεὶς γέρας ἀμφέβαλε τεαῖσιν κόμαις: „coronam praestantissimo currui debitam" Dissen. Py. VIII 78: Μεγάροις δ' ἔχεις γέρας. met. Ne. VIII 25: μέγιστον δ' αἰόλῳ ψεύδει γέρας ἀντέταται: „ducta locutio a praemio certaminis ad consequendum proposito" Dissen. — 2) *honos, decus, dignitas* Is. VII 39 (VIII 43): τὸ μὲν ἐμόν, Πηλέι γάμον θεόμορον ὀπάσσαι γέρας Αἰακίδᾳ. Ne. VII 101: παίδων δὲ παῖδες ἔχοιεν αἰεὶ γέρας τό περ νῦν καὶ ἄρειον ὄπιθεν: „fortunae eximiae ornamenta" Dissen.; „Siegesehre" Mezger. Is. I 14: ἐγὼ Ἡροδότῳ τεύχων τὸ μὲν ἅρματι τεθρίππῳ γέρας. de regia dignitate Py. V 18: τὸ μέν, ὅτι βασιλεὺς ἐσσὶ μεγαλᾶν πολίων, ἔχει συγγενὴς ὀφθαλμὸς αἰδοιότατον γέρας. Ne. VII 40: Μολοσσίᾳ δ' ἐμβασίλευεν ὀλίγον χρόνον· ἀτὰρ γένος αἰεὶ φέρεν τοῦτό οἱ γέρας. de cultu heroum Is. IV (V) 33: ἐν δὲ Θήβαις ἱπποσόας Ἰόλαος γέρας ἔχει. fr. 5 (1): Σίσυφον κέλοντο ᾧ παιδὶ τηλέφαντον ὄρσαι γέρας ἀποφθιμένῳ Μελικέρτᾳ: dicuntur ludi Isthmii in Melicertae honorem instituendi, v. Σίσυφος. — ad personam transfertur Ol. VIII 65: νῦν μὲν αὐτῷ (Melesiae aliptae) γέρας Ἀλκιμέδων (sc. ἐστὶ) νίκαν τριακοστὰν ἑλών.

γερασφόρος *honorem ferens, honoratus* Py. II 43: τέκεν γόνον — οὔτ' ἐν ἀνδράσι γερασφόρον οὔτ' ἐν θεῶν νόμοις: Centaurum.

γέρων *senex* fr. 199 (213): ἔνθα βουλαὶ γερόντων καὶ νέων ἀνδρῶν ἀριστεύοισιν αἰχμαί. Py. IX 94: λόγον βλάπτων ἁλίοιο γέροντος: Nerei. Py. VI 35: Μεσσανίου δὲ γέροντος δονηθεῖσα φρήν: Nestoris. — pro adi. Py. XI 34: ὁ δ' ἄρα γέροντα ξένον Στρόφιον ἐξίκετο, νέα κεφαλά.

γεύομαι (praes. γεύεται. γευόμενοι. aor. ἐγεύσαντο) *gusto, fruor*, met. Ne. III 42: μυριᾶν δ' ἀρετᾶν ἀτελεῖ νόῳ γεύεται (ὁ διδάκτ' ἔχων). Is. I 21: γευόμενοι στεφάνων νικαφόρων (var. σευόμενοι). Ne. VII 86: εἰ δὲ γεύεται ἀνδρὸς ἀνήρ τι (var. δεύεται, id quod tenet Christ.): „si alter altero fruitur ab eoque iuvatur" Boeckh. — *tento, adeo* P. IX 35: γεύεται δ' ἀλκᾶς ἀπειράντου: sc. λέοντος. X 7: γεύεται γὰρ ἀέθλων (Hippocleas). Ne. VI 28 (21): ἀεθλοφόροι —, οἴτε πό-

νων ἐγεύσαντο. Is. IV (V) 20: τὸ δ' ἐμὸν οὐκ ἄτερ Αἰακιδᾶν κέαρ ὕμνων γεύεται.

γέφῡρα *pons* Is. III 38 (IV 20): ὁ κινητὴρ δὲ γᾶς Ὀγχηστὸν οἰκέων καὶ γέφυραν ποντιάδα πρὸ Κορίνθου τειχέων: Isthmum, cf. Ne. VI 44 (39): πόντου τε γέφυρ' ἀκάμαντος — Κρεοντίδαν τίμασε Ποσειδάνιον ἂν τέμενος.

γεφῡρόω *ponte munio iter*, met. Is. VII 51 (VIII 56): γεφύρωσέ τ' Ἀτρεΐδαισι νόστον (Ἀχιλεύς).

γηραιός *senilis* Py. IV 157: ἀλλ' ἤδη με γηραιὸν μέρος ἁλικίας ἀμφιπολεῖ.

γηρᾰλέος *senilis* Py. IV 121: ἐκ δ' ἄρ' αὐτοῦ πομφόλυξαν δάκρυα γηραλέων γλεφάρων.

γῆρας (γῆρας, -αος, -αΐ, -ας) *senectus* Ol. V 22: φέρειν γῆρας εὔθυμον ἐς τελευτάν. Is. VI (VII) 41: ἕκαλος ἔπειμι γῆρας ἔς τε τὸν μόρσιμον αἰῶνα. V (VI) 15: αἴδαν γῆράς τε δέξασθαι πολιόν. Ne. X 83: θάνατόν τε φυγὼν καὶ γῆρας ἀπεχθόμενον. Py. X 41: νόσοι δ' οὔτε γῆρας οὐλόμενον κέκραται ἱερᾷ γενεᾷ. Ne. VII 99: εἰ γάρ σφισιν ἐμπεδοσθενέα βίοτον ἁρμόσαις ἥβᾳ λιπαρῷ τε γήραϊ διαπλέκειν εὐδαίμον' ἐόντα. IX 44: ἐκ πόνων δ', οἳ σὺν νεότατι γένωνται σύν τε δίκᾳ, τελέθει πρὸς γῆρας αἰὼν ἁμέρα. Ol. I 85 (83): θανεῖν δ' οἷσιν ἀνάγκα, τά κέ τις ἀνώνυμον γῆρας ἐν σκότῳ καθήμενος ἕψοι μάταν, ἁπάντων καλῶν ἄμμορος. — itaque *senium* Ol. VIII 71: πατρὶ δὲ πατρὸς ἐνέπνευσεν μένος γήραος ἀντίπαλον.

γηρο̄τρόφος *senectutis nutrix* fr. 214 (133): γλυκεῖά οἱ καρδίαν ἀτάλλοισα γηροτρόφος συναορεῖ ἐλπίς.

Γηρῠόνας *Geryones* gigas Is. I 13: τὸν ἀδείμαντον Ἀλκμήνα τέκεν παῖδα, θρασεῖαι τόν ποτε Γηρυόνα φρίξαν κύνες. fr. 169 (151), 5: τεκμαίρομαι ἔργοισιν Ἡρακλέος· ἐπεὶ Γηρυόνα βόας Κυκλωπίων ἐπὶ προθύρων Εὐρυσθέος ἀναιτήτας τε καὶ ἀπριάτας ἤλασεν. fr. 81 (49): σὲ δ' ἐγὼ παρά νιν αἰνέω μέν, Γηρυόνα.

Γίγαντες *Gigantes* Py. VIII 17: βασιλεὺς Γιγάντων: Porphyrio. Ne. I 67: ὅταν θεοὶ ἐν πεδίῳ Φλέγρας Γιγάντεσσιν μάχαν ἀντιάζωσιν. VII 90: ἐν τίν —, Γίγαντας ὃς ἐδάμασας: Hercules.

γίνομαι (praes. γίνεται. aor. γένετο, ἔγεντ(ο), ἐγένοντ(ο). γένηται, -ωνται. γένοι(ο), -οιτ(ο). γενέσθ(αι). pf. γεγάμεν. γεγεναμένον) 1) *nascor, orior* Ol. VI 53: τοὶ δ' οὔτ' ὦν ἀκοῦσαι οὔτ' ἰδεῖν εὔχοντο πεμπταῖον γεγεναμένον (Ahrens. γεγενημένον). fr. 147 (114): ἐν χρόνῳ δ' ἔγεντ' Ἀπόλλων (vulg. δὲ γένετ'). Is. VII 17 (VIII 19): πατρὸς — δίδυμαι γένοντο θύγατρες Ἀσωπίδων ὁπλόταται. — Ol. IX 29: ἀγαθοὶ δὲ καὶ σοφοὶ κατὰ δαίμον' ἄνδρες ἐγένοντ': exsistunt. — de rebus inanimatis: orior, exsisto Ne. VIII 51: πρὶν γενέσθαι τὰν Ἀδράστου τάν τε Καδμείων ἔριν. VII 31: τιμὰ δὲ γίνεται, ὧν θεὸς ἁβρὸν αὔξει λόγον. Ol. IX 86: ἄλλαι δὲ δύ' ἐν Κορίνθου πύλαις ἐγένοντ' ἔπειτα χάρμαι. II 20 (18). Py. III 87. Ne. IX 44. Is. III 85 (IV 67). fr. 245. — 2) *exsisto, fio, sum*, c. subst. Py. IV 274: εἰ μὴ θεὸς ἁγεμόνεσσι κυβερνατὴρ γένηται. Is. III 32 (IV 14): ἱπποτρόφοι τ' ἐγένοντο. IV (V) 14: μὴ μάτευε Ζεὺς γενέσθαι, cf. Ol. V 24: μὴ ματεύσῃ θεὸς γενέσθαι. — Py. IV 20: μεγαλᾶν πολίων ματρόπολιν Θήραν γενέσθαι. — c. adi. Py. X 22: εὐδαίμων δὲ καὶ ὑμνητὸς οὗτος ἀνὴρ γίνεται σοφοῖς. Ol. IX 110: ὥρυσαι θαρσέων, τόνδ' ἀνέρα δαιμονίᾳ γεγάμεν εὔχειρα, δεξιόγυιον, ὁρῶντ' ἀλκάν. XIII 26. Py. II 60. V 62. Ne. III 71. VI 25 (22). IX 17 Bergk. Is. VII 25 (VIII 28). — Py. III 12: χόλος δ' οὐκ ἀλίθιος γίνεται παίδων Διός. Ne. VII 21. IX 49. X 62. Is. II 33. neutr. Py. IV 273: ἐπὶ χώρας αὖτις ἕσσαι (πόλιν) δυσπαλὲς δὴ γίνεται. suppl. pron. Py. II 72: γένοι' οἷος ἐσσὶ μαθών. — c. part. Py. VI 28: ἔγεντο καὶ πρότερον Ἀντίλοχος βιατὰς νόημα τοῦτο φέρων: „h. e. ἤνεγκεν, in se probavit“ Boeckh.; cf. Ol. IX 110, ubi participium est post adi.

γῑνώσκω (praes. γινώσκομεν, -οντι. γινώσκοντα. ipf. γίνωσκε, -ον. fut. γνώσομαι. aor. ἔγνω, pl. ἔγνων, ἔγνον. γνῶθι, γνῶναι. γνούς, γνόντα. pf. ἔγνωκας, -εν) *agnosco, cognosco, intelligo*; *novi*, c. acc. pers. aut rei Py. IV 86: τὸν μὲν οὐ γίνωσκον. IV 120: τὸν μὲν ἐσελθόντ' ἔγνον ὀφθαλμοὶ πατρός. III 114: Νέστορα καὶ Λύκιον Σαρπηδόν', ἀνθρώπων φάτις, ἐξ ἐπέων κελαδεννῶν — γινώσκομεν: novimus. Ol. XIII 3: τρισολυμπιονίκαν ἐπαι-

νέων οἶκον — γνώσομαι τὰν ὀλβίαν Κόρινθον: „contemplabor mihi simul Corinthum; in pompa enim per nobiliora urbis loca incedente carmen cantatum videtur, ipso fortasse poeta praesente" Dissen. „adibo et visitabo Corinthum" de Iongh. Py. III 31: τότε γνοὺς Ἴσχυος Εἰλατίδα ξεινίαν κοίταν ἄθεμίν τε δόλον. IV 288: καλὰ γινώσκοντ᾽ ἀνάγκᾳ ἐκτὸς ἔχειν πόδα. IV 263: γνῶθι νῦν τὰν Οἰδιπόδα σοφίαν: „zeige die Weisheit, sei weise; fig. etymol." Mezger.; v. σοφία. perf. Py. IV 288: εὖ νιν (h. e. καιρὸν) ἔγνωκεν: novit. fr. 188 (190): φθέγμα μὲν πάγκοινον ἔγνωκας Πολυμνάστου. — met. Ol. VI 97: ἀδύλογοι δέ νιν πνοαὶ μολπαί τε γινώσκοντι: γνωρίζουσιν, ἤτοι ὡς πολυύμνητον διὰ τὰ κατορθώματα, ἢ ὡς καὶ αὐτὸν μουσικῆς ἔμπειρον. Schol. Ol. VII 83: ὅ τ᾽ ἐν Ἄργει χαλκὸς ἔγνω νιν: ἀντὶ τοῦ ἐδεξιώσατο αὐτὸν νενικηκότα. Schol. — adiuncta est sententia Py. III 60: γνόντα τὸ πὰρ ποδός, οἵας εἰμὲν αἴσας. Ol. VI 89: ὄτρυνον νῦν ἑταίρους, Αἰνέα, πρῶτον μὲν Ἥραν — κελαδῆσαι γνῶναί τ᾽ ἔπειτ᾽, ἀρχαῖον ὄνειδος ἀλαθέσιν λόγοις εἰ φεύγομεν, Βοιωτίαν ὗν: „ut videant vel experiantur, num" Dissen. Scholia, quibus assentitur Boeckhius, expl.: „apertum facere, declarare". — c. part. Py. IX 79: ἔγνων (Ahr. et Christ. ἔγνον) ποτὲ καὶ Ἰόλαον οὐκ ἀτιμάσαντά νιν ἑπτάπυλοι Θῆβαι. IV 34: γίνωσκε δ᾽ ἐπειγομένους: sc. αὐτούς.

γλάγος v. γάλα.

γλάζω *canto* fr. 97 (64): τὸ σαυτῷ μέλος γλάζεις: τουτέστιν ἑαυτῷ ᾠδὴν ᾄδεις. Schol. ad Theocr. I 2. γλάζει, κέκραγε. Hesych.

γλαυκός *caesius* Ol. VIII 37: γλαυκοὶ δὲ δράκοντες: „feurig" Mezger. ἀντὶ τοῦ φοβεροί. Schol.

Γλαῦκος *Glaucus*, Hippolochi filius, Lycius, Corintho oriundus Ol. XIII 60: ἐκ Λυκίας δὲ Γλαῦκον ἐλθόντα τρόμεον Δαναοί. fr. 263: Πινδάρῳ δὲ καὶ Αἰσχύλῳ πυνθανομένοις παρὰ Ἀνθηδονίων, τῷ μὲν οὐκ ἐπὶ πολὺ ἐπῆλθεν ᾆσαι τὰ εἰς Γλαῦκον, Αἰσχύλῳ δὲ καὶ εἰς ποίησιν δράματος ἐξήρκεσε (Pausan. IX 22, 7).

γλαυκόχρως *glaucicolor* Ol. III 13: ἀμφὶ κόμαισι βάλῃ γλαυκόχροα κόσμον ἐλαίας: „videtur pertinere ad folia superne misto viriditati argenteo colore candicantia" Dissen.

γλαυκῶπις *caesios oculos habens, caesia* Ne. VII 96: Ἥρας πόσιν τε πειθέμεν κόραν τε γλαυκώπιδα: Minervam. subst. — **Γλαυκῶπις** *Minerva* Ne. X 7: Διομήδεα δ᾽ ἄμβροτον ξανθά ποτε Γλαυκῶπις ἔθηκε θεόν. Ol. VII 51: αὐτὰ δέ σφισιν ὤπασε τέχναν πᾶσαν ἐπιχθονίων Γλαυκῶπις ἀριστοπόνοις χερσὶ κρατεῖν.

γλαυκώψ *caesios oculos habens, caesius* Py. IV 249: κτεῖνε μὲν γλαυκῶπα τέχναις ποικιλόνωτον ὄφιν. Ol. VI 45: δύο δὲ γλαυκῶπες αὐτὸν — ἐθρέψαντο δράκοντες.

γλᾰφῠρός *scalpturis ornatus* Ne. IX 12: ἰσχύος τ᾽ ἀνδρῶν ἁμίλλαις ἅρμασί τε γλαφυροῖς ἄμφαινε κυδαίνων πόλιν.

δείκνυμι (praes. *δείκνυσι. δεικνύναι.* ipf. *δείκνυεν.* aor. *δεῖξεν, ἔδειξεν, -αν. δεῖξον. δεῖξαι. δείξαντος*) 1) *ostendo, conspiciendum praebeo, monstro* Ol. XIII 69: *καὶ Δαμαίῳ νιν* (habenam) *θύων ταῦρον ἀργάεντα πατρὶ δεῖξον*: offer. Ne. IV 83: *ὁ χρυσὸς ἑψόμενος αὐγὰς ἔδειξεν ἁπάσας.* met. Py. VI 46: *πάτρῳ τ' ἐπερχόμενος ἀγλαΐαν ἔδειξεν*: „decus virtutis probavit et palam fecit, in sese nempe positum" Boeckh.; *ἔνειξεν* poetam scripsisse coni. Bergkius. fr. 108 (75): *θεοῦ δὲ δείξαντος ἀρχὰν ἕκαστον ἐν πρᾶγος εὐθεῖα δὴ κέλευθος ἀρετὰν ἑλεῖν.* — c. inf. Ol. IX 74: *ὥστ' ἔμφρονι δεῖξαι μαθεῖν Πατρόκλου βιατὰν νόον* (Bergk. coni. *δεῖσαι*). — 2) *declaro, aperio* Is. VII 47 (VIII 52): *ἔδειξαν σοφῶν στόματ' ἀπείροισιν ἀρετὰν Ἀχιλέος.* Py. IV 220: *καὶ τάχα πείρατ' ἀέθλων δείκνυεν πατρωίων* (Medea). Ol. XIII 75: *δεῖξέν τε Κοιρανίδᾳ πᾶσαν τελευτὰν πράγματος.* fr. 131 (96), 5: *ἀτὰρ εὑδόντεσσιν ἐν πολλοῖς ὀνείροις δείκνυσι τερπνῶν ἐφέρποισαν χαλεπῶν τε κρίσιν.* fr. 42 (171), 3: *καλῶν μὲν ὦν μοῖράν τε τερπνῶν ἐς μέσον χρὴ παντὶ λαῷ δεικνύναι.* (de Ne. VI 57 v. *ἐμπίπτω*.)

δεῖμα *metus* Is. VII (VIII), 12: *ἀλλ' ἔμ' οὐ δεῖμα μὲν παροιχόμενον καρτερᾶν ἔπαυσε μεριμνᾶν* (Bergk., libri *ἀλλ' ἐμοὶ . . . καρτερὰν ἔ. μέριμναν*, Oehlschlaeger. *ἀλλ' ἐμοὶ δειμάτων παροιχομένων*, cui assentitur Mezger.): *τῶν φθασάντων κακῶν τόν τε φόβον καὶ τὴν μέριμναν.* Schol. Py. IV 97: *κλέπτων δὲ θυμῷ δεῖμα προσέννεπε.* V 58: *κεῖνόν γε καὶ βαρύκομποι λέοντες περὶ δείματι φύγον.*

Δεῖνις *Dinis*, Megae filius, puer Aegineta, cui stadio bis victori incerto tempore (sec. Mezgerum Ol. 72, 2) carmen Ne. VIII scriptum est; Ne. VIII 16: *φέρων Λυδίαν μίτραν καναχηδὰ πεποικιλμέναν, Δείνιος δισσῶν σταδίων καὶ πατρὸς Μέγα Νεμεαῖον ἄγαλμα.*

Δεινομένειος *Dinomeneus* Py. II 18: *σὲ δ', ὦ Δεινομένειε παῖ, Ζεφυρία πρὸ δόμων Λοκρὶς παρθένος ἀπύει*: o Dinomenis fili, Hiero.

Δεινομένης *Dinomenes*, 1) pater Hieronis Py. I 79: *παρὰ δὲ τὰν εὔυδρον ἀκτὰν Ἱμέρα παίδεσσιν ὕμνον Δεινομένεος τελέσαις.* — 2) Hieronis filius, rex Aetnae Py. I 58: *Μοῖσα, καὶ πὰρ Δεινομένει κελαδῆσαι πίθεό μοι ποινὰν τεθρίππων.*

δεινός (sg. f. *δεινάν.* n. *δεινόν.* pl. m. *δεινῶν.* — superl. m. *δεινοτάτων, -ους*) 1) *horrendus* Py. I 26: *κεῖνο δ' Ἀφαίστοιο κρουνοὺς ἑρπετὸν δεινοτάτους ἀναπέμπει.* Ne. IV 64: *πῦρ δὲ παγκρατὲς θρασυμαχάνων τε λεόντων ὄνυχας ὀξυτάτους ἀκμὰν τε δεινοτάτων σχάσαις ὀδόντων.* Py. II 64: *νεότατι μὲν ἀρήγει θράσος δεινῶν πολέμων.* — 2) *gravis* Ne. IX 13: *φεῦγε — δεινὰν στάσιν πατρῴων οἴκων.* X 65: *πάθον δεινὸν παλάμαις Ἀφαρητίδαι Διός.*

δεῖνος *chorea* Py. IX 19: *ἁ μὲν οὔθ' ἱστῶν παλιμβάμους ἐφίλησεν ὁδοὺς οὔτε δείνων τέρψιας οὔθ' ἑταρᾶν οἰκουρίαν* (Bergk., libri *οὔτε δείπνων* v. *δεῖπνον οἰκουριᾶν μεθ' ἑταιρᾶν τέρψιας*): „*δεῖνος*, quod non distat a voce *δῖνος*, secundum Athen. XI 467 D et Hesych. saltationis quoddam genus fuit, sed quemadmodum *δινεῖσθαι* omnino de saltantibus dictum, ita etiam *δεῖνος* omnis *ἐγκύκλιος χορεία* dici poterat" Bergk.

δεῖπνον (sg. *δεῖπνον, -ου.* pl. *δείπνοισι, δεῖπν(α)*) *convivium, coena* Ne. I 22: *ἔσταν δ' ἐπ' αὐλείαις θύραις ἀνδρὸς φιλοξείνου καλὰ μελπόμενος, ἔνθα μοι ἁρμόδιον δεῖπνον κεκόσμηται.* Ol. I 40 (39): *ἀμοιβαῖα θεοῖσι δεῖπνα παρέχων.* Py. IV 31: *φιλίων δ' ἐπέων ἄρχετο, ξείνοις ἅ τ' ἐλθόντεσσιν εὐεργέται δεῖπν' ἐπαγγέλλοντι πρῶτον.* fr. 124 (94), 4: *δείπνου δὲ λήγοντος γλυκὺ τρωγάλιον καίπερ*

πεδ' ἄφθονον βοράν. fr. 125 (91), 2: ἐν δείπνοισι Λυδῶν. (de Py. IX 19 v. δεῖνος.)

δειρά *iugum* Ol. III 27: δέξατ' ἐλθόντ' Ἀρκαδίας ἀπὸ δειρᾶν καὶ πολυγνάμπτων μυχῶν. IX 59: μίχθη Μαιναλίαισιν ἐν δειραῖς.

δειράς *iugum* montis Ol. VIII 52: ἐπ' Ἰσθμῷ ποντίᾳ ἅρμα θοὸν τάνυεν — καὶ Κορίνθου δειράδ', ἐποψόμενος δαῖτα κλυτάν: acc. termini; ὁ δὲ Ἰσθμὸς στενοῦται ὡς ἐπὶ σώματι τραχηλός. Schol. Is. I 10: τὰν ἁλιερκέα Ἰσθμοῦ δειράδ'.

δέκα *decem* Ol. I 81 (79): τρεῖς τε καὶ δέκ' ἄνδρας ὀλέσαις. Ne. XI 19: ἐκ δὲ περικτιόνων ἓξ καὶ δέκ' Ἀρισταγόραν ἀγλααὶ νῖκαι ἐστεφάνωσαν (var. ἑκκαίδεκ'). fr. 135 (100): πέφνε δὲ τρεῖς καὶ δέκ' ἄνδρας.

δέκατος *decimus* Py. IV 10: ἑβδόμᾳ καὶ σὺν δεκάτᾳ γενεᾷ.

δέκομαι (praes. δέκεται, -ονται. δέκευ. fut. δέξεται. aor. I δέξατ(ο), ἐδέξαντ', δέξαντο. δέξαιτο. δέξαι. δέξασθαι. δεξαμένῳ, -μενον, -μενοι; -μένα. aor. II ἔδεκτο. [δέξ'.] δέγμενος. pf. δέδεξαι, δέδεκται) 1) *accipio, adipiscor* Ol. XIII 68: ἄγε φίλτρον τόδ' ἵππειον δέκευ (var. δέχευ): h. e. habenam. Py. IV 37: χειρί οἱ χεῖρ' ἀντερείσαις δέξατο βώλακα δαιμονίαν. III 95: ἕδνα τε δέξαντο. Ne. I 71: δεξάμενον θαλερὰν Ἥβαν ἄκοιτιν. Ol. IV 7: ἀλλ', ὦ Κρόνου παῖ, — Ὀλυμπιονίκαν δέκευ Χαρίτων ἕκατι τόνδε κῶμον, cf. Ol. VIII 10. Ol. VI 105: πόσις Ἀμφιτρίτας, ἐμῶν ὕμνων δὲ δέξ' εὐτερπὲς ἄνθος (Bergk. c. var., vulg. ἐμῶν δ' ὕμνων ἄεξ'). V 3: Ὠκεανοῦ θύγατερ, καρδίᾳ γελανεῖ ἀκαμαντόποδός τ' ἀπήνας δέκευ Ψαύμιός τε δῶρα. — Py. V 22: εὖχος ἤδη παρὰ Πυθιάδος ἵπποις ἑλὼν δέδεξαι τόνδε κῶμον ἀνέρων. Ol. II 54 (49): Ὀλυμπίᾳ μὲν γὰρ αὐτὸς γέρας ἔδεκτο. Py. I 80: ὕμνον —, τὸν ἐδέξαντ' ἀμφ' ἀρετᾷ. Ne. II 4: ὅδ' ἀνὴρ καταβολὰν ἱερῶν ἀγώνων νικαφορίας δέδεκται πρῶτον Νεμεαίου ἐν πολυυμνήτῳ Διὸς ἄλσει. Py. IX 125: πολλὰ δὲ πρόσθεν πτερὰ δέξατο Νίκας. Ol. VI 27: στεφάνους ἐν Ὀλυμπίᾳ ἐπεὶ δέξαντο, cf. Is. III 11. Py. I 100. Is. I 51: εὐαγορηθεὶς κέρδος ὕψιστον δέκεται, πολιατᾶν καὶ ξένων γλώσσας ἄωτον. met. Ol. II 69 (63): ἀπονέστερον ἐσλοὶ δέκονται βίοτον (var. δέρκονται v. νέμονται). Is. V (VI) 15: αἴδαν γῆράς τε δέξασθαι. Py. IV 255: καὶ ἐν ἀλλοδαπαῖς σπέρμ' ἀρούραις τουτάκις ὑμετέρας ἀκτῖνος ὄλβου δέξατο μοιρίδιον ἆμαρ ἢ νύκτες (Bergk. σπεῖρ' ... ὑμετέρας τ' ἀκτῖνας ὀλβῶν-δείξατο h. e. ὄλβον ἀνεδείξατο). — c. dat. Is. V (VI), 4: ἐν Νεμέᾳ μὲν πρῶτον, ὦ Ζεῦ, τίν γ' ἄωτον δεξάμενοι στεφάνων, νῦν αὖ τίν, Ἰσθμοῦ δέσποτα: a te; cf. Ol. XIII 29. Py. IV 23. VIII 5. XII 5. met. fr. 133 (98): οἷσι δὲ Φερσεφόνα ποινὰν παλαιοῦ πένθεος δέξεται (var. δέξηται). — 2) *excipio, recipio* Is. VI (VII) 5: χρυσῷ μεσονύκτιον νίφοντα δεξαμένα τὸν φέρτατον θεῶν, cf. Ne. V 38. Py. IX 73. Ol. III 27. XIII 92. Is. I 38. VII 68 (VIII 75). Ol. VI 98: σὺν δὲ φιλοφροσύναις εὐηράτοις Ἁγησία δέξαιτο κῶμον, cf. Ne. IV 11. additur dat. modi Py. IV 128: μειλιχίοισι λόγοις αὐτοὺς Ἰάσων δέγμενος. Py. V 86. VIII 19. praep. ἐς, ἐν Ne. XI 3: εὖ μὲν Ἀρισταγόραν δέξαι τεὸν ἐς θάλαμον. fr. 90 (60), 4: ἐν ζαθέῳ με δέξαι χορῷ (Bergk., vulgo χώρῳ) ἀοίδιμον Πιερίδων προφάταν. Py. IV 127. IX 56. met. Py. I 98: οὐδέ νιν φόρμιγγες ὑπωρόφιαι κοινωνίαν μαλθακὰν παίδων ὀάροισι δέκονται: v. κοινωνία. Py. IV 70: τίς γὰρ ἀρχὰ δέξατο ναυτιλίας (var. ἀρχὲ 'δέξατο, ἀρχ' ἐδ., ἄρχ' ἐδ., ἀρχὴ δέξατο, Bergk. ἀρχὴ 'κδέξατο h. e. ἀρχὰ ἐκδέξατο): sc. αὐτούς, Argonautas.

δελφίς (sg. δελφίς, -ῖνος, -ῖνι, -ῖνα. pl. δελφῖνες, -ων) *delphinus* fr. 234 (258): παρὰ ναῦν δ' ἰθύει τάχιστα δελφίς. fr. 235 (259): ἁλίου δ' ἐρεθίζομαι δελφῖνος ὑπόκρισιν· τὸν μὲν ἀκύμονος ἐν πόντου πελάγει αὐλῶν ἐκίνησ' ἐρατὸν μέλος. fr. 1 (4), 6: οἷοι δ' ἀρετὰν δελφῖνες ἐν πόντῳ. Ne. VI 72 (64): δελφῖνί κεν τάχος δι' ἅλμας εἰκάζοιμι Μελησίαν. Py. IV 17: δελφίνων δ' ἐλαχυπτερύγων. II 51: θεὸς — θαλασσαῖον παραμείβεται δελφῖνα.

Δελφίς *Delphica* Py. IV 60: σὲ — χρησμὸς ὤρθωσεν μελίσσας Δελφίδος αὐτομάτῳ κελάδῳ.

Δελφοί *Delphi* 1) urbs Py. IX 75: δόξαν ἱμερτὰν ἀγαγόντ' ἀπὸ Δελφῶν. Ol. XIII 43: ὅσσα τ' ἐν Δελφοῖσιν ἀριστεύσατε ἠδὲ χόρτοις ἐν

λέοντος. — 2) incolae Ne. VII 43: βάρυνθεν δὲ περισσὰ Δελφοὶ ξεναγέται. fr. 192 (204): Δελφοὶ θεμίστων [ὕμνων] μάντιες Ἀπολλωνίδαι.

δέμας *corpus* Ol. I 21: παρ' Ἀλφεῷ σύτο δέμας ἀκέντητον ἐν δρόμοισι παρέχων. Ne. XI 12: ἄνδρα δ' ἐγὼ μακαρίζω μὲν πατέρ' Ἀρκεσίλαν, καὶ τὸ θαητὸν δέμας ἀτρεμίαν τε ξύγγονον: sc. Aristagorae. Py. III 50: θερινῷ πυρὶ περθόμενοι δέμας ἢ χειμῶνι.

δέμνιον *cubile, sedes* Ne. I 3: ἄμπνευμα σεμνὸν Ἀλφεοῦ, κλειτᾶν Συρακοσσᾶν θάλος Ὀρτυγία, δέμνιον Ἀρτέμιδος.

δένδρεον (sg. δένδρεον, -έῳ. pl. δένδρε(α), -έων, -εα) *arbor* Ol. III 23: ἀλλ' οὐ καλὰ δένδρε' ἔθαλλεν χῶρος ἐν βάσσαις Κρονίου Πέλοπος. III 32: τόθι δένδρεα θάμβαινε σταθείς. II 80 (73): ἄνθεμα δὲ χρυσοῦ φλέγει, τὰ μὲν χερσόθεν ἀπ' ἀγλαῶν δενδρέων. Ne. XI 40: δένδρεά τ' οὐκ ἐθέλει πάσαις ἐτέων περόδοις ἄνθος εὐῶδες φέρειν πλούτῳ ἴσον, ἀλλ' ἐν ἀμείβοντι. fr. 153 (125): δενδρέων δὲ νομὸν πολυγαθὴς Διόνυσος αὐξάνοι, ἁγνὸν φέγγος ὀπώρας. Ne. VIII 40: αὔξεται δ' ἀρετά, χλωραῖς ἐέρσαις ὡς ὅτε δένδρεον ἄσσει. proverbialiter dicitur fr. 230 (254): ἐπὶ λεπτῷ δενδρέῳ βαίνειν: „exili ramulo insistere" Dissen.

δεξιόγυιος *dexter et promptus membris* Ol. IX 111: τὸν δ' ἀνέρα δαιμονίᾳ γεγάμεν εὔχειρα, δεξιόγυιον, ὁρῶντ' ἀλκάν.

δεξιός *dexter* fr. 146 (112): ἄγχιστα δεξιὰν κατὰ χεῖρα πατρὸς ἕζεαι met. *dexter, aptus* Is. IV (V) 61: αἰνέω καὶ Πυθέαν ἐν γυιοδάμαις Φυλακίδᾳ πλαγᾶν δρόμον εὐθυπορῆσαι χερσί, δεξιὸν νόῳ ἀντίπαλον (Boeckh. et Herm., vulg. χερσὶ δεξιόν, νόῳ ἀ., Bergk. χερσὶ δεξιὸν νόῳ ἀ.). Ne. III 8: ἀοιδᾶν —, στεφάνων ἀρετᾶν τε δεξιωτάταν ὀπαδόν.

δεξιτερός *dexter* Py. IV 96: τάφε δ' αὐτίκα παπτάναις ἀρίγνωτον πέδιλον δεξιτερῷ μόνον ἀμφὶ ποδί: v. μονόκρηπις. Py. IV 35: ἂν δ' εὐθὺς ἁρπάξαις ἀρούρας δεξιτερᾷ προτυχὸν ξένιον μάστευσε δοῦναι: sc. χειρί.

δέομαι *careo* Ne. VII 13: ταὶ μεγάλαι γὰρ ἀλκαὶ σκότον πολὺν ὕμνων ἔχοντι δεόμεναι.

δέος *timor* Ne. I 48: ἐκ δ' ἄρ' ἄτλατον δέος (var. βέλος) πλᾶξε γυναῖκας, ubi Boeckh. cum Herm. δέος interpretis esse censens recepit βέλος, Bergk. ἄπλατον χρέος poetam scripsisse coni.

δέρκομαι (praes. δέρκομαι, -εται. aor. δρακείς, -έντες. δρακεῖσ'. pf. δέδορκε(ν)) 1) trans. *conspicio* fr. 123 (88): τὰς δὲ Θεοξένου ἀκτῖνας προσώπου μαρμαριζοίσας δρακείς. met. Ne. VII 3: οὐ φάος, οὐ μέλαιναν δρακέντες εὐφρόναν: h. e. non viventes. — *respicio*, met. Py. III 85: λαγέταν γάρ τοι τύραννον δέρκεται, εἴ τιν' ἀνθρώπων, σ' ὁ μέγας πότμος: h. e. favet. — *circumspecto* Py. II 20: Λοκρὶς παρθένος — διὰ τεὰν δύναμιν δρακεῖσ' ἀσφαλές. Ne. VII 66: ἐν τε δαμόταις ὄμματι δέρκομαι λαμπρόν: „h. e. inter omnes Graecos de probitate mea constat" Dissen. — 2) perf. intr. *fulgeo* Ol. I 97 (94): τὸ δὲ κλέος τηλόθεν δέδορκε τᾶν Ὀλυμπιάδων ἐν δρόμοις Πέλοπος. Ne. III 84: τίν γε μὲν — ἀεθλοφόρου λήματος ἕνεκεν Νεμέας Ἐπιδαυρόθεν τ' ἄπο καὶ Μεγάρων δέδορκεν φάος. IX 41: ἀμφ' ἀκταῖς Ἑλώρου — δέδορκεν παιδὶ τοῦτ' Ἁγησιδάμου φέγγος ἐν ἁλικίᾳ πρώτᾳ: affulsit.

δέρμα *pellis* leonis Is. V (VI), 47: ὥσπερ τόδε δέρμα με νῦν περιπλανᾶται θηρός, ὃν πάμπρωτον ἀέθλων κτεῖνά ποτ' ἐν Νεμέᾳ. arietis Py. IV 161: δέρμα τε κριοῦ βαθύμαλλον ἄγειν. IV 241: αὐτίκα δ' Ἀελίου θαυμαστὸς υἱὸς δέρμα λαμπρὸν ἔννεπεν, ἔνθα νιν ἐκτάννυσαν Φρίξου μάχαιραι.

δεσμός *vinculum* fr. 161 (134): οἱ μὲν κατωκάρα δεσμοῖσι δέδενται: Titanes dici arbitratur Boeckh., Cercopes Bergk. Py. II 40: τὸν δὲ τετράκναμον ἔπραξε δεσμόν (Ἰξίων): „rotam quatuor radiorum, in quibus manus et pedes illigati" Dissen. fr. 92 (93): κείνῳ (Typhoni) μὲν Αἴτνα δεσμὸς ὑπερφίαλος ἀμφίκειται. — met. fr. 207 (223): Ταρτάρου πυθμὴν πιέξει σ' ἀφανέος σφυρηλάτοις δεσμοῖς ἀνάγκας (Bergk. pro ἀφανοῦς σφυρηλάτοις ἀνάγκαις).

δέσποινα *domina* Py. IV 11: Αἰήτα παῖς —, δέσποινα Κόλχων. IX 7: τόθι νιν (Cyrenen) — θῆκε δέσποιναν χθονός. fr. 122 (87), 14: ὦ Κύπρου δέσποινα: Venus. — met. Ol. VIII 2: μᾶτερ ὦ χρυσοστεφάνων ἀέθλων, Ὀλυμπία, δέσποιν' ἀλαθείας: „domi-

na oraculi s. veritatis oraculo patefaciendae" Dissen.

δεσπόσυνος *ad dominum v. regem pertinens* Py. IV 267: εἰ — σὺν ὀρθαῖς κιόνεσσιν δεσποσύναισιν ἐρειδομένα (δρῦς) μόχθον ἄλλοις ἀμφέπῃ δύστανον ἐν τείχεσιν, ἑὸν ἐρημώσαισα χῶρον: cum columnis, quae sunt in in regia.

δεσπότας (sg. δεσπότας, -ᾳ, -αν, -α. pl. δεσπόται) *dominus* Ne. I 13: Ὀλύμπου δεσπότας — Ζεύς. fr. 36 (11): Ἄμμων Ὀλύμπου δέσποτα. Is. V (VI) 5: Ἰσθμοῦ δέσποτα (Bergk., vulg. δεσπότᾳ): invocatur Neptunus, itemque Ol. VI 103: δέσποτα ποντόμεδον. Py. IV 207: δεσπόταν λίσσοντο ναῶν. — Ol. I 23 (22): κράτει δὲ προσέμιξε δεσπόταν, Συρακόσιον ἱπποχάρμαν βασιλῆα: Hieronem. Py. IV 53: οἵ κεν — τέκωνται φῶτα κελαινεφέων πεδίων δεσπόταν: Battum. Is. VI (VII), 45: ἔρριψε Πάγασος δεσπόταν — Βελλεροφόνταν: sc. in eo vehentem. Ol. VI 18: τὸ καὶ ἀνδρὶ κώμου δεσπότᾳ πάρεστι Συρακοσίῳ: „Agesias, cuius sumptu tota comissatio habita, ceteros invitaverat quasi dominus domus" Dissen. — plur. fr. 122 (87), 11: τί με λεξοῦντι Ἰσθμοῦ δεσπόται: Corinthii.

Δευκαλίων Deucalion Ol. IX 43: ἵνα — Πύρρα Δευκαλίων τε Παρνασοῦ καταβάντε δόμον ἔθεντο πρῶτον, ἄτερ δ' εὐνᾶς ὁμόδαμον κτισσάσθαν λίθινον γόνον.

δεῦμα v. **δεύτατος.**

δεύομαι v. **γεύομαι.**

δεῦρο *huc* Ol. VI 63: ὄρσο, τέκος, δεῦρο πάγκοινον ἐς χώραν ἴμεν φάμας ὄπισθεν. VIII 51: ἀποπέμπων Αἰακὸν δεῦρ' ἀν' ἵπποις χρυσέαις: in Graeciam. Ne. XI 35: Αἰολέων στρατιὰν χαλκεντέα δεῦρ' ἀνάγων: πρὸς τὴν Τένεδον. Schol.

δεύτατος *ultimus*, neutr. plur. pro adv. Ol. I 51 (50): τραπέζαισί τ' ἀμφὶ δεύτατα κρεῶν σέθεν (h. e. Pelopis) διεδάσαντο καὶ φάγον (var. ἀμφιδεύτατα, ἀμφιδεύματα, ἀμφὶ δεύματα): „zu guter Letzt" Mezger. καὶ τὸ τελευταῖον ἐν ταῖς τραπέζαις παραθέντες καὶ μερίδας ποιήσαντες βεβρώκασιν. Schol. locum difficillimum quum aliter expediri posse desperaret, Boeckhius lectione libri Venetorum septimi (W) recepta scripsit ἀμφὶ δεύματα et δεύματα κρεῶν explicat: „carnes embammate sive iusculo imbutas".

δεῦτε *huc* fr. 122 (87), 14: ὦ Κύπρου δέσποινα, τεὸν δεῦτ' ἐς ἄλσος φορβάδων κορᾶν ἀγέλαν ἑκατόγγυιον Ξενοφῶν τελέαις ἐπάγαγ' εὐχωλαῖς ἰανθείς. (de fr. 75 (45), 1 v. ὁράω.)

δεύτερος (sg. m. δεύτερος, -ῳ, -ον. f. δευτέρα, -αν. n. δεύτερον. pl. n. δεύτερα) *secundus, alter, insequens* 1) de tempore Ol. I 44 (43): ἔνθα δευτέρῳ χρόνῳ ἦλθε καὶ Γανυμήδης. Py. IV 56: Φοῖβος ἀμνάσει θέμισσιν Πύθιον ναὸν καταβάντα χρόνῳ δευτέρῳ νάεσσι πολεῖς ἀγαγὲν Νείλοιο πρὸς πῖον τέμενος Κρονίδα (M. Schmidt., libri καταβάντα. χρόνῳ δ' ὑστέρῳ, Christ. χρόνῳ ὑστέρῳ). Is. III 85 (IV 67): καὶ δεύτερον ἆμαρ ἐτείων τέρμ' ἀέθλων γίνεται. Py. VIII 42: ἀπ' Ἄργεος ἤλυθον δευτέραν ὁδὸν Ἐπίγονοι. Is. V (VI) 2: δεύτερον κρατῆρα Μοισαίων μελέων κίρναμεν. Py. IX 15: ἐξ Ὠκεανοῦ γένος ἥρως δεύτερος: „Hypseus dicitur filius Penei fluvii, qui filius Oceani" Dissen. fr. 279 (249): τὰ δεύτερα τῶν προτέρων πεφυκέναι κρατεῖν (Liban. Or. I 432 ed. Reiske). — neutr. pro adv. fr. 75 (45), 8: με — ἴδετε πορευθέντ' ἐς ἀοιδὰν δεύτερον: „quod addidit Pindarus δεύτερον, videtur significare iterum Athenis se dithyrambum docere" Bergk. „post Iovem patrem secundo loco ad Bacchum filium" Boeckh. — 2) de dignitate Py. I 99: τὸ δὲ παθεῖν εὖ πρῶτον ἀέθλων· εὖ δ' ἀκούειν δευτέρα μοῖρ'.

δέω (act. aor. δῆσεν. δήσαις. pass. aor. δεθείς. pf. δέδεται, -ενται) *vincio, ligo, constringo* fr. 161 (134): οἱ μὲν κατωκάρα δεσμοῖσι δέδενται: v. δεσμός. Py. IV 234: βοέους δήσαις ἀνάγκας ἔντεσιν αὐχένας. Ne. VI 40 (35): χεῖρας ἱμάντι δεθείς. Py. I 27: οἷον Αἴτνας ἐν μελαμφύλλοις δέδεται κορυφαῖς καὶ πέδῳ (Τυφώς): „inter vertices et solum vinctus iacet" Dissen. — met. Py. IV 71: τίς δὲ κίνδυνος κρατεροῖς ἀδάμαντος δῆσεν ἅλοις; III 54: ἀλλὰ κέρδει καὶ σοφία δέδεται. Ne. XI 45: δέδεται γὰρ ἀναιδεῖ ἐλπίδι γυῖα. fr. 229 (253): νικώμενοι γὰρ ἄνδρες ἀγρυξίᾳ δέδενται οὐ φίλων ἐναντίον ἐλθεῖν.

δή (per synizesin coalescit cum sequente vocali Ol. XIII 99: δὴ ἀμ-

φοτέρωθεν (Herm. et Boeckh., libri δ' vel γὰρ). Ne. V 20: δὴ αὐτόθεν (Boeckh., Tricl. δ' αὐτόθεν, Bergk. c. reliquis libris αὐτόθεν). Py. VIII 67: δὴ εὔχομαι (Bergk., vulg. δ' εὔχομαι). in crasi legitur Ol. IX 53: δὴ ῏σαν (Bergk., vett. libri δ' ἔσαν, recc. δ' ἔσσαν, quod rec. Boeckh.).) particula quum a rad. ja ducta sit proprie est 1) temporalis: *iam*, ietzt, schon, sofort Ne. VIII 19: ἵσταμαι δὴ ποσσὶ κούφοις ἀμπνέων τε πρίν τε φάμεν. VIII 51: ἦν γε μὰν ἐπικώμιος ὕμνος δὴ πάλαι καὶ πρὶν γενέσθαι τὰν Ἀδράστου τάν τε Καδμείων ἔριν. I 60: γείτονα δὴ κάλεσεν Διὸς ὑψίστου προφάταν ἔξοχον (Bergk., libri δ' ἐκάλεσαν, δ' ἐκκάλεσαν, Tricl. δ' ἐκκάλεσεν). fr. 88 (58), 3: ὁπότε — δὴ τότε. — 2) affirmativa, rem iam absolutam ideoque notam et extra dubitationem positam declarans: *manifesto*, *re vera*, *profecto* Py. IV 273: ἀλλ' ἐπὶ χώρας αὖτις ἔσσαι (πόλιν) δυσπαλὲς δὴ γίνεται. fr. 108 (75): θεοῦ δὲ δείξαντος ἀρχὰν ἕκαστον ἐν πρᾶγος εὐθεῖα δὴ κέλευθος ἀρετὰν ἑλεῖν τελευταί τε καλλίονες. Ne. X 75: θερμὰ δὴ τέγγων δάκρυα στοναχαῖς ὄρθιον φώνασε (Schmid., libri δὲ, Bergk. eiecit). V 20: μακρά μοι δὴ αὐτόθεν ἅλμαθ' ὑποσκάπτοι τις (Boeckh., Tricl. δ' αὐτόθεν, Bergk. c. reliquis libris part. eiecit). Ol. I 55 (54): εἰ δὲ δή τιν' ἄνδρα θνατὸν Ὀλύμπου σκοποὶ ἐτίμασαν, ἦν Τάνταλος οὗτος. Is. II 27: γαῖαν ἀνὰ σφετέραν, τὰν δὴ καλέοισιν Ὀλυμπίου Διὸς ἄλσος, cf. Py. XI 17. fr. 7 (2): ὅστις δὴ τρόπος ἐξεκύλισέ νιν. additur numeralibus. Ol. XIII 99: ἀλαθής τέ μοι ἔξορκος ἐπέσσεται ἑξηκοντάκι δὴ ἀμφοτέρωθεν ἁδύγλωσσος βοὰ κάρυκος ἐσλοῦ (Herm. et Boeckh., libri vett. δ', recc. γὰρ). Py. IX 91: Αἰγίνᾳ τε γάρ φαμὶ Νίσου τ' ἐν λόφῳ τρὶς δὴ πόλιν τάνδ' εὐκλεΐξαι. Ne. VIII 48: σεῦ δὲ πάτρᾳ Χαριάδαις τε λάβρον ὑπερεῖσαι λίθον Μοισαῖον ἕκατι ποδῶν εὐωνύμων δὶς δὴ δυοῖν. Ol. VI 79: μάτρωες ἄνδρες — ἐδώρησαν θεῶν κάρυκα λιταῖς θυσίαις πολλὰ δὴ πολλαῖσιν Ἑρμᾶν εὐσεβέως. — Ne. I 17: θαμὰ δὴ καί. Ol. IX 9 = Is. VII 65 (VIII 70): δή ποτε. Py. IV 64: ἦ μάλα δή. — in interrogationibus: *tandem* Ne. X 76: Πάτερ Κρονίων, τίς δὴ λύσις ἔσσεται πενθέων; cf. Ol. X 60. Ne. V 15: αἰδέομαι μέγα εἰπεῖν ἐν δίκᾳ τε μὴ κεκινδυνευμένον, πῶς δὴ λίπον εὐκλέα νᾶσον: „schliesslich" Mezger. — 3) consecutiva, si quae nunc iam exstare dicuntur ad superiora spectant atque ea sequuntur: *igitur* Ol. III 25: δὴ τότ' ἐς γαῖαν πορεύειν θυμὸς ὥρμαιν' Ἰστρίαν νιν: id quod iam narratum est v. 14. Ol. IX 53: κείνων δὴ ῏σαν χαλκάσπιδες ὑμέτεροι πρόγονοι (Bergk., libri vett. δ' ἔσαν, recc. δ' ἔσσαν): respicit poeta v. 45. (de Py. VIII 67 v. δέ III.)

Δηιάνειρα *Deianira* fr. 249 (153): Ἡρακλῆς εἰς ᾅδου κατελθὼν ἐπὶ τὸν Κέρβερον συνέτυχε Μελεάγρῳ τῷ Οἰνέως, οὗ καὶ δεηθέντος γῆμαι τὴν ἀδελφὴν Δηιάνειραν ἐπανελθὼν εἰς φῶς ἔσπευσεν εἰς Αἰτωλίαν πρὸς Οἰνέα, καταλαβὼν δὲ μνηστευόμενον τὴν κόρην Ἀχελῷον τὸν πλησίον ποταμὸν διεπάλαισεν αὐτῷ ταύρου μορφὴν ἔχοντι· οὗ καὶ ἀποσπάσας τὸ ἕτερον τῶν κεράτων ἔλαβε τὴν παρθένον· φασὶ δὲ αὐτὸν Ἀχελῷον παρὰ Ἀμαλθείας τῆς Ὠκεανοῦ κέρας λαβόντα δοῦναι τῷ Ἡρακλεῖ καὶ τὸ ἴδιον ἀπολαβεῖν. . . . ἡ ἱστορία παρὰ Πινδάρῳ (Schol. Il. φ 194).

Δημοδίκη *Demodice* fr. 49 (19): Ταύτην δὲ (Φρίξου μητρυιὰν) ὁ μὲν Πίνδαρος ἐν Ὕμνοις Δημοδίκην (Boeckh., vulg. Δημωτικὴν v. Δημοτικὴν) φησίν, Ἱππίας δὲ Γοργῶπιν, Σοφοκλῆς δὲ ἐν Ἀθάμαντι Νεφέλην, Φερεκύδης Θεμιστώ (Schol. Pind. Py. IV 388): „Pindarica forma erat Δαμοδίκα" Boeckh.

Δημοφῶν *Demophoon* fr. 176 (162): Τῆς δὲ Ἀντιόπης ἀποθανούσης ἔγημε (Θησεὺς) Φαίδραν, ἔχων υἱὸν Ἱππόλυτον ἐξ Ἀντιόπης, ὡς δὲ Πίνδαρός φησι, Δημοφῶντα (Plut. vit. Thes. c. 28).

Δηραῖοι fr. 63 (35): οἱ μάντεις οἱ γνήσιοι οἱ ἐθάδες τοῦ ἐν Δηραίοις (Mueller. pro Δηραίνοις) τόπῳ Ἀβδήρων τιμωμένου Ἀπόλλωνος, οὗ μνημονεύει καὶ Πίνδαρος ἐν Παιᾶσιν (Tzetz. ad Lycophr. 440).

δηριάω *certo, contendo* Ne. XI 26: παρ' εὐδένδρῳ μολὼν ὄχθῳ Κρόνου κάλλιον ἂν δηριώντων ἐνόστησ' ἀντιπάλων.

δηρίομαι *contendo* Ol. XIII 44:

δηρίομαι πολέσιν περὶ πλήθει καλῶν: „ita ut multos illos alios, ubi cuncti computentur, non plures cepisse victorias spondeam“ Boeckh.

διά I) adv. in tmesi, v. διαδατέομαι, διεξερευνάω. — II) praep. *per* 1) c. gen. a) de loco Ne. VI 55 (48): πέταται δ' ἐπί τε χθόνα καὶ διὰ θαλάσσας τηλόθεν κλέος αὐτῶν. VI 73 (64): δελφῖνί κεν τάχος δι' ἅλμας εἰκάζοιμι Μελησίαν. Ol. I 6: μηκέτ' ἀελίου σκόπει ἄλλο θαλπνότερον ἐν ἁμέρᾳ φαεννὸν ἄστρον ἐρήμας δι' αἰθέρος. Ne. VII 26: Αἴας ἔπαξε διὰ φρενῶν λευρὸν ξίφος. fr. 111 (77): αἰὼν δὲ δι' ὀστέων ἐρραίσθη. fr. 238 Boeckh.: κέλαδον ἀκροσόφων ἀγνύμενον διὰ στομάτων φθεγγόμενος. Py. III 57: χερσὶ δ' ἄρα Κρονίων ῥίψαις δι' ἀμφοῖν ἀμπνοὰν στέρνων καθέλεν: διαμπὰξ δι' ἀμφοτέρων τῶν μαστῶν ἢ τῶν πλευρῶν, ἢ δι' αὐτοῦ τε τοῦ Ἀσκληπιοῦ καὶ τοῦ ἰατρευθέντος, ὥστε καὶ τὸν Ἀσκληπιὸν ἀναιρεῖσθαι καὶ τὸν ἀναβεβιωκότα. Schol. „sed secundum Hesiodum (fr. 49 Goettl.), quem Pindarus sequi solet, Aesculapius solus Iovis fulmine interemptus, itaque conieci χερσὶ . . . ἄμ' ἀμφοῖν poetam dedisse“ Bergk. Is. III 55 (IV 37): ἀλλ' Ὅμηρός τοι τετίμακεν δι' ἀνθρώπων (Αἴαντα): h. e. apud omnes homines. — b) de instrumento Py. IV 279: αὔξεται καὶ Μοῖσα δι' ἀγγελίας ὀρθᾶς. — 2) c. acc. a) de loco: durch (über) — hin Is. III 59 (IV 41): ἐπὶ χθόνα καὶ διὰ πόντον βέβακεν ἐργμάτων ἀκτὶς καλῶν. fr. 51: πλεῦντες διὰ παρθένιον Ἕλλας πορθμόν (Strabo VII. T. II p. 91). Py. IX 123: παρθένον — ἄγεν ἱππευτᾶν Νομάδων δι' ὅμιλον. Is. V (VI) 23: μυρίαι δ' ἔργων καλῶν τέτμηνθ' ἑκατόμπεδοι ἐν σχερῷ κέλευθοι καὶ πέραν Νείλοιο παγᾶν καὶ δι' Ὑπερβορέους. — b) de causa efficiente: per, propter Ne. VII 21: ἐγὼ δὲ πλέον' ἔλπομαι λόγον Ὀδυσσέος ἢ πάθεν διὰ τὸν ἁδυεπῆ γενέσθ' Ὅμηρον. Py. II 20: παρθένος — διὰ τεὰν δύναμιν δρακεῖσ' ἀσφαλές. Is. IV (V) 6: ἵπποι διὰ τεάν, ὤ'νασσα, τιμὰν ὠκυδινάτοις ἐν ἁμίλλαισι θαυμασταὶ πέλονται: „tuo beneficio“ Dissen. „tui honorandi causa“ Mezger. cf. Is. IV (V) 11: κρίνεται δ' ἀλκὰ διὰ δαίμονας ἀνδρῶν: „deorum in honorem“ Mezger.

διαβολία *calumnia* Py. II 76: ἄμαχον κακὸν ἀμφοτέροις διαβολιᾶν ὑποφάτιες (Bergk. διαιβολιᾶν).

διάβολος fr. 297 (270): τὸ διαβάλλειν δὲ οὐ μόνον συκοφαντικὸν ἔχει νοῦν, ὅθεν καὶ ἡ διαβολή, καὶ ὁ παρὰ Πινδάρῳ διάβολος ἄνθρωπος (Eust. ad Od. 1406, 14). ἡγεμονεὺς καὶ ἡνιοχεὺς καὶ ὁ ἐκ τοῦ Ἀλκαῖος Ἀλκεύς, ὅθεν καὶ Ἀλκείδης Ἡρακλῆς, καὶ ὁ ἐκ τοῦ παρὰ Πινδάρῳ διάβολος κοινῶς διαβολεύς (Eust. ad Il. 128, 38): „videtur Eustathius antiquioris grammatici sententiam falso interpretatus esse, qui dixerat a Pindaro formam διαβολεὺς loco vulgaris διάβολος esse adhibitam“ Bergk.

διαγγέλλω *nuntio divulgans* Ne. V 3: ἀοιδά, στεῖχ' ἀπ' Αἰγίνας, διαγγέλλοισ', ὅτι Λάμπωνος υἱὸς — νίκη.

Διαγόρας *Diagoras*, Damageti filius, Eratides, rex Ialysi, multis victoriis ludicris nobilitatus, cui pugilatu victori Ol. 79 carmen Ol. VII scriptum est; Ol. VII 13: σὺν Διαγόρᾳ κατέβαν. VII 80: τῶν ἄνθεσι Διαγόρας ἐστεφανώσατο δίς κτλ.

διάγω fr. 286: διήγεται σάρκες, ἀντὶ τοῦ διήγοντο (Lesbonax de figuris p. 184): „fuit credo διήγετο, Pindarice διάγετο“ Boeckh.; est autem figura q. v. Pindarica, v. ἰαχέω.

διαδατέομαι *distribuo, dispertior* c gen. Ol. I 52 (51): ὅτι σε — μαχαίρᾳ τάμον κατὰ μέλη τραπέζαισί τ' ἀμφὶ δεύτατα κρεῶν σέθεν διεδάσαντο καὶ φάγον. per tmesin Ol. VII 75: διὰ γαῖαν τρίχα δασσάμενοι πατρωίαν.

διαιβολία v. **διαβολία**.

διαιθύσσω *agitor* per aliquid Ol. VII 95: ἐν δὲ μιᾷ μοίρᾳ χρόνου ἄλλοτ' ἀλλοῖαι διαιθύσσοισιν αὖραι (Boeckh., libri διαιθύσσουσιν): „perspirant“ Boeckh.

διαιρέω *eximo, secerno* Ol. X 57: ὁπᾷ τὰν πολέμοιο δόσιν ἀκρόθινα διελὼν ἔθυε (sc. duodecim deis): διαχωρίσας. Schol.

δίαιτα 1) *vitae ratio* Py. I 93: ὀπιθόμβροτον αὔχημα δόξας οἶον ἀποιχομένων ἀνδρῶν δίαιταν μανύει καὶ λογίοις καὶ ἀοιδοῖς. — 2) *victus* Ol. II 71 (65): οὐ χθόνα ταράσσοντες ἐν χερὸς ἀκμᾷ οὐδὲ πόντιον ὕδωρ κεινὰν παρὰ δίαιταν.

διαιτάω *dirimo arbitrio, diiudico,*

met. 1) rego Ol. IX 66: *πόλιν δ' ὤπασεν λαόν τε διαιτᾶν.* — 2) perago, perficio Py. IX 68: *κεῖνο κεῖν' ἆμαρ διαίτασεν: διαιτᾶν διανύειν.* Hesych.

διακομπέω *iacto* fr. 157 (128): *ὦ τάλας ἐφάμερε, νήπια βάζεις χρήματά μοι διακομπέων* (Herm., libri *διακομπεύων*).

διακρίνω (praes. *διακρίνειν*. aor. *διέκρινε. διακρῖναι.* brevis vocalis ante *κρ* ubique producitur praeter incertum fr. 168) 1) *secerno* Ol. X 46: *περὶ δὲ πάξαις Ἄλτιν μὲν ὅγ' ἐν καθαρῷ διέκρινε.* — 2) *decerno* a) certamine Py. IX 115: *σὺν δ' ἀέθλοις ἐκέλευσεν διακρῖναι ποδῶν, ἅντινα σχήσοι τις ἡρώων.* — b) mente: diiudico Ol. VIII 24: *ὅ τι γὰρ πολὺ καὶ πολλᾷ ῥέπει, ὀρθᾷ διακρῖναι φρενὶ μὴ παρὰ καιρόν, δυσπαλές* (var. *διακρίνειν, διακρινεῖ*). fr. 168 (150): *ἦν δὲ ἰδόντα διακρῖναι πολλὸς ἐν καιρῷ χρόνος*: „ad pernoscendum" Boeckh. Py. I 68: *Ζεῦ τέλει', αἰεὶ δὲ τοιαύταν Ἀμένα παρ' ὕδωρ αἶσαν ἀστοῖς καὶ βασιλεῦσιν διακρίνειν ἔτυμον λόγον ἀνθρώπων*: h. e. „für wahr erklären" Mezger. *τοιαύτην μερίδα παράσχου ὥστε τὸν τῶν ἀνθρώπων λόγον διακρίνειν τοῦτο καὶ ἀληθὲς ἀποφαίνειν, ὅτι ἐν ἐλευθερίᾳ εἰσίν.* Schol. Bergkius tamen pro *διακρίνειν* suspicatur *δίδοι, κραίνειν τ'* vel *δίδοι, κραίνων* scribendum esse.

διαλλάσσω *muto* Ol. XI 21: *τὸ γὰρ ἐμφυὲς οὔτ' αἴθων ἀλώπηξ οὔτ' ἐρίβρομοι λέοντες διαλλάξαιντο ἦθος*: deest part. *ἄν*.

διανέμω *guberno* Py. IV 261: *ἄστυ χρυσοθρόνου διανέμειν θεῖον Κυράνας.* VIII 62: *τὺ δ', ἑκαταβόλε, πάνδοκον ναὸν εὐκλέα διανέμων Πυθῶνος ἐν γυάλοις.*

διανίσσομαι *permeo* Py. XII 25: *νόμον — λεπτοῦ διανισσόμενον χαλκοῦ θ' ἅμα καὶ δονάκων* (var. *διανισόμενον*).

διαντλέω *exanclo, exhaurio* Py. IV 294: *εὔχεται οὐλομέναν νοῦσον διαντλήσαις ποτὲ οἶκον ἰδεῖν.*

διάπειρα *experientia* Ol. IV 16 (20): *διάπειρά τοι βροτῶν ἔλεγχος.*

διᾱπλέκω *plecto inter, intertexo, pertexo,* met. Py. II 82: *σαίνων ποτὶ πάντας ἀγὰν* (Boeckh., libri *ἄγαν*) *πάγχυ διαπλέκει* (sc. *δόλιος ἀστός*): „flexuram callide flectit omni modo, omnem artem tentat" Dissen. *πλοκήν τινα ποιῶν.* Schol. Ne. VII 99: *εἰ γάρ σφισιν ἐμπεδοσθενέα βίοτον ἁρμόσαις ἥβᾳ λιπαρῷ τε γήραι διαπλέκειν εὐδαίμον' ἐόντα* (Bergk., libri *διαπλέκοις*). Py. XII 8: *τέχνᾳ, τάν ποτε Παλλὰς ἐφεῦρε θρασειᾶν Γοργόνων οὔλιον θρῆνον διαπλέξαισ' Ἀθάνα*: „artificiosis nexibus flexibusque componens" Boeckh. *συνθεῖσα.* Schol.

διᾱπρεπής *excellens* Is. IV (V) 44: *τοῖσιν Αἴγιναν προφέρει στόμα πάτραν διαπρεπέα νᾶσον.*

διᾱπρέπω *excello,* c. gen. Ol. I 2: *ὁ δὲ χρυσὸς αἰθόμενον πῦρ ἅτε διαπρέπει νυκτὶ μεγάνορος ἔξοχα πλούτου* (sc. *διαπρέπει*).

διᾱπρύσιος *late patens* Ne. IV 51: *Θέτις δὲ κρατεῖ Φθίᾳ· Νεοπτόλεμος δ' ἀπείρῳ διαπρυσίᾳ.*

διαρκέω *sufficio* Ne. VII 48: *τρία ἔπεα διαρκέσει*: proverbialiter dictum; „kurz und gut" Mezger. v. *εὐώνυμος*.

διαστείβω *peragro* fr. 221 (242): *τέρπεται δὲ καί τις ἔπι* (*φρασὶν*) *οἶδμ' ἐνάλιον ναΐ θοᾷ σῶς διαστείβων* (Bergk. pro *ἐπ' οἶδμα ἅλιον*).

διαστείχω *pervado, versor in,* met. c. gen. Is. III 17: *καὶ ματρόθε Λαβδακίδαισιν σύννομοι πλούτου διέστειχον τετραοριᾶν πόνοις* (Herm. et Boeckh., libri *διέστιχον*): „sie (die Kleonymiden) schritten im Reichtum dahin" Mezger.

διασωπάω *prorsus reticeo* Ol. XIII 91: *διασωπάσομαί οἱ μόρον ἐγώ* (Tricl. *διασιγάσομαι,* Herm. *διασιωπάσομαι*). v. *σωπάω*.

διαυλŏδρόμας *diauli cursor* Py. X 9: *στρατῷ τ' ἀμφικτιόνων ὁ Παρνάσιος αὐτὸν μυχὸς διαυλοδρομᾶν ὕπατον παίδων ἀνέειπεν.*

δίαυλος *diaulus* Ol. XIII 37: *Πυθοῖ τ' ἔχει σταδίου τιμὰν διαύλου τ' ἀελίῳ ἀμφ' ἑνί.*

διαφαίνω 1) Act. *disiunctim luceo* Py. III 44: *καιομένα δ' αὐτῷ διέφαινε πυρά* (var. *διέφανε,* Bergk. coni. *δίχ' ἔφαινε*): „cum fulgore diffindebatur" Boeckh. *ἡ φύσις τοῦ πυρὸς οἷον διεσχίσθη καὶ διάστημα τοῦ πυρὸς ἐγενήθη, ἕως ἂν ἐπιβὰς ὁ Ἀπόλλων ἀνέληται τὸν παῖδα.* Schol. — 2) Pass. *perspicior, appareo,* met. Ne. III 71: *ἐν δὲ πείρᾳ τέλος διαφαίνεται, ὧν τις ἐξοχώτερος γένηται.*

διαφέρω *differo* 1) trans. divulgo et clarum reddo Py. XI 60: ἅ τε (χάρις) τὸν Ἰφικλείδαν διαφέρει Ἰόλαον ὑμνητὸν ἐόντα: διάγει καὶ διαστέλλει καὶ ἐπίσημον ποιεῖ. Schol. — 2) intr. sum diversus Ne. VII 54: φυᾷ δ' ἕκαστος διαφέρομεν βιοτὰν λαχόντες, ὁ μὲν τά, τὰ δ' ἄλλοι.

διδακτός *disciplina acquisitus* Ol. IX 100: τὸ δὲ φυᾷ κράτιστον ἅπαν· πολλοὶ δὲ διδακταῖς ἀνθρώπων ἀρεταῖς κλέος ὤρουσαν ἀρέσθαι. Ne. III 41: συγγενεῖ δέ τις εὐδοξίᾳ μέγα βρίθει· ὃς δὲ διδάκτ' ἔχει, ψεφεννὸς ἀνὴρ ἄλλοτ' ἄλλα πνέων οὔ ποτ' ἀτρεκέι κατέβα ποδί.

διδασκαλία *disciplina* Py. IV 102: φαμὶ διδασκαλίαν Χείρωνος οἴσειν: οἷον, οὐ ψεύσομαι ἀλλὰ τὴν ἀλήθειαν ἐρῶ, ἣν ἔμαθον παρὰ Χείρωνος δικαίου τυγχάνοντος.

διδάσκω *doceo* Ne. III 55: Ἀσκλαπιόν, τὸν φαρμάκων δίδαξε μαλακόχειρα νόμον (Χείρων). Py. III 45: καί ῥά νιν Μάγνητι φέρων πόρε Κενταύρῳ διδάξαι πολυπήμονας ἀνθρώποισιν ἰᾶσθαι νόσους. met. fr. 122 (87), 13: διδάξαμεν χρυσὸν καθαρᾷ βασάνῳ (Herm., vulg. ἐδιδάξαμεν, Hecker. ἐδείξαμεν): exploravimus. — Med. *mea doceo* Ol. VIII 59: τὸ διδάξασθαι δέ τοι εἰδότι ῥᾶτερον: „sich Schüler heranzuziehen“ Mezger.

δίδυμος, δίδυμνος (sg. m. διδύμῳ, -ον. f. διδύμᾳ. n. δίδυμον. pl. m. διδύμων, -οις, -ους. διδύμνοις. f. δίδυμαι, -αισιν, -ας) *geminus, duplex, duo* Ol. III 35: σὺν βαθυζώνου διδύμνοις παισὶ Λήδας (Herm., libri διδύμοισι v. διδύμοις, Mosch. διδύμμοις). Ne. IX 4: ματέρι καὶ διδύμοις παίδεσσιν αὐδὰν μανύει. Py. IX 86: τέκε οἱ καὶ Ζηνὶ — Ἀλκμήνα διδύμων κρατησίμαχον σθένος υἱῶν. IV 178: πέμπε δ' Ἑρμᾶς χρυσόραπις διδύμους υἱοὺς ἐπ' ἄτρυτον πόνον τὸν μὲν Ἐχίονα, — τὸν δ' Ἔρυτον. Is. VII 17 (VIII 19): πατρὸς — δίδυμαι γένοντο θύγατρες Ἀσωπίδων ὁπλόταται: geminae, Thebe et Aegina. Ne. I 36: ἐς αἴγλαν παῖς Διὸς ὠδῖνα φεύγων διδύμῳ σὺν κασιγνήτῳ μόλεν: gemello cum fratre, Iphicle; ἐναντίος οὗτος τῷ Θεοκρίτῳ. ἐκεῖνος γάρ φησι (XXIV 2)· Καὶ νυκτὶ νεώτερον Ἰφικλῆα. Schol. Ol. XIII 21: τίς — θεῶν ναοῖσιν οἰωνῶν βασιλέα δίδυμον ἐπέθηκ' (Boeckh. βασιλῆα δίδυμνον ἔθηκ'): duplicem aquilam; v. βασιλεύς. — Py. II 9: ἐπὶ γὰρ ἰοχέαιρα παρθένος χερὶ διδύμᾳ — τίθησι κόσμον: utraque manu, quo studium indicatur deae“ Dissen. Ol. V 5: βωμοὺς ἓξ διδύμους ἐγέραρεν ἑορταῖς θεῶν μεγίσταις ὑπὸ βουθυσίαις: Ὀλυμπιάσι βωμοί εἰσιν ἓξ δίδυμοι τοῖς δώδεκα θεοῖς ἀνιδρυμένοι, ἑνὸς ἑκάστου βωμοῦ δύο θεοῖς καθωσιωμένου. Schol. Py. IV 79: ἵκετ' αἰχμαῖσιν διδύμαισιν ἀνὴρ ἔκπαγλος: „more heroum Homericorum, cf. Od. I 256“ Dissen. Py. IV 209: δίδυμαι γὰρ ἔσαν ζωαί (var. δίδυμοι): Symplegades. fr. 40: οὐ μὲν γὰρ ἀπευθὴς (Τύχη) κατὰ Πίνδαρον, οὐδὲ δίδυμον στρέφουσα πηδάλιον (Plut. de fort. Rom. c. 4): „dubium, num etiam δίδυμον στρ. π. ad Pindarum sit referendum“ Bergk. Ol. VI 65: ἔνθα οἱ ὤπασε θησαυρὸν δίδυμον μαντοσύνας. Is. III 9: ἔστι δὲ καὶ διδύμων ἀέθλων Μελίσσῳ μοῖρα. Ne. VI 65 (57): ἑκόντι δ' ἐγὼ νώτῳ μεθέπων δίδυμον ἄχθος ἄγγελος ἔβαν: „duplex onus est Aeacidarum priscorum et huius vigesimae quintae Bassidarum victoriae laus“ Dissen. Py. III 72: τῷ μὲν διδύμας χάριτας εἰ κατέβαν ὑγίειαν ἄγων χρυσέαν κῶμόν τ' ἀέθλων Πυθίων αἴγλαν στεφάνοις: τήν τε τοῦ ἰατρεύοντος Χείρωνος, εἰ ἀνεβίωσε, καὶ τὴν τῶν ὕμνων, ὧν εἰς αὐτὸν γράφω. Schol.

δίδωμι (act. praes. δίδωσι, διδοῖ. δίδοι, διδοῖτ'. διδόμεν. διδους, -όντι, -όντων. ipf. ἐδίδου. fut. δώσει. δώσειν. aor. ἔδωκε(ν), ἔδωκ', δῶκε(ν); δῶκαν, ἔδοσαν. δόμεν, δοῦναι. δόντες. perf. δέδωκε. — pass. perf. δέδοται) *do* 1) dono, concedo aliquid (alicui) Py. IV 21: θεῷ — γαῖαν διδόντι, cf. IV 35: ξένιον μάστευσε δοῦναι. fr. 154 (126), 3: ἐμοὶ δ' ὀλίγον μὲν γᾶς δέδοται. Ne. I 14: νάσῳ, τὰν — Ζεὺς ἔδωκεν Φερσεφόνᾳ. Ol. I 90 (88): τὸν μὲν ἀγάλλων θεὸς ἔδωκεν δίφρον τε χρύσεον πτεροῖσίν τ' ἀκάμαντας ἵππους. I 65 (63): συμπόταις νέκταρ ἀμβροσίαν τε δῶκεν. additur infin. Py. IV 222: σὺν δ' ἐλαίῳ φαρμακώσαισ' ἀντίτομα στερεᾶν ὀδυνᾶν δῶκε χρίεσθαι. — met. Ol. VIII 85: ἐσλὰ δ' ἐπ' ἐσλοῖς ἔργα θέλοι δόμεν, ὀξείας δὲ νόσους ἀπαλάλκοι. Ne. VII 59: τὶν δ' ἐοικότα καιρὸν ὄλβου δίδωσι, cf. Py. I 57. Ne. IV 42: ἐμοὶ δ' — ἀρε-

τὰν ἔδωκε Πότμος ἄναξ. II 8: *αἰὼν ταῖς μεγάλαις δέδωκε κόσμον Ἀθάναις.* Py. II 89: *ἑτέροις ἔδωκεν μέγα κῦδος* (*θεός*), cf. Ol. III 39. Is. VI (VII) 24: *μάτρωι — δέδωκε κοινὸν θάλος.* Ol. VII 89: *δίδοι τέ οἱ αἰδοίαν χάριν.* XIII 115: *Ζεῦ τέλει', αἰδῶ δίδοι καὶ τύχαν τερπνῶν γλυκεῖαν.* I 87 (85): *τὺ δὲ πρᾶξιν φίλαν δίδοι.* VI 104: *εὐθὺν δὲ πλόον καμάτων ἐκτὸς ἐόντα δίδοι.* Ne. VII 97: *βροτοῖσιν ἀλκὰν ἀμαχανιᾶν — διδόμεν.* Py. V 65: *πόρεν τε κίθαριν δίδωσί τε Μοῖσαν οἷς ἂν ἐθέλῃ.* XII 32: *τὸ μὲν δώσει, τὸ δ' οὔπω.* Ne. I 66: *καί τινα σὺν πλαγίῳ ἀνδρῶν κυρὶ στείχοντα, τὸν ἐχθρότατον φᾶσέ νιν δώσειν μόρον* (Bergk., libri *καί τινα σὺν πλ. ἀ. κόρῳ στείχοντα κτλ.*, Herm. *φᾶσε ἶν*, Beck. *τῷ ἐχθροτάτῳ . . . μόρῳ*). Py. IV 265: *καὶ φθινόκαρπος ἐοῖσα* (*δρῦς*) *διδοῖ ψᾶφον περ' αὐτᾶς*: „calculum (iudicium) dat de se iudicaturis" Dissen. pro obiecto est infin. Py. V 119: *καὶ τὸ λοιπὸν ὁμοῖα, Κρονίδαι μάκαρες, διδοῖτ' ἐπ' ἔργοισιν ἀμφί τε βουλαῖς ἔχειν.* gen. part. Is. III 51 (IV 33): *τῶν τε γὰρ καὶ τῶν διδοῖ* (var. add. *τέλος*): sc. *τύχα.* — do coniugem Ne. IX 17: *Ἐριφύλαν — δόντες Οἰκλείδᾳ γυναῖκα.* Py. IX 117: *οὕτω δ' ἐδίδου Λίβυς ἁρμόζων κόρᾳ νυμφίον ἄνδρα.* — 2) trado Ol. VI 33: *ἐκέλευσεν ἥρωι πορσαίνειν δόμεν Ἐλατίδᾳ βρέφος*, cf. Py. IV 115. met. Py. V 60: *ἔδωκ' Ἀπόλλων θῆρας αἰνῷ φόβῳ: εἰς φυγὴν παρώρμησεν.* Schol. Is. VII 60 (VIII 66): *ἐσλόν γε φῶτα καὶ φθίμενον ὕμνοις θεᾶν διδόμεν.* Ne. X 26: *καὶ τὸν Ἰσθμοῖ καὶ Νεμέᾳ στέφανον Μοίσαισιν ἔδωκ' ἀρόσαι.* VIII 20: *νεαρὰ δ' ἐξευρόντα δόμεν βασάνῳ ἐς ἔλεγχον, ἅπας κίνδυνος.* — 3) edo Ne. XI 39: *καρπὸν ἔδωκαν ἄρουραι*: est aor. gnomicus. Ne. VI 12 (10): *τόκα μὲν ὦν βίον ἀνδράσιν ἐπηετανὸν ἐκ πεδίων ἔδοσαν.* V 50: *εἰ δὲ Θεμίστιον ἵκεις ὥστ' ἀείδειν, μηκέτι ῥίγει· δίδοι φωνάν* (Herm., libri *δίδου*, Bergk. coni. *ῥίγει δίδοι* omissa stigme).

διείργω *dirimo*, *separo* Ne. VI 3: *ἓν ἀνδρῶν, ἓν θεῶν γένος· ἐκ μιᾶς δὲ πνέομεν ματρὸς ἀμφότεροι· διείργει δὲ πᾶσα κεκριμένα δύναμις*: *τοὺς θεοὺς καὶ ἡμᾶς χωρίζει ἡ δύναμις.* Schol.

διεξερευνάω *plane pervestigo* Ne. III 24: *δάμασε δὲ θῆρας ἐν πελάγεϊ ὑπερόχους διά τ' ἐξερεύνασε τεναγέων ῥοάς* (Boeckh., libri *ἰδίᾳ(α) τ' ἐρεύνασε*, schol. etiam *διά τ' ἐρεύνασε*, Bergk. coni. *ἀιδνάς τ' ἐρ. τ. ῥοάς* h. e. caliginosa fluenta).

διέπω *administro*, *rego* Ol. VI 93: *τὰν* (*Ὀρτυγίαν*) *Ἱέρων καθαρῷ σκάπτῳ διέπων.* Ne. X 53: *ταμίαι Σπάρτας ἀγώνων μοῖραν Ἑρμᾷ καὶ σὺν Ἡρακλεῖ διέποντι θάλειαν.* fr. 173 (160): *Σύριον εὐρυαίχμαν διεῖπον στρατόν* (Casaub., libri *διῖπον*, *δίηπον*, *δίεπον*, unde vulg. *δίιππον*): sc. Amazones.

διερός v. *ξερός.*

διέρχομαι *perambulo*, *percurro*, c. acc. Ol. IX 93: *φῶτας — δαμάσσαις διήρχετο κύκλον ὅσσᾳ βοᾷ.* met. Is. III 23 (IV 5): *θάλλοντες αἰεὶ σὺν θεῷ θνατὸν διέρχονται βιότου τέλος*, ubi *τέλος* est acc. termini. Ne. IV 72: *ἄπορα γὰρ λόγον Αἰακοῦ παίδων τὸν ἅπαντά μοι διελθεῖν*: sc. narrando.

διθύραμβος *dithyrambus* Ol. XIII 19: *ταὶ Διωνύσου πόθεν ἐξέφανεν σὺν βοηλάτᾳ χάριτες διθυράμβῳ* (Bergk. *Χάριτες Διθυράμβῳ*). fr. 79 (47): *πρὶν μὲν εἷρπε σχοινοτένειά τ' ἀοιδὰ διθυράμβων καὶ τὸ σὰν κίβδαλον ἀνθρώποισιν ἀπὸ στομάτων*: „Pindarus carmen orditur a comparatione veterum et novorum dithyramborum, quod diserte Strabo prodit" Boeckh. fr. 86 (56): *εἶτα αὕτη ἡ αἰτιατικὴ φημὶ δὲ ἡ ἴκτινον κατὰ μεταπλασμὸν γέγονεν ἴκτινα, ὥσπερ ἀλίτροχον ἀλίτροχα παρ' Ἰβύκῳ καὶ διθύραμβον διθύραμβα παρὰ Πινδάρῳ* (Choerobosc. I 279).

δίκα (sg. *δίκας*, *-ᾳ*, *-αν.* pl. *δίκας.* — *Δίκα*, *-ας*, *-ᾳ*) A) 1) *mos*, *ratio* Py. I 50: *νῦν γε μὰν Φιλοκτήταο δίκαν ἐφέπων ἐστρατεύθη*: „rationem, exemplum secutus" Dissen. fr. 215 (152): *ἄλλα δ' ἄλλοισιν νόμιμα, σφετέραν δ' αἰνεῖ δίκαν ἕκαστος.* — acc. sing. pro adv. Py. II 84: *ποτὶ δ' ἐχθρὸν ἅτ' ἐχθρὸς ἐὼν λύκοιο δίκαν ὑποθεύσομαι*: more, instar. — 2) *ius*, *iustitia* fr. 1 (4), 5: *οὐ θέμιν οὐδὲ δίκαν ξείνων ὑπερβαίνοντες.* fr. 213 (232): *δίκᾳ — ἢ σκολιαῖς ἀπάταις.* Ne. IX 15: *κρέσσων δὲ καππαύει δίκαν τὰν πρόσθεν ἀνήρ*: id quod respondet fere nostro: Macht geht vor

Recht. Ol. II 106 (96): *κόρος οὐ δίκᾳ συναντόμενος.* Ne. X 12: *φρενῶν καρπὸν εὐθείᾳ συνάρμοξεν δίκᾳ.* VII 48: *εὐώνυμον ἐς δίκαν*: v. *εὐώνυμος.* Py. IV 140: *κέρδος αἰνῆσαι πρὸ δίκας δόλιον.* Ne. IV 12: *δίκᾳ ξεναρκέι κοινὸν φέγγος*: „iustitia advenas sublevante communis omnibus lux s. salus dicitur Aegina" Dissen. Ne. III 29: *ἕπεται δὲ λόγῳ δίκας ἄωτος ἐσλὸς αἰνεῖν.* Py. V 14: *σὲ δ' ἐρχόμενον ἐν δίκᾳ πολὺς ὄλβος ἀμφινέμεται.* Ne. IX 44: *ἐκ πόνων δ', οἳ σὺν νεότατι γένωνται σύν τε δίκᾳ, τελέθει πρὸς γῆρας αἰὼν ἁμέρα.* pro adv.: *ἐν (σὺν) δίκᾳ*: *iuste* Ol. II 18 (16): *τῶν δὲ πεπραγμένων ἐν δίκᾳ τε καὶ παρὰ δίκαν.* VI 12. Ne. V 14. Py. IX 96. Is. VI (VII) 47: *τὸ δὲ πὰρ δίκαν γλυκὺ πικροτάτα μένει τελευτά*: „iniustam, ultra fas appetitam voluptatem" Dissen. — plur. Py. IV 153: *Κρηθεΐδας — ἱππόταις εὔθυνε λαοῖς δίκας*: „iura dirigebat, ius administrabat" Dissen. — 3) *lis* Is. VII (VIII) 24: *καὶ δαιμόνεσσι δίκας ἐπείραινε* (*Αἰακός*). — B) ***Δίκα*** *Iustitia* Ol. XIII 7: *ἐν τᾷ γὰρ Εὐνομία ναίει κασιγνήτα τε, βάθρον πολίων ἀσφαλές, Δίκα καὶ ὁμότροφος Εἰράνα, ταμίαι ἀνδράσι πλούτου, χρύσεαι παῖδες εὐβούλου Θέμιτος.* Py. VIII 1: *Ἁσυχία, Δίκας ὦ μεγιστόπολι θύγατερ.* VIII 71: *κώμῳ — Δίκα παρέστακε*: *δικαίως κωμάζεται ὁ Ἀριστομένης.* Schol. Ol. VII 17: *πατέρα τε Δαμάγητον ἁδόντα Δίκᾳ.*

δικάζω *iudico* Ol. II 65 (59): *τὰ δ' ἐν τᾷδε Διὸς ἀρχᾷ ἀλιτρὰ κατὰ γᾶς δικάζει τις ἐχθρᾷ λόγον φράσαις ἀνάγκᾳ.*

δικαιόπολις *iusta civitate insignis* Py. VIII 22: *ἁ δικαιόπολις ἀρεταῖς κλειναῖσιν Αἰακιδᾶν θιγοῖσα νᾶσος*: Aegina, ubi regnat *Δίκα* v. 1.

δίκαιος *iustus* Py. I 86: *νώμα δικαίῳ πηδαλίῳ στρατόν.* IV 280: *ἐπέγνω — τὸ κλεεννότατον μέγαρον Βάττου δικαιᾶν Δαμοφίλου πραπίδων* (var. *δικαίαν*). Ol. II 6: *Θήρωνα δὲ — γεγωνητέον, ὄπιν δίκαιον ξένων* (Hartung. et Mommsen., Herm. *ὄπι δίκαιον ξένων* vel *ὄπιν δίκαιον ξένον*, libri *γεγωνητέον ὀπὶ* (v. *ὄπι*) *δίκαιον ξένον*). Ne. X 54: *ἀνδρῶν δικαίων περικαδόμενοι* (Tyndaridae). fr. 159 (132): *ἀνδρῶν δικαίων χρόνος σωτὴρ ἄριστος.* Ne. VIII 41: *αὔξεται δ' ἀρετὰ — ἐν σοφοῖς ἀνδρῶν ἀερθεῖσ' ἐν δικαίοις τε, πρὸς ὑγρὸν αἰθέρα*: sermo est de poetis.

δικαιόω *iustum reddo* fr. 169 (151): *νόμος ὁ πάντων βασιλεὺς θνατῶν τε καὶ ἀθανάτων ἄγει δικαιῶν τὸ βιαιότατον ὑπερτάτᾳ χειρί* (var. *βιαίως τὸ δικαιότατον*).

(*δίκω*) *iacio*, aor. def. Ol. X 72: *μᾶκος δὲ Νικεὺς ἔδικε πέτρῳ χέρα κυκλώσαις ὑπὲρ ἁπάντων.* v. *ἐπιδίκω.*

δινάζω *vibro, concutio* fr. 101 (70): *καὶ μυχοὺς δινάσσατο βαλλόμενος κρηπῖδας ἀλσέων* (var. *δεινάσατο*, Herm. *ἐδύσατο*, Schneider. *τινάξατο*, Bergk. coni. *ἰνάσατο* h. e. purgavit): Apollo dicitur.

δινέω *circumago*, pass. *vagor*, met. Py. XI 38: *ἦ ῥ', ὦ φίλοι, κατ' ἀμευσίπορον τρίοδον ἐδινάθην* (var. *ἐδινήθην*): *ἐπλανήθην, ἀντὶ τοῦ ἐσφάλην τοῦ δέοντος.* Schol. „ich wurde verwirrt" Mezger.

Δίοδοτος *Diodotus* Thebanus Is. VI (VII) 31: *τὺ δέ, Διοδότοιο παῖ, — εὐανθέ' ἀπέπνευσας ἁλικίαν προμάχων ἀν' ὅμιλον*: *τὸ δὲ Διοδότοιο παῖ πρὸς τὸν ὁμώνυμον τῷ νικηφόρῳ μήτρωα Στρεψιάδην Διοδότου παῖδα ποιεῖται.* Schol. „*Διοδότοιο* prima syllaba producta dictum, quemadmodum *Διοφάνης* in epigr. apud Rangabem Ant. Hell. II 988, alia" Bergk.

Δίοθεν *a (ex) Iove* Ne. IV 61: *τὸ μόρσιμον Διόθεν πεπρωμένον ἔκφερεν.* VI 14: *παῖς ἐναγώνιος, ὃς ταύταν μεθέπων Διόθεν αἶσαν νῦν πέφαντ' οὐκ ἄμμορος ἀμφὶ πάλᾳ*: „h. e. propter innatam naturam s. indolem, cf. *συγγενές* v. 10 (8)" Mezger. fr. 75 (45), 7: *Διόθεν τέ με σὺν ἀγλαΐᾳ ἴδετε πορευθέντ' ἀοιδᾷ δεύτερον ἐπὶ κισσοδέταν θεόν*: de poeta a Iove Nemeaeo post Nemea Athenas profecto ad Bacchum celebrandum explicat Boeckhius; contra Bergk. scr. *ἀμοιβὰν Διόθεν τέ με σὺν ἀγλαΐᾳ ἴδετε πορευθέντ' ἐς ἀοιδὰν δεύτερον ἐπί τε κ. θ.* vertit: „huius honoris memores me superne respicite"; nam *Διόθεν* nihil aliud esse quam *οὐρανόθεν.*

Διομήδης *Diomedes* Tydides Ne. X 7: *Διομήδεα δ' ἄμβροτον ξανθά ποτε Γλαυκῶπις ἔθηκε θεόν*: cum Minerva Cypri colebatur pro deo et Argis, „ubi clipeum Diomedis in Palladis lavacro efferri solitum videmus ex Callim. Pallad. Lavacr. v. 35, et

ipsum etiam simulacrum eius cum Palladis simulacro ad Inachum portatum et lotum dicit schol. ibid. ad. v. 1" Dissen. fr. 262 (181): κατελθοῦσα δ' ἡ θεὸς (Ἀθηνᾶ) Ὀδυσσέα τε καὶ Διομήδη ἐπὶ τὴν κατασκοπὴν ἐποίησε προελθεῖν· ἐπιστάντες δὲ ἐκεῖνοι κοιμωμένῳ Ῥήσῳ αὐτόν τε καὶ τοὺς ἑταίρους αὐτοῦ κτείνουσιν, ὡς ἱστορεῖ Πίνδαρος. — ἱστορεῖ δὲ Πίνδαρος, ὅτι — κατὰ θείαν πρόνοιαν νυκτὸς αὐτὸν (Ῥῆσον) Διομήδης ἀναιρεῖ (Schol. ad Il. κ 435 in AD et BLV).

Διόνῡσος, Διώνυσος (Διόνυσος, -ου. Διωνύσου, -οιο) *Bacchus* Is. VI (VII) 5: πάρεδρον Δαμάτερος ἀνίκ' εὐρυχαίταν ἄντειλας Διόνυσον: „in pluribus antiquis gemmis Ceres assidet Baccho" Gedik. Ol. XIII 18: ταὶ Διωνύσου πόθεν ἐξέφανεν σὺν βοηλάτᾳ χάριτες διθυράμβῳ; fr. 124 (89), 3: ἐν ξυνῷ κεν εἴη συμπόταισίν τε γλυκερὸν καὶ Διωνύσοιο (Boeckh., libri Διονύσοιο) καρπῷ καὶ κυλίκεσσιν Ἀθαναίαισι κέντρον. fr. 29 (5), 5: τὰν Διωνύσου πολυγαθέα τιμάν. fr. 153 (125): δενδρέων δὲ νομὸν πολυγαθὴς Διόνυσος αὐξάνοι, ἁγνὸν φέγγος ὀπώρας: cf. Plut. de Is. et Osir. c. 35: ὅτι δὲ οὐ μόνον τοῦ οἴνου Διόνυσον, ἀλλὰ καὶ πάσης ὑγρᾶς φύσεως Ἕλληνες ἡγοῦνται κύριον καὶ ἀρχηγόν, ἀρκεῖ Πίνδαρος μάρτυς εἶναι λέγων· κτλ. „preces sunt ad Bacchum Δενδρίτην" Boeckh. fr. 247 (123): Διόνυσος· . . . οἱ δὲ ἀπὸ τοῦ Διὸς καὶ τῆς Νύσης τοῦ ὄρους ὠνομάσθαι, ἐπεὶ ἐν τούτῳ ἐγεννήθη, ὡς Πίνδαρος, καὶ ἀνετράφη (Etym. M. 277, 39): „videtur ex Dithyrambo esse" Boeckh. fr. 267: Διόνυσον δὲ Ὅμηρος ἐν τοῖς ὕμνοις ὑπὸ λῃστῶν ἁλῶναι γράφει· καὶ Πίνδαρος δὲ διέρχεται περὶ τῆς λῃστείας (Philodemus περὶ εὐσεβείας p. 42 ed. Gomperz): haec de coniectura supplevit Bergk.

διορθόω *corrigo, accuratius tracto* Ol. VII 21: ἐθελήσω τοῖσιν ἐξ ἀρχᾶς ἀπὸ Τλαπολέμου ξυνὸν ἀγγέλλων διορθῶσαι λόγον: „vix dubito respici maxime tractationem piaculi a Tlepolemo commissi, quod verius et correctius narrat, quippe explicans et excusans ex idoneis causis" Dissen. ὀρθῶς εἰπεῖν. Schol.

δῖος *divinus* Is. VII 22 (VIII 23): δῖον ἔνθα τέκες Αἰακόν. Py. VII 10: οἳ τεόν γε δόμον Πυθῶνι δίᾳ θαητὸν ἔτευξαν. (de Py. VII 5 v. ναίω.)

διόσδοτος *a Iove datus* Py. VIII 96: ὅταν αἴγλα διόσδοτος ἔλθῃ. fr. 137 (102): οἶδε μὲν βίου τελευτάν, οἶδεν δὲ διόσδοτον ἀρχάν (sc. vir Eleusiniis initiatus).

Διόσκουροι fr. 258 (163): Μεγαρέως δὲ Τίμαλκον παῖδα τίς μὲν ἐς Ἄφιδναν ἐλθεῖν μετὰ τῶν Διοσκούρων ἔγραψε; πῶς δ' ἂν ἀφικόμενος ἀναιρεθῆναι νομίζοιτο ὑπὸ Θησέως, ὅπου καὶ Ἀλκμὰν ποιήσας ᾆσμα ἐς τοὺς Διοσκούρους, ὡς Ἀθήνας ἕλοιεν καὶ τὴν Θησέως ἀγάγοιεν μητέρα αἰχμάλωτον, ὅμως Θησέα φησὶν αὐτὸν ἀπεῖναι. Πίνδαρος δὲ τούτοις τε κατὰ ταὐτὰ ἐποίησε καὶ γαμβρὸν τοῖς Διοσκούροις Θησέα εἶναι βουλόμενον (codd. βουλόμενος, C. Fr. Herm. βουλομένοις), ἐς ὃ ἀπελθεῖν αὐτὸν Πειρίθῳ τὸν λεγόμενον γάμον συμπράξοντα (Pausan. I 41, 5).

δῐπλόος (sg. f. διπλόα, -αν) *duplex* Ne. V 52: πύκταν τέ νιν καὶ παγκρατίῳ φθέγξαι ἑλεῖν Ἐπιδαύρῳ διπλόαν νικῶντ' ἀρετάν. Is. IV (V) 17: τὶν δ' ἐν Ἰσθμῷ διπλόα θάλλοισ' ἀρετά, Φυλακίδα, κεῖται. III 88 (IV 70): ὅδ' ἀνὴρ διπλόαν νίκαν ἀνεφάνατο. — Ne. X 89: οὐ γνώμᾳ δίπλόαν θέτο βουλάν: ancipitem; οὐ κατεμερίσθη τὴν γνώμην ὁ Πολυδεύκης. Schol.

Δίρκα *Dirce*, fons Thebanus Is. V (VI) 74: πίσω σφε Δίρκας ἁγνὸν ὕδωρ, τὸ βαθύζωνοι κόραι χρυσοπέπλου Μναμοσύνας ἀνέτειλαν παρ' εὐτειχέσιν Κάδμου πύλαις. VII 20 (VIII 22): τὰν μὲν (Θήβαν) παρὰ καλλιρόῳ Δίρκᾳ φιλαρμάτου πόλιος ᾤκισσεν ἁγεμόνα. Ol. X 85: χλιδῶσα δὲ μολπὰ πρὸς κάλαμον ἀντιάξει μελέων, τὰ παρ' εὐκλέι Δίρκᾳ χρόνῳ μὲν φάνεν: τουτέστιν ἐν Θήβαις. Schol. Is. I 29: τῶν ἀθρόοις ἀνδησάμενοι θαμάκις ἔρνεσιν χαίτας ῥεέθροισί τε Δίρκας ἔφανεν καὶ παρ' Εὐρώτᾳ πέλας: ἔνδοξοι ὤφθησαν κατὰ τὰς Θήβας καὶ Λακεδαίμονα. Schol.

Διρκαῖος *Dircaeus* Py. IX 88: κωφὸς ἀνήρ τις, ὃς Ἡρακλεῖ στόμα μὴ παραβάλλει μηδὲ Διρκαίων ὑδάτων ἀὲ μέμναται, τά νιν θρέψαντο καὶ Ἰφικλέα.

δίς *bis* Ol. VII 81: τῶν ἄνθεσι Διαγόρας ἐστεφανώσατο δίς κλεινᾷ

τ' ἐν Ἰσθμῷ τετράκις εὐτυχέων. XII 18. Py. X 13. Ne. X 24. 34. Is. IV (V) 36. VII 43 (VIII 46). Ep. 1. cum numeralibus Ne. VIII 48: ὑπερεῖσαι λίθον Μοισαῖον ἕκατι ποδῶν εὐωνύμων δὶς δὴ δυοῖν: „propter quatuor gloriosos pedes, quorum duo Dinidis, duo Megae sunt“ Dissen. Ne. IV 30: οὐ τετραορίας γε πρὶν δυώδεκα πέτρῳ ἥρωάς τ' ἐπεμβεβαῶτας ἱπποδάμους ἕλεν δίς τόσους.

δισκέω *discum iacio*, met. Is. II 35: μακρὰ δισκήσαις ἀκοντίσσαιμι τοσοῦθ', ὅσον ὀργὰν Ξενοκράτης ὑπὲρ ἀνθρώπων γλυκεῖαν ἔσχεν: μακρῶς καὶ μεγάλως τὸν ἐμὸν λόγον ῥίψας, φησί, καὶ τὸν νικηφόρον ἐγκωμιάζων ὑπερβαλοῦμαι τοὺς ἄλλους. Schol.

δίσκος *discus* Is. I 25: οἷά τε χερσὶν ἀκοντίζοντες αἰχμαῖς καὶ λιθίνοις ὁπότε δίσκοις ἵεν (Bergk. ὁπότ' ἐκ δ., Boeckh. c. Herm. ὁπότ' ἐν δ.): Pindarum Aeolensium more αἰχμαῖς scripsisse et λιθίνοις δίσκοις accusandi casum esse coni. Bergk.

δισσός *duplex*, plur. *duo* Ne. VIII 16: Λυδίαν μίτραν —, Δείνιος δισσῶν σταδίων καὶ πατρὸς Μέγα Νεμεαῖον ἄγαλμα: vulgo Dinidem bis vicisse statuunt; singulas patris et filii victorias intellegit Mezger. Ne. I 44: δισσαῖσι δοιοὺς αὐχένων μάρψαις ἀφύκτως χερσὶν ἑαῖς ὄφιας.

δῑφρηλᾰσία *curruum agitatio* Ol. III 38: ἀγῶνα νέμειν ἀνδρῶν τ' ἀρετᾶς πέρι καὶ ῥιμφαρμάτου διφρηλασίας.

διφρηλάτας *curruum agitator* Py. IX 81: δῑφρηλάτᾰ Ἀμφιτρύωνος σάματι. Is. I 17: κεῖνοι γὰρ (Castor et Iolaus) ἡρώων δῐφρηλάται Λακεδαίμονι καὶ Θήβαις ἐτέκνωθεν κράτιστοι.

δίφρος (sg. δίφρῳ, -ον. pl. δίφρους. vocalis prioris syllabae producitur quater) 1) *capsus v. sella* currus Py. II 10: ὅ τ' ἐναγώνιος Ἑρμᾶς αἰγλάεντι τίθησι κόσμον, ξεστὸν ὅταν δίφρον ἔν θ' ἅρματα πεισιχάλινα καταζευγνύῃ σθένος ἵππιον (Hiero). — 2) *currus* in certaminibus adhibitus Is. III 47 (IV 29): οὐδὲ παναγυρίων ξυνᾶν ἀπεῖχον καμπύλον δῑφρον: „ut Hom. Il. V 231 καμπύλον ἅρμα; curvatus enim erat δίφρος rotis impositus“ Dissen. Py. V 51: ὅλον δίφρον κομίξαις ἀταρβεῖ φρενί. Ol. I 90 (88): τὸν μὲν (Οἰνόμαον) ἀγάλλων θεὸς ἔδωκεν δίφρον τε χρύσεον πτεροῖσίν τ' ἀκάμαντας ἵππους. Py. IV 18: ἀνία τ' ἀντ' ἐρετμῶν δίφρους τε νωμάσοισιν ἀελλόποδας: „frequens equorum praedicatum — nunc lyrice ad δίφρους translatum; intelliguntur autem curulia Cyrenensium certamina, unde iam supra εὔιππος Κυράνα et εὐάρματος πόλις“ Dissen. praeterea Py. IX 6: ἔνεγκέ τε χρυσέῳ παρθένον ἀγροτέραν δῑφρῳ (Apollo). — met. Ol. IX 81: εἴην εὑρησιεπὴς ἀναγεῖσθαι πρόσφορος ἐν Μοισᾶν δῑφρῳ: ἀντὶ τοῦ ἐν ὑψηλῇ ποιήσει, ἣν αἱ Μοῦσαι δωροῦνται. Schol. Is. II 2: οἳ πάλαι — φῶτες, οἳ χρυσαμπύκων ἐς δίφρον Μοισᾶν ἔβαινον κλυτᾷ φόρμιγγι συναντόμενοι.

δίχᾰ 1) *bifariam* fr. 213 (232), 4: δίχα μοι νόος ἀτρέκειαν εἰπεῖν (sc. γίγνεται): h. e. „suspensa mens est“ Boeckh. — 2) *seorsum, separatim* Py. V 93: σκυρωτὰν ὁδόν, ἔνθα πρυμνοῖς ἀγορᾶς ἔπι κεῖται θανών (Battus): „separatus a ceteris regibus, qui πρὸ δωμάτων λαχόντες ἀίδαν εἰσίν“ Boeckh.

διχόβουλος *diversa cogitans, dissentiens* Ol. VIII 86: εὔχομαι ἀμφὶ καλῶν μοίρᾳ νέμεσιν διχόβουλον μὴ θέμεν (sc. τὸν Δία): h. e. non infestam.

διχόμηνις *mensem dividens* Ol. III 19: ἤδη γὰρ αὐτῷ — διχόμηνις ὅλον χρυσάρματος ἑσπέρας ὀφθαλμὸν ἀντέφλεξε Μήνα: h. e. „iam enim plenilunium vespertinum apparuerat“ Dissen. „plenilunium autem mensis civilis die XIII vel XIV accidere solebat ludique Olympici a die XI Hecatombaeonis usque ad diem XV agebantur, ita ut die XVI praemia distribuerentur; igitur plenilunium in medios fere Olympicos ludos incidebat“ Boeckh. Is. VII 44 (VIII 47): ἐν διχομηνίδεσσιν δὲ ἑσπέραις ἐρατὸν λύοι κεν χαλινὸν ὑφ' ἥρωι παρθενίας (Νηρέος θυγάτηρ): „plenilunii tempus faustum habitum esse nuptiis celebrandis constat ex Eur. Iph. A. 717“ Dissen.

δίψα *sitis*, met. Py. IX 104: ἐμὲ δ' ὦν τις ἀοιδᾶν δίψαν ἀκειόμενον πράσσει χρέος αὖτις ἐγεῖραι καὶ τεῶν δόξαν παλαιῶν προγόνων.

διψάω *sitio*, met. Ne. III 6: διψῇ δὲ πρᾶγος ἄλλο μὲν ἄλλου, ἀεθλονικία δὲ μάλιστ' ἀοιδὰν φιλεῖ.

διώκω (praes. *δίωκε. διώκειν. διώκων.* fut. *διώξω, -ει*) 1) *persequor* Ne. X 66: *ἦλθε Λήδας παῖς διώκων.* met. Ol. III 45: *τὸ πόρσω δ' ἔστι σοφοῖς ἄβατον κἀσόφοις. οὔ νιν διώξω· κεινὸς εἴην.* Is. V (VI) 71: *ἀγαπᾶται μέτρα μὲν γνώμᾳ διώκων, μέτρα δὲ καὶ κατέχων.* fr. 127 (236): *μὴ πρεσβυτέραν ἀριθμοῦ δίωκε, θυμέ, πρᾶξιν.* Is. VI (VII) 40: *ὅ τι τερπνὸν ἐφάμερον διώκων.* III 21 (IV 3): *ὑμετέρας ἀρετὰς ὕμνῳ διώκειν.* — 2) *agito* Ne. V 24: *φόρμιγγ' Ἀπόλλων ἑπτάγλωσσον χρυσέῳ πλάκτρῳ διώκων*: „rasch einfallend" Mezger. *κρούων. διώκειν δέ φησιν αὐτόν, τὸ τάχος ἐμφῆναι βουλόμενος τῆς πλήξεως.* Schol. Is. VII 35 (VIII 37): *κεραυνοῦ — κρέσσον ἄλλο βέλος διώξει χερί.*

διώξιππος *agitans equos* Py. IX 4: *διωξίππου στεφάνωμα Κυράνας*: „propter curulia studia Cyrenaeorum" Dissen.

δνοφερός *ater* fr. 130 (95): *ἔνθεν τὸν ἄπειρον ἐρεύγονται σκότον βληχροὶ δνοφερᾶς νυκτὸς ποταμοί.* met. Py. IV 112: *κᾶδος ὡσείτε φθιμένου δνοφερὸν ἐν δώμασι θηκάμενοι.*

δοιοί *bini* Py. IV 172: *δοιοὶ δ' ὑψιχαῖται ἀνέρες, Ἐννοσίδα γένος, αἰδεσθέντες ἀλκάν (ἦλθον).* Ne. I 44: *δισσαῖσι δοιοὺς αὐχένων μάρψαις ἀφύκτως χερσὶν ἑαῖς ὄφιας.* fr. 168 (150): *δοιὰ βοῶν θέρμ' ἔδει ἀνθρακιὰν στέψαντα πυρίπνοά τε σώματα* (Boeckh., libri *διὰ*).

δοκεύω *insidior* Ol. X 30: *λόχμαισι δὲ δοκεύσαις ὑπὸ Κλεωνᾶν δάμασε καὶ κείνους Ἡρακλέης ἐφ' ὁδῷ.*

δοκέω (praes. *δοκεῖ. δοκέοντα.* fut. *δόξομεν.* aor. *ἔδοξεν, ἔδοξ', ἔδοξαν. ἐδόκησεν, -αν.* perf. *δεδόκηται*) 1) *videor*, c. infin. Ne. IV 37: *σφόδρα δόξομεν δαΐων ὑπέρτεροι ἐν φάει καταβαίνειν*: „man wird an uns deutlich sehen, wie wir . . ." Mezger. c. dat. et infin. Ol. III 24: *τούτων ἔδοξεν γυμνὸς αὐτῷ κᾶπος ὀξείαις ὑπακουέμεν αὐγαῖς ἀελίου.* Py. VIII 74: *εἰ γάρ τις ἐσλὰ πέπαται μὴ σὺν μακρῷ πόνῳ, πολλοῖς σοφοῖς* (Bergk., libri *σοφὸς*) *δοκεῖ πεδ' ἀφρόνων βίον κορυσσέμεν ὀρθοβούλοισι μαχαναῖς.* Ol. V 16: *ἢν δ' ἔχοντες σοφοὶ καὶ πολίταις ἔδοξαν ἔμμεν*: aor. gnomicus. in somnis Ol. XIII 72: *κυάναιγις ἐν ὄρφνᾳ κνώσσοντί οἱ παρθένος τόσα εἰπεῖν ἔδοξε.* cum vi quadam de fama virtutis: *existimor* Ol. XIII 56: *τὰ δὲ καί ποτ' ἐν ἀλκᾷ πρὸ Δαρδάνου τειχέων ἐδόκησαν ἐπ' ἀμφότερα μαχᾶν τάμνειν τέλος*: „existimati sunt et famam habuerunt eam" Dissen. Mezgerus vero: „man sah, dafs". Py. VI 40: *ἐδόκησέν τε τῶν πάλαι γενεᾷ ὁπλοτέροισιν, ἔργον πελώριον τελέσαις, ὕπατος ἀμφὶ τοκεῦσιν ἔμμεν πρὸς ἀρετάν.* Ne. VII 31: *ἀλλὰ κοινὸν γὰρ ἔρχεται κῦμ' Ἀίδα, πέσε δ' ἀδόκητον ἐν καὶ δοκέοντα*: „virtutis gloria illustrem" Dissen.; diversam Mezgeri expl. v. s. *ἀδόκητος.* — 2) **δοκεῖ** *placet* Ne. V 19: *εἰ — ἐπαινῆσαι πόλεμον δεδόκηται*: „wenn es gilt" Mezger. Is. VII 59 (VIII 65): *ἔδοξ' ἄρα καὶ ἀθανάτοις, ἐσλόν γε φῶτα καὶ φθίμενον ὕμνοις θεᾶν διδόμεν.*

δόκιμος *acceptus, praeclarus* Ne. III 11: *ἄρχε δ', οὐρανοῦ πολυνεφέλα κρέοντι θύγατερ, δόκιμον ὕμνον.*

δόλιος (sg. m. *δόλιος, -ον.* n. *δόλιον.* pl. f. *δολίαις.* n. *δολίων*) *dolosus, fraudulentus* Py. II 82: *ἀδύνατα δ' ἔπος ἐκβαλεῖν κραταιὸν ἐν ἀγαθοῖς δόλιον ἀστόν.* Is. VII (VIII) 14: *τὸ δὲ πρὸ ποδὸς ἄρειον ἀεὶ σκοπεῖν χρῆμα πᾶν. δόλιος γὰρ αἰὼν ἐπ' ἀνδράσι κρέμαται* (Bergk. *χρῆμα· πανδόλιος*). Ne. III 51: *κτείνοντ' ἐλάφους ἄνευ κυνῶν δολίων θ' ἑρκέων.* IV 57: *Πηλεὺς — δάμαρτος Ἱππολύτας Ἀκάστου δολίαις τέχναισι χρησάμενος.* Py. IV 140: *κέρδος αἰνῆσαι πρὸ δίκας δόλιον.*

δολιχήρĕτμος *longis remis utens*, „*longiremis*" Ol. VIII 20: *ἐξένεπε κρατέων πάλᾳ δολιχήρετμον Αἴγιναν πάτραν*: *ἤγουν τὴν μακραῖς κώπαις χρωμένην, τουτέστι τὴν ναυτικήν.* Schol.

Δόλοπες *Dolopes* fr. 183 (177): *ὃς Δολόπων ἄγαγε θρασὺν ὅμιλον σφενδονᾶσαι, ἱπποδάμων Δαναῶν βέλεσι πρόσφορον*: Phoenix dicitur, cf. Eust. Il. p. 311, 22: *Πίνδαρος δὲ τοὺς ὑπὸ Φοίνικι Δόλοπάς φησι θρασὺν ὅμιλον σφενδονῆσαι, ὡς καὶ Δολόπων δεξιῶν ὄντων σφενδονητῶν.*

δόλος *dolus* Ne. V 26: *ὥς τέ νιν ἁβρὰ Κρηθεῒς Ἱππολύτα δόλῳ πεδᾶσαι ἤθελε.* Ol. IX 91: *φῶτας δ' ὀξυρεπεῖ δόλῳ ἀπτῶτι δαμάσαις.* Py. III 32: *γνοὺς Ἴσχυος Εἰλατίδα ξεινίαν κοίταν ἄθεμίν τε δόλον.* XI 18: *τὸν δὴ — Ἀρσινόα Κλυταιμνήστρας χειρῶν ὕπο κρατερᾶν ἐκ δόλου τροφὸς ἄνελε δυσπενθέος.*

II 39: ἄντε (sc. νεφέλαν) δόλον αὐτῷ θέσαν Ζηνὸς παλάμαι, καλὸν πῆμα: „veluti equus Troianus δόλος dicitur Hom. Od. VIII 494“ Dissen., cf. Verg. Aen. II 264: ipse doli fabricator Epeos.

δολōφρᾰδής *doli meditatrix* Ne. VIII 33: ἐχθρὰ δ' ἄρα πάρφασις ἦν καὶ πάλαι, αἱμύλων μύθων ὁμόφοιτος, δολοφραδής.

δόλόω *decipio* Py. I 92: μὴ δολωθῇς, ὦ φίλος, εὐτραπέλοις κέρδεσσ'.

δόμος (sg. δόμον. pl. δόμοι, -ων, -οις, -οισιν, -ους) *domus* 1) domicilium a) deorum: aedis Ne. VII 46: θεοῦ παρ' εὐτειχέα δόμον: dicitur templum Delphicum. Py. VII 10: Ἐρεχθέος ἀστῶν, Ἄπολλον, οἳ τεόν γε δόμον (Bergk. τεὸν τέμενος) Πυθῶνι δία θαητὸν ἔτευξαν. de inferis Py. III 11: δόμον εἰς Ἀίδα κατέβα. Ol. XIV 20: μελαντειχέα νῦν δόμον Φερσεφόνας ἐλθ', Ἀχοῖ. de superis Ne. X 88: ἥμισυ μέν κε πνέοις γαίας ὑπένερθεν ἐών, ἥμισυ δ' οὐρανοῦ ἐν χρυσέοις δόμοισιν. — b) hominum Ol. IX 44: ἵνα — Πύρρα Δευκαλίων τε Παρνασοῦ καταβάντε δόμον ἔθεντο πρῶτον. Ne. VII 94: ἐν τεμένεσσι δόμον ἔχει τεοῖς. Is. I 19: τριπόδεσσιν ἐκόσμησαν δόμον. Py. XI 34: Τρώων ἔλυσε δόμους ἁβρότατος. fr. 172 (158), 5: ἐξεῖλε Μήδειαν ἐκ Κόλχων δόμων. Py. V 29: Βαττιδᾶν ἀφίκετο δόμους θεμισκρεόντων. — plur. pro sing.: aedes Is. II 30: οὐκ ἀγνῶτες ὑμῖν ἐντὶ δόμοι οὔτε κώμων — οὔτε μελικόμπων ἀοιδᾶν. Ne. I 23: θαμὰ δ' ἀλλοδαπῶν οὐκ ἀπείρατοι δόμοι ἐντί. Py. II 18: σὲ δ', ὦ Δεινομένειε παῖ, Ζεφυρία πρὸ δομων Λοκρὶς παρθένος ἀπύει. c. gen. Py. VIII 14: κέρδος δὲ φίλτατον, ἑκόντος εἴ τις ἐκ δόμων φέροι. IV 117: λευκίππων δὲ δόμους πατέρων — φράσσατέ μοι. Is. III 70 (IV 52): πότ' Ἀνταίου δόμους — ἦλθ' ἀνήρ. Ne. III 43: μένων Φιλύρας ἐν δόμοις. — 2) gens Ol. II 49 (45): λείφθη δὲ Θέρσανδρος — Ἀδραστιδᾶν θάλος ἀρωγὸν δόμοις. (de Ne. I 72 v. νόμος.)

δόναξ *calamus* Py. XII 25: νόμον — λεπτοῦ διανισσόμενον χαλκοῦ θ' ἅμα καὶ δονάκων, τοὶ παρὰ καλλιχόρον ναίοισι πόλιν Χαρίτων, Καφισίδος ἐν τεμένει, πιστοὶ χορευτᾶν μάρτυρες: ἀντὶ τοῦ διὰ τῶν αὐλῶν. Schol. „calami prae ceteris apti tibiis fuerunt ii, qui in palude Copaide nascebantur prope Orchomenum“ Dissen.

δονέω (act. praes. δονέοι. δόνει. δονεῖν. δονέων. pass. praes. δονέονται. aor. δονηθεῖσα) *agito, moveo* Py. I 44: ἔλπομαι μὴ χαλκοπάραον ἄκονθ' ὡσείτ' ἀγῶνος βαλεῖν ἔξω παλάμᾳ δονέων: vibrantem. Py. X 39: παντᾷ δὲ χοροὶ παρθένων λυρᾶν τε βοαὶ καναχαί τ' αὐλῶν δονέονται, cf. Verg. Georg. IV 533: choros — agitabat. Ne. VII*81: ἀμφὶ Νεμέᾳ πολύφατον θρόον ὕμνων δόνει ἀσυχᾷ. animum Ne. VI 64 (56): τὸ δὲ πὰρ ποδὶ ναὸς ἑλισσόμενον αἰεὶ κυμάτων λέγεται παντὶ μάλιστα δονεῖν θυμόν. Py. VI 36: Μεσσανίου δὲ γέροντος δονηθεῖσα φρὴν βόασε παῖδα ὅν (Tricl. δοναθεῖσα): ταραχθεῖσα. Schol. Py. IV 219: ποθεινὰ δ' Ἑλλὰς αὐτὰν (Medeam) ἐν φρασὶ καιομέναν δονέοι μάστιγι Πειθοῦς: διακινοίη καὶ παρασκευάσαι συναπᾶραι τοῖς Ἀργοναύταις. Schol.

δόξα (δόξα, -ας, -ᾳ, -αν) *opinio* 1) quam quis habet de aliis Py. I 36: ὁ δὲ λόγος ταύταις ἐπὶ συντυχίαις δόξαν φέρει λοιπὸν ἔσσεσθαι στεφάνοισί νιν ἵπποις τε κλυτάν: exspectationem, spem. Ol. VI 82: δόξαν ἔχω τιν' ἐπὶ γλώσσᾳ ἀκόνας λιγυρᾶς: speciem v. sensum; „h. e. δοκεῖ μοι εἶναι ἐπὶ γλώσσῃ ἀκόνη λιγυρά“ Boeckh.; Bergkio pro τιν' c. var. τὶν scribendum videtur: „putas mihi acutam cotem in lingua esse“. Ne. XI 24: ἐμὰν δόξαν: mea sententia; ναὶ μὰ e prioribus supplet Mezger. — 2) quam alii habent de nobis eamque bonam, itaque: fama, existimatio, gloria praeclarae virtutis Ne. IX 34: αἰδὼς γὰρ ὑπὸ κρύφα κέρδει κλέπτεται, ἃ φέρει δόξαν. Py. I 92: ὀπιθόμβροτον αὔχημα δόξας οἶον ἀποιχομένων ἀνδρῶν δίαιταν μανύει καὶ λογίοις καὶ ἀοιδοῖς. Is. I 68: ψυχὰν Ἀίδᾳ τελέων οὐ φράζεται δόξας ἄνευθεν. V (VI) 12: σύν τέ οἱ δαίμων φυτεύει δόξαν ἐπήρατον: h. e. victorias. Is. III 29 (IV 11): ἐπ' ἀνθρώπους ἄηται μαρτύρια φθιμένων ζωῶν τε φωτῶν ἀπλέτου δόξας. III 16: ἴστε μὰν Κλεωνύμου δόξαν παλαιὰν ἅρμασιν: iunge δόξαν ἅρμασιν. Py. XI 45: τῶν εὐφροσύνα τε καὶ δόξ' ἐπιφλέγει. IX 105: ἐμὲ δ' ὦν τις — πράσσει χρέος αὖτις ἐγεῖραι καὶ τεῶν δόξαν παλαιῶν προγόνων (Boeckh. e coni. καὶ πα-

λαιὰ δόξα τεῶν προγόνων). IX 75: πάτρᾳ δόξαν ἱμερτὰν ἀγαγόντ' ἀπὸ Δελφῶν. Ol. VIII 64: ἐξ ἱερῶν ἀέθλων μέλλοντα ποθεινοτάταν δόξαν φέρειν. Py. II 64: ὅθεν φαμὶ καὶ σὲ τὰν ἀπείρονα δόξαν εὑρεῖν. fr. 227 (250): νέων δὲ μέριμναι σὺν πόνοις εἱλισσόμεναι δόξαν εὑρίσκοντι. Py. VIII 25: τελέαν δ' ἔχει δόξαν ἀπ' ἀρχᾶς. Ne. XI 9: ἀλλὰ σὺν δόξᾳ τέλος δυωδεκάμηνον περᾶσαι σὺν ἀτρώτῳ κραδίᾳ: „gloriose"; itemque Ol. X 63: ἔλαχε στέφανον —, ἀγώνιον ἐν δόξᾳ θέμενος εὖχος ἔργῳ καθελών (var. ἐν δόξαν, ἐνδόξαν, ἐνδόξα, ἔνδοξα): ἀντὶ τοῦ ἔνδοξον νομίσας τὸ νικῆσαι. Schol.

δορίκτῠπος *lanceis fremens* Ne. III 60: ὑπὸ Τρωΐαν δορίκτυπον. VII 10: πόλιν — οἰκεῖ δορικτύπων Αἰακιδᾶν.

δόρπον *coena vespertina* Ol. X 47: περὶ δὲ πάξαις Ἄλτιν μὲν ὅγ' ἐν καθαρῷ διέκρινε, τὸ δὲ κύκλῳ πέδον ἔθηκε δόρπου λύσιν: „h. e. campum destinavit ad vespertinae comissationis requiem post ludos; fuerunt enim ibi populorum privatorumque hominum σκηναί et ἑστιατόρια, hospitia et tabernacula, in quibus habitarent advenae et epularentur" Dissen.

δόρυ (sg. δούρατος, δουρί, δορί, δόρυ) *trabs* 1) navis Py. IV 27: ἐξ Ὠκεανοῦ φέρομεν νώτων ὕπερ γαίας ἐρήμων εἰνάλιον δόρυ. IV 38: αὐτὰν (glebam) κατακλυσθεῖσαν ἐκ δούρατος ἐναλίαν βᾶμεν σὺν ἅλμᾳ. — 2) hasta, lancea Ol. VI 17: ἀμφότερον μάντιν τ' ἀγαθὸν καὶ δουρὶ μάρνασθαι. Ne. IX 26: δουρὶ Περικλυμένου πρὶν νῶτα τυπέντα μαχατὰν θυμὸν αἰσχυνθήμεν. Is. IV (V) 42: τίς ἄρ' ἐσλὸν Τήλεφον τρῶσεν ἑῷ δορί; VII 53 (VIII 57): Τρωΐας ἶνας ἐκταμὼν δορί.

Δόρῡκλος *Doryclus* Tirynthius Ol. X 67: Δόρυκλος δ' ἔφερε πυγμᾶς τέλος, Τίρυνθα ναίων πόλιν.

δόσις (sg. δόσις, -ιν) *donum* Is. I 45: κοῦφα δόσις ἀνδρὶ σοφῷ ἀντὶ μόχθων παντοδαπῶν ἔπος εἰπόντ' ἀγαθὸν ξυνὸν ὀρθῶσαι καλόν: τῷ σοφῷ ἀνδρὶ ῥᾳδία, φησί, καὶ ἀνεπαχθής ἐστιν ἡ τῶν λόγων δόσις. Schol. c. genit. materiae Py. I 46: εἰ γὰρ ὁ πᾶς χρόνος ὄλβον μὲν οὕτω καὶ κτεάνων δόσιν εὐθύνοι. originis Ol. VII 7: νέκταρ χυτόν, Μοισᾶν δόσιν, ἀεθλοφόροις ἀνδράσιν πέμπων: h. e. carmen. Py. VIII 65: οἴκοι δὲ πρόσθεν ἁρπαλέαν δόσιν πενταεθλίου σὺν ἑορταῖς ὑμαῖς ἐπάγαγες: h. e. victoriam. Ol. X 56: τὰν πολέμοιο δόσιν ἀκρόθινα διελὼν ἔθυε. c. gen. partitivo Py. X 20: τῶν δ' ἐν Ἑλλάδι τερπνῶν λαχόντες οὐκ ὀλίγαν δόσιν: portionem.

δότειρα *quae dat, effectrix* fr. 109 (228), 5: στάσιν ἀπὸ πραπίδος ἐπίκοτον ἀνελών, πενίας δότειραν, ἐχθρὰν κουροτρόφον.

δούλειος *servilis* fr. 223 (244): καὶ φέρονταί πως ὑπὸ δούλειον τύχαν αἰχμάλωτοι.

δουλία *servitus* Py. I 75: Ἑλλάδ' ἐξέλκων βαρείας δουλίας (Mosch., vett. δουλείας, quod rec. Christ.).

δουλοσύνα *servitus* Py. XII 15: λυγρόν τ' ἔρανον Πολυδέκτᾳ θῆκε ματρός τ' ἔμπεδον δουλοσύναν τό τ' ἀναγκαῖον λέχος.

δρᾰ́κων (sg. δράκοντος, -α. pl. δράκοντες, -ων, -ας. brevis vocalis antecedens producitur nusquam) *draco, serpens* Ne. I 40: θεῶν βασίλεα σπερχθεῖσα θυμῷ πέμπε δράκοντας ἄφαρ: sc. adversus Herculem infantem. Py. X 47: ἔπεφνεν τε Γοργόνα (Περσεύς), καὶ ποικίλον κάρα δρακόντων φόβαισιν ἤλυθε νασιώταις λίθινον θάνατον φέρων. IV 244: κεῖτο γὰρ λόχμᾳ (vellus arietis a Phrixo mactati), δράκοντος δ' εἴχετο λαβροτατᾶν γενύων, ὃς πάχει μάκει τε πεντηκόντορον ναῦν κράτει. Ol. VIII 37: γλαυκοὶ δὲ δράκοντες, ἐπεὶ κτίσθη νέον (Troia), πύργον ἐσαλλόμενοι τρεῖς, οἱ δύο μὲν κάπετον, αὖθι δ' ἀτυζομένω ψυχὰς βάλον, εἷς δ' ἀνόρουσε βοάσαις: est prodigium; „tres dracones sunt propter tres conditores muri, qui tribus nunc locis tentatur. Ac duae quidem partes divinae sunt, quare hinc decidunt bestiae; tertia pars ab Aeaco facta ascenditur, ac per hanc Troia bis capietur" Dissen. Ol. VI 46: δύο δὲ γλαυκῶπες αὐτὸν (Iamum) δαιμόνων βουλαῖσιν ἐθρέψαντο δράκοντες ἀμεμφεῖ ἰῷ μελισσᾶν, καδόμενοι: „dracones puerum nutrire omen est de futura vaticinandi dote. Terrigenae enim dracones sunt; et Tellus mater ex profunda alvo mittere vaticinia olim visa est; unde Tellus ante Themidem Delphici oraculi praeses" Boeckh.

Py. VIII 46: *θαέομαι σαφὲς δράκοντα ποικίλον αἰθᾶς Ἀλκμᾶν' ἐπ' ἀσπίδος νωμῶντα*: h. e. clipeum dracone insignem, ob Melampodis, unde descendit, dracones. *καθὸ ἦν ἀπὸ Μελάμποδος. ἱστοροῦσι δὲ δύο δράκοντας διαλεῖξαι τὰς ἀκοὰς τοῦ Μελάμποδος καὶ διατρῆσαι· διὸ καὶ δοκεῖ αἰσθάνεσθαι τῆς τῶν ἀλόγων ζώων φωνῆς.* Schol. monet autem Welckerus etiam alios heroes, ut Achillem Aiacem, in vasculis conspici draconem in clipeo gerentes eam solam ob causam, quod bellicosa sit bestia.

δρᾱπέτας *fugitivus* fr. 134 (99): *εὐδαιμόνων δραπέτας οὐκ ἔστιν ὄλβος.*

δρᾱ́στας *servus operarius*, met. Py. IV 287: *εὖ νιν ἔγνωκεν* (Damophilus *καιρόν*)· *θεράπων δέ οἱ, οὐ δράστας ὀπαδεῖ* (sc. *ὁ καιρός*): h. e. „non semper ei obsequitur, quare nunc oblato usus Damophilus statim post victoriam tuam te adit precibus“ Mezger.

δρέπω (act. praes. *δρέπειν. δρέπων.* aor. *δραπών.* pass. praes. *δρέπεσθαι*) *carpo, decerpo*, met. fr. 209 (227): *ἀτελῆ σοφίας καρπὸν δρέπειν.* Py. VI 48: *νόῳ δὲ πλοῦτον ἄγει, ἄδικον οὔθ' ὑπέροπλον ἥβαν δρέπων, σοφίαν δ' ἐν μυχοῖσι Πιερίδων* (Bergk. *πλοῦτον, ἄγων . . . ἥβαν, δρέπει*). I 49: *τιμάν, οἵαν οὔτις Ἑλλάνων δρέπει.* IV 130: *πᾶσαν εὐφροσύναν τάνυεν, ἀθρόαις πέντε δραπὼν* (var. *δρέπων*) *νύκτεσσίν ἔν θ' ἁμέραις ἱερὸν εὔζωᾶς ἄωτον.* — Med. Ne. II 9: *Ἰσθμιάδων δρέπεσθαι κάλλιστον ἄωτον ἐν Πυθίοισί τε νικᾶν.* c. gen. fr. 123 (88), 1: *κατὰ καιρὸν ἐρώτων δρέπεσθαι.*

δρόμος (sg. *δρόμου, -ῳ, -ον.* pl. *δρόμων, -οις, -οισι.* brevis vocalis antecedens producitur Ne. X 48) 1) *cursus* a) hominum in ludis certantium Ol. XIII 30: *πενταέθλῳ ἅμα σταδίου νικῶν δρόμον.* Py. IX 121: *Ἀλεξίδαμος, ἐπεὶ φύγε λαιψηρὸν δρόμον, παρθένον — ἄγεν.* Ol. IV 20 (24): *χαλκέοισι δ' ἐν ἔντεσι νικῶν δρόμον.* Is. I 23: *λάμπει δὲ σαφὴς ἀρετὰ ἔν τε γυμνοῖσι σταδίοις ἔν τ' ἀσπιδοδούποισιν ὁπλίταις δρόμοις.* — b) equorum et curruum Ol. VI 75: *οἷς ποτε πρώτοις περὶ δωδέκατον δρόμον ἐλαυνόντεσσιν αἰδοία ποτιστάξῃ Χάρις εὐκλέα μορφάν.* Py. V 33: *ἀκηράτοις ἁνίαις ποδαρκέων δώδεκ' ἂν δρόμων τέμενος* (Boeckh. et Thiersch., libri *ποδαρκέων δωδεκάδρομον* v. *δυωδεκαδρόμων* v. *δώδεκα* (*δυώδεκα*) *δρόμων*, Bergk. *ποδαρκέων δυωδεκάδρομον*). — 2) *curriculum* Ol. III 33: *δωδεκάγναμπτον περὶ τέρμα δρόμου.* I 21: *παρ' Ἀλφεῷ σύτο δέμας ἀκέντητον ἐν δρόμοισι παρέχων.* Py. I 32: *Πυθιάδος δ' ἐν δρόμῳ.* Ol. I 97 (94): *τὸ δὲ κλέος τηλόθεν δέδορκε τᾶν Ὀλυμπιάδων ἐν δρόμοις Πέλοπος, ἵνα ταχυτὰς ποδῶν ἐρίζεται ἀκμαί τ' ἰσχύος θρασύπονοι.* Is. I 57: *ἐν γναμπτοῖς δρ'μοις.* Ne. X 48: *ὄντε* (*χαλκὸν*) — *Ἀχαιῶν ὑψίβατοι πόλιες καὶ Λύκαιον πὰρ Διὸς θῆκε δρόμῳ, σὺν ποδῶν χειρῶν τε νικᾶσαι σθένει*: „ad stadium et hippodromum Iovis Lycaei, cui sacra illa certamina“ Boeckh. — met. Is. IV (V) 60: *αἰνέω καὶ Πυθέαν ἐν γυιοδάμαις Φυλακίδᾳ πλαγᾶν δρόμον εὐθυπορῆσαι χερσί*: „cursus plagarum (die Laufbahn der Schläge) est certamen pancratiasticum“ Dissen.

δρόσος *ros*, met. Ol. VII 2: *φιάλαν — ἔνδον ἀμπέλου καχλάζοισαν δρόσῳ*: vino. Py. V 99: *μεγάλαν δ' ἀρετὰν δρόσῳ μαλθακᾷ ῥανθεῖσαν ὕμνων ὑπὸ χεύμασιν ἀκούοντί ποι χθονίᾳ φρενί.* Is. V (VI) 64: *τὰν Ψαλυχιαδᾶν δὲ πάτραν Χαρίτων ἄρδοντι καλλίστᾳ δρόσῳ*: h. e. hymnis epiniciis.

δρῦς *quercus* Ne. X 61: *ἴδεν Λυγκεὺς δρυὸς ἐν στελέχει ἥμενον.* Py. IV 264: *εἰ γάρ τις ὄζους ὀξυτόμῳ πελέκει ἐξερείψῃ μὲν μεγάλας δρυός, αἰσχύνῃ δέ οἱ θαητὸν εἶδος, καὶ φθινόκαρπος ἐοῖσα διδοῖ ψᾶφον περ' αὐτᾶς κτλ.*: aenigma proponitur, quo significetur Damophilus bonis honoribusque spoliatus.

δυθμά *occasus* solis Is. III 83 (IV 65): *τοῖσιν ἐν δυθμαῖσιν αὐγᾶν φλὸξ ἀνατελλομένα συνεχὲς παννυχίζει* (var. *δυσμαῖσιν*): *ἔθος πρὸς δυσμὰς ἱερουργεῖν τοῖς ἥρωσι, κατὰ τὰς ἀνατολὰς τοῖς θεοῖς.* Schol.

δύναμαι (praes. *δύνασαι, -ανται. δύναιντο. δύνασθαι. δυνάμενος.* aor. *ἐδυνάσθη*) *valeo, possum*, c. infin. Ol. I 57 (56): *ἀλλὰ γὰρ καταπέψαι μέγαν ὄλβον οὐκ ἐδυνάσθη.* Ol. II 19 (17). Py. III 82. sine negat. Ol. II 110 (100): *τίς ἂν φράσαι δύναιτο;* fr. 2: *ὁ δ' ἐθέλων τε καὶ δυνάμενος ἁβρὰ πάσχειν.* Py. IV 158. Ne. VIII 5. in sententia parenthetica Ne. VII 96: *ὦ μάκαρ,*

τὶν δ' ἐπέοικεν Ἥρας πόσιν τε πειθέμεν κόραν τε γλαυκώπιδα — δύνασαι δὲ — βροτοῖσιν ἀλκὰν ἀμαχανιᾶν δυσβάτων θαμὰ διδόμεν (Bergk., libri γλαυκώπιδα· δύνασαι δὲ βροτοῖσιν κτλ.).

δύναμις (sg. δύναμις, -ιν) 1) *vis* a) corporis Ne. I 57: εἶδε γὰρ ἐκνόμιον λῆμά τε καὶ δύναμιν υἱοῦ (Herculis). — b) ingenii Ol. IX 82: τόλμα δὲ καὶ ἀμφιλαφὴς δύναμις ἕσποιτο: sc. mihi, poetae. — 2) *potentia* Ne. VI 3: ἓν ἀνδρῶν, ἓν θεῶν γένος· ἐκ μιᾶς δὲ πνέομεν ματρὸς ἀμφότεροι· διείργει δὲ πᾶσα κεκριμένα δύναμις, ὡς τὸ μὲν οὐδέν, ὁ δὲ χάλκεος ἀσφαλὲς αἰὲν ἕδος μένει οὐρανός. Ol. XIII 83: τελεῖ θεῶν δύναμις καὶ τὰν παρ' ὅρκον καὶ παρὰ ἐλπίδα κούφαν κτίσιν. regum: Hieronis Py. II 20: Λοκρὶς παρθένος — διὰ τεὰν δύναμιν δρακεῖσ' ἀσφαλές. Ol. I 107 (104): πέποιθα δὲ ξένον μή τιν' ἀμφότερα καλῶν τε ἴδριν ἅμμε καὶ δύναμιν κυριώτερον τῶν γε νῦν κλυταῖσι δαιδαλωσέμεν ὕμνων πτυχαῖς. Arcesilai Py. V 13: σοφοὶ δέ τοι κάλλιον φέροντι καὶ τὰν θεόσδοτον δύναμιν.

δύνᾰσις 1) *vis, robur* Py. IV 238: ἴυξεν δ' ἀφωνήτῳ περ ἔμπας ἄχει δύνασιν (Iasonis) Αἰήτας ἀγασθείς (var. δύναμιν). IX 30: θυμὸν γυναικὸς καὶ μεγάλαν δύνασιν θαύμασον. — 2) *potentia* Py. V 117: θεὸς δέ οἱ (Arcesilao) τὸ νῦν τε πρόφρων τελεῖ δύνασιν (var. δύναμιν) καὶ τὸ λοιπὸν κτλ.

δυνατος (sg. m. f. δυνατός. n. δυνατόν, -ῷ. pl. m. δυνατοί. n. δυνατά) *potens, valens, possibilis* Py. XI 51: θεόθεν ἐραίμαν καλῶν, δυνατὰ μαιόμενος ἐν ἁλικίᾳ: possibilia. Py. IV 92: ὄφρα τις τᾶν ἐν δυνατῷ φιλοτάτων ἐπιψαύειν ἔραται: licitos amores. Ne. IX 28: εἰ δυνατόν: si fieri potest. c. infin. (et dat.) Ne. X 45: χαλκὸν μυρίον οὐ δυνατὸν ἐξελέγχειν. VIII 45: ὦ Μέγα, τὸ δ' αὖτις τεὰν ψυχὰν κομίξαι οὔ μοι δυνατόν. fr. 142 (106): θεῷ δὲ δυνατὸν ἐκ μελαίνας νυκτὸς ἀμίαντον ὄρσαι φάος. ad subiectum refertur Ne. IX 39: παῦροι δὲ βουλεῦσαι φόνου παρποδίου νεφέλαν τρέψαι ποτὶ δυσμενέων ἀνδρῶν στίχας χερσὶ καὶ ψυχᾷ δυνατοί. VI 38 (33): Πιερίδων ἀρόταις δυνατοὶ παρέχειν πολὺν ὕμνον. Ol. X 9: ὅμως δὲ λῦσαι δυνατὸς ὀξεῖαν ἔτι μομφάν γε τόκος ἀνδρῶν. Ne. II 14: καὶ μὰν ἁ Σαλαμίς γε θρέψαι φῶτα μαχατὰν δυνατός.

δύο (nom. m. f. et acc. n. δύ(ο), gen. m. δυοῖν) *duo, bini*, ubique c. plurali Ol. VI 45: δύο δὲ γλαυκῶπες αὐτὸν — ἐθρέψαντο δράκοντες. Ne. VIII 48: ἕκατι ποδῶν εὐωνύμων δὶς δὴ δυοῖν. Ol. VI 101. IX 86. XIII 32. Py. VII 16 (14). Ne. VI 69 (61). c. artic. Py. II 30: αἱ δύο δ' ἀμπλακίαι φερέπονοι τελέθοντι. Ol. VIII 38: δράκοντες — οἱ δύο μὲν κάπετον, — εἷς δ' ἀνόρουσε βοάσαις. sine subst. Is. IV (V) 12: δύο δέ τοι ζωᾶς ἄωτον μοῦνα ποιμαίνοντι τὸν ἄλπνιστον εὐανθεῖ σὺν ὄλβῳ.

δύσβᾰτος *ubi procedi vix potest, inextricabilis* Ne. VII 97: βροτοῖσιν ἀλκὰν ἀμαχανιᾶν δυσβάτων θαμὰ διδόμεν.

δύσηρις *rixosus* Ol. VI 19: οὔτε δύσηρις ἐὼν οὔτ' ὦν φιλόνεικος ἄγαν (Boeckh. e Mosc. A rec. pro vulg. δύσερις).

δύσθροος *male sonans* Py. IV 63: δυσθρόου φωνᾶς ἀνακρινόμενον ποινὰ τίς ἔσται πρὸς θεῶν: τῆς κακοφώνου καὶ τραχείας φωνῆς (sc. Batti). Schol.

δυσμενής *infensus, hostilis* Ne. IX 38: φόνου παρποδίου νεφέλαν τρέψαι ποτὶ δυσμενέων ἀνδρῶν στίχας. pro subst. Py. VIII 10: τραχεῖα δυσμενέων ὑπαντιάξαισα κράτει τιθεῖς ὕβριν ἐν ἄντλῳ.

δυσπᾰλής *difficilis ad obluctandum*, met. Py. IV 273: ἀλλ' ἐπὶ χώρας αὖτις ἕσσαι (πόλιν) δυσπαλὲς δὴ γίνεται. Ol. VIII 25: ὀρθᾷ διακρῖναι φρενὶ μὴ παρὰ καιρόν, δυσπαλές.

δυσπενθής *luctuosus* Py. XII 10: τὸν (θρῆνον)—ἄιε λειβόμενον δυσπενθέι σὺν καμάτῳ (vett. δυσπενθεῖ). XI 18: ἐκ δόλου τροφὸς ἄνελε δυσπενθέος (Ὀρέσταν).

δύστᾰνος *miser* Py. IV 268: μόχθον ἄλλοις ἀμφέπῃ δύστανον ἐν τείχεσιν: „das Dach zu tragen" Mezger. „δύστανον μόχθον bene dixit eorum qui inviti migrant in peregrinam terram et domino barbaro se subiiciunt" Dissen.

δύσφᾱμος *mali rumoris, inhonestus* Ne. VIII 37: θανὼν ὡς παισὶ κλέος μὴ τὸ δύσφαμον προσάψω.

δύσφορος *difficilis portatu, gravis*, met. Ne. I 55: ἔστα δὲ θάμβει δυσφόρῳ τερπνῷ τε μιχθείς. fr. 248 (124): ἀντιταττόμενον τῷ Λυσίῳ θεῷ,

λύοντι τὸ τῶν δυσφόρων σχοινίον μεριμνῶν κατὰ Πίνδαρον (Plut. de adul. et amic. c. 27).

δυσφρόνα *aerumna* Ol. II 57 (52): *τὸ δὲ τυχεῖν πειρώμενον ἀγωνίας παραλύει δυσφρονᾶν* (G. Dindorf., libri *δυσφροσύναν παραλύει*, schol. *ἀφροσύναν* v. *ἀφροσύνας παραλύει*, Byzantini *παραλύει δυσφρόνων*): *ἤτοι τῶν πρὶν προσόντων αὐτῷ ἀλγεινῶν ἢ δυστυχιῶν.* Schol.

δυώδεκα, δώδεκα *duodecim* fr. 171 (157): *τέκν' ἔπεφνεν θάλλοντας ἥβα δυώδεκ', αὐτὸν δὲ τρίτον.* Ne. IV 28: *οὐ τετραορίας γε πρὶν δυώδεκα πέτρῳ — ἕλεν.* Ol. X 49: *μετὰ δώδεκ' ἀνάκτων θεῶν.* Py. IV 25: *δώδεκα — ἁμέρας.* V 33: *ἀκηράτοις ἁνίαις ποταρκέων δώδεκ' ἂν δρόμων τέμενος*: v. *δρόμος.*

δυωδεκάδρομος *duodecies curriculum emensus* circa metam Ol. II 55 (50): *ἄνθεα τεθρίππων δυωδεκαδρόμων.* (de. Py. V 33 v. *δρόμος.*)

δυωδεκάμηνος *per duodecim menses durans* Ne. XI 10: *ἀλλὰ σὺν δόξᾳ τέλος δυωδεκάμηνον περᾶσαι.*

δώδεκα v. **δυώδεκα.**

δωδεκάγναμπτος *circa quod duodecies circumflectitur* Ol. III 33: *τῶν νιν γλυκὺς ἵμερος ἔσχεν δωδεκάγναμπτον περὶ τέρμα δρόμου ἵππων φυτεῦσαι: δώδεκα γὰρ ἐν Ὀλυμπίᾳ τρέχει τὸ τέλειον ἅρμα, τὸ δὲ πωλικὸν ὀκτώ.* Schol.

δωδέκατος *duodecimus* Ol. VI 75: *οἷς ποτε πρώτοις περὶ δωδέκατον δρόμον ἐλαυνόντεσσιν αἰδοία ποτιστάξῃ Χάρις εὐκλέα μορφάν.*

Δωδώναθεν *a Dodona* Ne. IV 53: *βουβόται τόθι πρῶνες ἔξοχοι κατάκειται Δωδώναθεν ἀρχόμενοι πρὸς Ἰόνιον κόλπον.*

Δωδωναῖος *Dodonaeus* fr. 57 (29): *Δωδωναῖε μεγάσθενες, ἀριστότεχνα πάτερ*: Iuppiter.

δῶμα (sg. *δώματι*, *δῶμ(α)*. pl. *δωμάτων*, *-ασι(ν)*, *-ατ'*) *domus* et hominum et deorum Ne. IX 3: *κωμάσομεν — ὄλβιον ἐς Χρομίου δῶμ'.* Py. V 96: *ἄτερθε δὲ πρὸ δωμάτων ἕτεροι λαχόντες αἴδαν βασιλέες ἱεροὶ ἐντί*: ante regias aedes ex utraque parte viae. Py. X 32: *παρ' οἷς ποτε Περσεὺς ἐδαίσατο λαγέτας δώματ' ἐσελθών*, ubi de significatione ambigitur; Boeckhius enim templum Apollinis intellegit, domos Hyperboreorum c. schol. Dissenius. plur. pro sing. Py. IV 113: *κᾶδος ὡσείτε φθιμένου δνοφερὸν ἐν δώμασι θηκάμενοι* (var. *δώματι*). IX 56: *Λιβύα δέξεται εὐκλέα νύμφαν δώμασιν ἐν χρυσέοις πρόφρων.* — Py. IV 53: *τὸν μὲν πολυχρύσῳ ποτ' ἐν δώματι Φοῖβος ἀμνάσει θέμισσιν*: in aede. Ol. I 43 (42): *χρυσέαισιν ἀν' ἵπποις ὕπατον εὐρυτίμου ποτὶ δῶμα Διὸς μεταβᾶσαι.* Is. VII 55 (VIII 59): *οἷς δῶμα Φερσεφόνας μανύων Ἀχιλεύς*: h. e. occidens. Ne. I 71: *ἁσυχίαν καμάτων μεγάλων ποινὰν λαχόντ' ἐξαίρετον ὀλβίοις ἐν δώμασι* (sc. Herculem). — met. Ne. X 2: *Ἄργος Ἥρας δῶμα θεοπρεπὲς ὑμνεῖτε*: domicilium.

δωρέω, δωρέομαι *dono* Ol. VI 78: *μάτρωες ἄνδρες — ἐδώρησαν θεῶν κάρυκα λιταῖς θυσίαις.* Py. IX 57: *ἵνα οἱ χθονὸς αἶσαν αὐτίκα συντελέθειν ἔννομον δωρήσεται.* Ol. VII 3: *φιάλαν ὡς εἴ τις — ἔνδον ἀμπέλου καχλάζοισαν δρόσῳ δωρήσεται νεανίᾳ γαμβρῷ προπίνων*, ubi Boeckhius coniunctivum esse pro *δωρήσηται* censet, futurum Dissenius, cui nunc fere omnes assentiuntur.

Δωριεύς *Doriensis, Doricus* Py. VIII 20: *ἐστεφανωμένον υἱὸν ποίᾳ Παρνασίδι Δωριεῖ τε κώμῳ*: „pompa a Doricis (s. Doriensibus) viris Aeginetis ducta et carmen ab illis cantatum; praeterea Doricum nomen apud Pindarum ceteris omnibus est illustrius" Boeckh. et Dissen. Ol. VIII 30: *Δωριεῖ λαῷ ταμιευομέναν ἐξ Αἰακοῦ* (Aeginam): „Dorienses constat Achaeos heroes passim pro suis adscivisse. Atque Aeginam quidem olim occupaverant Hellenes Myrmidones, Hellenii Iovis conditores; et quamquam Aeacidae discesserant iterum, Aeacus tamen cum parte Myrmidonum remanserat ex Aeginetarum traditione et sepultus habebatur in Aeaceo" Dissen. fr. 1 (4), 4: *Ὕλλου τε καὶ Αἰγιμιοῦ Δωριεὺς ἐλθὼν στρατὸς ἐκτίσσατο* (sc. Aeginam). — subst. **Δωριεῖς** *Dores* Py. I 65: *θέλοντι δὲ Παμφύλου καὶ μὰν Ἡρακλειδᾶν ἔκγονοι ὄχθαις ὕπο Ταϋγέτου ναίοντες αἰεὶ μένειν τεθμοῖσιν ἐν Αἰγιμιοῦ Δωριεῖς* (var. *Δωριῆς*, Herm. et Boeckh. *Δωρίοις*).

Δώριος (sg. f. *Δωρίαν*. n. *Δωρίῳ*. pl. n. *Δωρίων*) *Doricus, Dorius* Ne.

V 37: *Ποσειδάωνα πείσαις, ὃς Αἰγᾶθεν ποτὶ κλειτὰν θαμὰ νίσσεται Ἰσθμὸν Δωρίαν.* Is. VII 64 (VIII 69): *γεραίρετέ νιν, ὃς Ἴσθμιον ἂν νάπος Δωρίων ἔλαχεν σελίνων.* cf. Is. II 15. Ol. I 18: *ἀλλὰ Δωρίαν ἀπὸ φόρμιγγα πασσάλου λάμβανε*: „cuius tensio Dorium modum habebat, cf. Boeckh. de Metr. Pind. p. 256, ac significat poeta simul illustrissimam se eligere harmoniam, quum Doricum nomen ceteris illustrius sit" Dissen. Ol. III 5: *Δωρίῳ φωνὰν ἐναρμόξαι πεδίλῳ.* fr. 191 (201): *Αἰολεὺς ἔβαινε Δωρίαν κέλευθον ὕμνων.* fr. 67 (40): *περὶ δὲ τῆς Δωριστὶ ἁρμονίας εἴρηται ἐν Παιᾶσιν, ὅτι Δώριον μέλος σεμνότατόν ἐστιν* (Schol. Pind. Ol. I 26).

Δωρίς *Dorica* Ne. III 3: *ἵκεο Δωρίδα νᾶσον Αἴγιναν.* Is. VI (VII) 12: *Δωρίδ' ἀποικίαν οὕνεκεν ὀρθῷ ἔστασας ἐπὶ σφυρῷ Λακεδαιμονίων*: h. e. Peloponnesum.

δῶρον (pl. *δῶρα, -ων, -(α)*) *donum* hominum deis datum fr. 119 (81), 3: *πλεῖστα μὲν δῶρ' ἀθανάτοις ἀνέχοντες.* Ol. V 3: *ὑψηλᾶν ἀρετᾶν καὶ στεφάνων ἄωτον — ἀκαμαντόποδός τ' ἀπήνας δέκευ Ψαύμιός τε δῶρα*: „*σχῆμα καθ' ὅλον καὶ μέρος*" Mezger. — deorum Ne. IV 68: *οὐρανοῦ βασιλῆες — δῶρα καὶ κράτος ἐξέφαναν ἐγγενὲς αὐτῷ.* Ol. I 77 (75): *φίλια δῶρα Κυπρίας*: „gaudia Veneris" Dissen., cf. Ne. VIII 7: *οἷοι καὶ Διὸς Αἰγίνας τε λέκτρον ποιμένες ἀμφεπόλησαν Κυπρίας δώρων.*

δωροφόρος *dona offerens* Py. V 86: *δέκονται θυσίαισιν ἄνδρες οἰχνέοντές σφε δωροφόροι.*

E

ἕ acc. pron. pers. III 1) *eum* Ne. VII 25: *εἰ γὰρ ἦν ἓ τὰν ἀλάθειαν ἰδέμεν* (Boeckh., libri *ἐὰν* v. *ἐὰν*, Bergk. *ἑτὰν*): h. e. *ὅμιλον.* — 2) *eam* Ol. IX 14: *αἰνήσαις ἓ καὶ υἱόν* (Christ. *Ϝέ*): *αὐτὴν τὴν Ὀποῦντα.* Schol.

ἔαρ, ἦρ *ver* fr. 75 (45), 15: *ὁπότ' οἰχθέντος Ὡρᾶν θαλάμου εὔοδμον ἐπάγωσιν ἔαρ* (sc. *ἄνεμοι*). Py. IV 64: *ὥτε φοινικανθέμου ἦρος ἀκμᾷ, παισὶ τούτοις ὄγδοον θάλλει μέρος Ἀρκεσίλας.*

ἐαρίδροπος *vere decerptus* fr. 75 (45), 5: *ἰοδέτων λάχετε στεφάνων τῶν ἐαριδρόπων* (Bergk. e cod. F., vulgo *τῶν ἐαριδρέπτων λοιβάν*, Boeckh. *τᾶν τ' ἐαριδρέπτων λοιβᾶν*).

ἐάω 1) *sino* Ol. VII 61: *μνασθέντι δὲ Ζεὺς ἄμπαλον μέλλεν θέμεν. ἀλλά νιν οὐκ εἴασεν*: sc. *τοῦτο ποιῆσαι ὁ Ἥλιος.* Schol. Ne. VII 75: *ἔα με*: sc. „facere, quod meditor" Dissen. „wohlan denn!" Mezger. — 2) *missum facio* Ol. IX 40: *ἔα πόλεμον μάχαν τε πᾶσαν χωρὶς ἀθανάτων.* fr. 154 (126): *ἐλαφρὰν κυπάρισσον φιλέειν, ἐᾶν δὲ νομὸν Κρήτας περιδαῖον*: „valere iubeto" Boeckh.

ἕβδομος *septimus* Py. IV 10: *ἑβδόμᾳ καὶ σὺν δεκάτᾳ γενεᾷ.*

ἐγγενής *ingenitus* Ne. X 51: *οὐ θαῦμα σφίσιν ἐγγενὲς* (sc. *εἶναι*) *ἔμμεν ἀεθληταῖς ἀγαθοῖσιν.* IV 68: *οὐρανοῦ βασιλῆες — δῶρα καὶ κράτος ἐξέφαναν ἐγγενὲς αὐτῷ* (Rittershusius cum schol., libri *ἐς γενεὰς αὐτῷ*): *διεσήμηναν ἐν τῷ γάμῳ αὐτῷ, ὅτι ἔσται οὕτως ἐγγενές, ὥστε καὶ ἐγγόνοις καταλιπεῖν.* Schol. v. *ἐκφαίνω.*

ἐγγυαλίζω *do in manus*, met. Is. VII 43 (VIII 46): *μηδὲ Νηρέος θυγάτηρ νεικέων πέταλα δὶς ἐγγυαλιζέτω ἄμμιν.*

ἐγγυάομαι *spondeo* Ol. XI 16: *ἐγγυάσομαι ὔμμιν, ὦ Μοῖσαι, φυγόξενον στρατὸν μηδ' ἀπείρατον καλῶν — ἀφίξεσθαι*: *βεβαιώσομαι.* Schol.

ἐγγύς *prope* Ne. VII 64: *ἐὼν δ' ἐγγὺς Ἀχαιὸς οὐ μέμψεταί μ' ἀνὴρ Ἰονίας ὑπὲρ ἁλὸς οἰκέων*: „si adsit" Dissen.; *παρών.* Schol. c. gen. Ol. I 73 (71): *ἐγγὺς ἐλθὼν πολιᾶς ἁλὸς οἶος ἐν ὄρφνᾳ ἄπυεν βαρύκτυπον Εὐτρίαιναν.* — pro *ἐγγύθεν* dici videtur Py. IV 125: *ἐγγὺς μὲν Φέρης* (*ἦλυθε*) *κράναν Ὑπερῇδα λιπών, ἐκ δὲ Μεσσάνας Ἀμυθάν*: „ex vicinia" Boeckh.; *ἐγγὺς ἀντὶ τοῦ ἐγγύθεν, ἐκ τοῦ σύνεγγυς τόπου, τῶν Φερῶν πλησίον κειμένων τοῦ Ἰωλκοῦ.* Schol.

ἐγείρω *excito* 1) trans., met. Ne. X 21: *ἀλλ' ὅμως εὔχορδον ἔγειρε λύραν.* Ol. IX 47: *ἔγειρ' ἐπέων σφιν οἶμον λιγύν.* Py. X 104: *ἐμὲ δ' ὦν τις ἀοιδᾶν δίψαν ἀκειόμενον πράσσει χρέος αὖτις ἐγεῖραι καὶ τεῶν δόξαν παλαιῶν προγόνων* (Boeckh. *καὶ παλαιὰ δόξα τεῶν προγόνων*). — 2) intr.

fr. 289 (234): *Πίνδαρος εἶπε τὰς ἐλπίδας εἶναι ἐγρηγορότων ἐνύπνια* (Stob. Flor. CXI 12): vigilantium.

ἐγκαθίζω *insideo* Py. IV 153: *θρόνος, ᾧ ποτε Κρηθεΐδας ἐγκαθίζων ἱππόταις εὔθυνε λαοῖς δίκας.*

ἐγκαταβαίνω *ingredior* Ne. I 38: *κροκωτὸν σπάργανον ἐγκατέβα (παῖς Διός).*

ἐγκίρναμι *misceo* Ne. IX 50: *ἐγκιρνάτω τίς νιν* (craterem), *γλυκὺν κώμου προφάταν.*

ἐγκονητί *non sine pulvere, magno cum labore* Ne. III 36: *ποντίαν Θέτιν κατέμαρψεν ἐγκονητί* (Bergk. coni. *ἐγκονιτὶ*): sc. Peleus.

ἐγκύρω *incido, assequor,* c. dat. Py. I 100: *ἀμφοτέροισι δ᾽ ἀνὴρ ὃς ἂν ἐγκύρσῃ καὶ ἕλῃ*: sc. *τῷ εὖ παθεῖν καὶ τῷ εὖ ἀκούειν.* Py. IV 282: *κεῖνος γὰρ ἐν παισὶν νέος, ἐν δὲ βουλαῖς πρέσβυς ἐγκύρσαις ἑκατονταετεῖ βιοτᾷ.*

ἐγκώμιος (sg. m. *ἐγκώμιον.* n. *ἐγκώμιον.* pl. m. *ἐγκωμίων.* n. *ἐγκωμίων*) *comissationi aptus, laudatorius* Ne. I 7: *ἅρμα δ᾽ ὀτρύνει Χρομίου Νεμέα θ᾽ ἔργμασιν νικαφόροις ἐγκώμιον ζεῦξαι μέλος.* Ol. II 52 (47): *πρέπει τὸν Αἰνησιδάμου ἐγκωμίων τε μελέων λυρᾶν τε τυγχανέμεν.* XIII 29: *δέξαι τέ οἱ στεφάνων ἐγκώμιον τεθμόν, τὸν ἄγει πεδίων ἐκ Πίσας.* X 77: *ἀείδετο δὲ πᾶν τέμενος τερπναῖσι θαλίαις τὸν ἐγκώμιον ἀμφὶ τρόπον.* Py. X 53: *ἐγκωμίων γὰρ ἄωτος ὕμνων ἐπ᾽ ἄλλοτ᾽ ἄλλον ὥτε μέλισσα θύνει λόγον.*

ἐγχειβρόμος *hasta fremens, „hastifremus"* Ol. VII 43: *θυσίαν θέμενοι πατρί τε θυμὸν ἰάναιεν κόρᾳ τ᾽ ἐγχειβρόμῳ*: Minervae.

ἐγχεικέραυνος *fulmine hastatus* Ol. XIII 77: *Ζηνὸς ἐγχεικεραύνου παῖς.* Py. IV 194: *ἐγχεικέραυνον Ζῆνα.*

ἐγχεσφόρος *hastam gerens, hastatus* Ne. III 61: *ἐγχεσφόροις ἐπιμίξαις Αἰθιόπεσσι χεῖρας.*

ἔγχος (sg. *ἔγχεος, -ος.* pl. *ἐγχέων*) *hasta* Py. VI 34: *ὁ δ᾽ ἔφεπεν κραταιὸν ἔγχος*: Memnon. Ol. I 78 (76): *πέδασσον ἔγχος Οἰνομάου χάλκεον: δόρυ γὰρ μεταχειριζόμενος ἐπεδίωκε προηγουμένους τοὺς μνηστῆρας καὶ συμποδίσας ἀνῄρει.* Schol. Ne. VI 61 (53): *υἱὸν εὖτ᾽ ἐνάριξεν Ἀόος ἀκμᾷ ἔγχεος ζακότοιο* (Achilles). Py. I 11: *Ἄρης τραχεῖαν ἄνευθε λιπὼν ἐγχέων ἀκμάν.* Ne. IX 29: *πεῖραν μὲν ἀγάνορα Φοινικοστόλων ἐγχέων ταύταν θανάτου πέρι καὶ ζωᾶς ἀναβάλλομαι.* fr. 78 (225): *κλῦθ᾽, Ἀλαλὰ Πολέμου θύγατερ, ἐγχέων προοίμιον.* — venabula dicuntur Py. IX 28: *κίχε νιν λέοντί ποτ᾽ εὐρυφαρέτρας ὀβρίμῳ μούναν παλαίοισαν ἄτερ ἐγχέων ἑκάεργος Ἀπόλλων.*

ἐγχώριος *indigena* Ol. IX 56: *ὑμέτεροι πρόγονοι —, ἐγχώριοι βασιλῆες αἰεί.* V 11: *ἀείδει μὲν ἄλσος ἁγνὸν τὸ τεόν, ποταμόν τε Ὤανιν, ἐγχωρίαν τε λίμναν*: patrium.

ἐγώ(ν) (sg. n. *ἐγών, ἐγώ. ἐμοί, μοι.* [*ἐμίν.*] a. *ἐμέ, με.* — dual. d. *νῷν.* — pl. n. *ἄμμες.* d. *ἄμμι(ν).* a. *ἄμμε*) *ego*, dual. et plur. *nos.* I) Nom. A) sing. **ἐγών** (semel ante vocalem), **ἐγώ** (ante consonas, semel ante vocalem correpta vocali Is. I 14) 1) maiore vi carens additur nonnunquam verbo, ut plenior fiat oratio et de quo sermo sit moneri videamur; Py. III 77: *ἀλλ᾽ ἐπεύξασθαι μὲν ἐγὼν ἐθέλω Ματρί.* Ol. XIII 91: *διασωπάσομαί οἱ μόρον ἐγώ.* Ne. IX 9. fr. 81 (49). 168 (150). — 2) saepius pron. magna quaedam vis tribuitur, plerumque ut aliae personae vel res opponantur; Ol. IV 22 (26): *οὗτος ἐγὼ ταχυτᾶτι.* fr. 150 (118): *μαντεύεο Μοῖσα, προφατεύσω δ᾽ ἐγώ.* Ne. III 76: *χαῖρε, φίλος· ἐγὼ τόδε τοι πέμπω μεμιγμένον μέλι λευκᾷ σὺν γάλακτι.* Ol. VIII 54. Py. I 42. IV 67. 148. Ne. XI 11. augetur etiam vis pron. aliis vocibus additis: *ἀλλ᾽ ἐγώ* Is. I 14. fr. 123 (88), 8. *καὶ ἐγώ* Ol. VII 7. Is. VII 5 (VIII 4). *ἐγὼ δέ* Ol. IX 21. X 97. XIII 49. Ne. I 33. III 11. VII 20. VIII 38. Is. I 32. V (VI) 16. — B) plur. **ἄμμες** de duobus Py. IV 144: *μία βοῦς Κρηθεῖ τε μάτηρ καὶ θρασυμήδεϊ Σαλμωνεῖ· τρίταισιν δ᾽ ἐν γοναῖς ἄμμες* (var. *ἀμὲς*) *αὖ κείνων φυτευθέντες σθένος ἀελίου χρύσεον λεύσσομεν*: Iason et Pelias. — II) Accus. A) sing. **ἐμέ, με (μ᾽)**; 1) plenior forma *ἐμέ* aliis pronominibus vel nominibus opponitur Ol. I 119 (116): *εἴη σέ τε τοῦτον ὑψοῦ χρόνον πατεῖν, ἐμέ τε τοσσάδε νικαφόροις ὁμιλεῖν.* Py. IV 141: *ἐμὲ χρὴ καὶ σὲ θεμισσαμένους ὀργὰς ὑφαίνειν λοιπὸν ὄλβον.* add. partic. *ἐμὲ δέ* Ol. I 79 (77). 103 (100). III 38. XIII 93. Py. II 52. IX 103. *ἀλλ᾽ ἐμέ* Ol. VIII 74. Py. IV 141. Is. VII (VIII) 12: *ἀλλ᾽*

ἔμ' οὐ (Bergk. e coni. pro *ἀλλ' ἐμοὶ*, Boeckh. *ἀλλά μοι*). — 2) enclitica forma *με, μ'* a) sine ullo pondere personam significat; pendet autem a verbo Ol. VIII 55: *μὴ βαλέτω με λίθῳ τραχεῖ φθόνος.* Ne. VII 64: *ἐὼν δ' ἐγγὺς Ἀχαιὸς οὐ μέμψεταί μ' ἀνήρ.* Ol. III 7. Py. IV 103. 111. 151. 157. VII 12. IX 90. X 4. XI 39. Ne. VII 75. Is. V (VI) 47. fr. 151. accedit alter accus. Ol. IV 3: *τεαὶ γὰρ ὧραι — μ' ἔπεμψαν ὑψηλοτάτων μάρτυρ' ἀέθλων.* fr. 198: *οὔτοι με ξένον οὐδ' ἀδαήμονα Μοισᾶν ἐπαίδευσαν κλυταὶ Θῆβαι.* Py. IV 119: *Φὴρ δέ με θεῖος Ἰάσονα κικλήσκων προσηύδα.* Ol. VI 83. infin. Ol. VI 28: *πρὸς Πιτάναν δὲ παρ' Εὐρώτα πόρον δεῖ σάμερον μ' ἐλθεῖν ἐν ὥρᾳ* (Boeckh., Christ. *σάμερον* c. libris vett. et Mosch., *σάμερόν γ'* Triclin.), ubi quum eiusmodi productio admittatur potissimum in caesura, Boeckhii supplementum retinuit Bergk.; v. *γυιαρκής.* Ne. IV 80: *μάτρῳ μ' ἔτι Καλλικλεῖ κελεύεις στάλαν θέμεν.* Ol. III 9. Py. II 96. IV 164. Ne. IV 33. fr. 116 (82). partic. fr. 75 (45), 7: *ἀμοιβὰν Διόθεν τέ με σὺν ἀγλαΐᾳ ἴδετε πορευθέντ' ἐς ἀοιδὰν δεύτερον* (var. *πορευθέντες*). — b) raro maiore quadam vi affecta pro *ἐμέ* videtur esse; fr. 186 (185): *αὐτόν με πρώτιστα συνοικιστῆρα γαίας ἔσδεξαι τεμενοῦχον.* fr. 90 (60), 4: *ἐν ζαθέῳ με δέξαι χορῷ ἀοίδιμον Πιερίδων προφάταν.* fr. 122 (87), 10. — B) plur. ***ἄμμε*** Ol. IX 106: *μία δ' οὐχ ἅπαντας ἄμμε* (var. *ἅμε* v. *ἅμα*) *θρέψει μελέτα.* Ne. VI 7: *καίπερ ἐφαμερίαν οὐκ εἰδότες οὐδὲ μετὰ νύκτας ἄμμε πότμος οἵαν τιν' ἔγραψε δραμεῖν ποτὶ στάθμαν* (Schmid. *ἄμμι*). (de Ol. I 107 (104) v. *ἄλλος.*) — III) Dat. A) sing. ***ἐμοί*** (semel ante vocalem, non correpta ultima, Py. II 65), ***μοι*** (ter ante vocales *μοῖ*, quater in exitu versus, ubi anceps mensura). 1) plenior forma *ἐμοί* cum pondere quodam dicitur aliis plerumque pronominibus vel nominibus opposita Ol. VIII 43: *ὣς ἐμοὶ φάσμα λέγει Κρονίδα πεμφθὲν βαρυγδούπου Διός*: mihi quidem, Apollini, filio Iovis ac vati veraci. Py. II 66. IV 230. Ne. X 84 (ci.). accidunt particulae *μέν, δέ, καί* Ol. I 86 (84): *ἀλλ' ἐμοὶ μὲν οὗτος ἄεθλος ὑποκείσεται· τὺ δὲ πρᾶξιν φίλαν δίδοι.* I 114 (111). Ne. IV 41: *ἐμοὶ δ' ὁποίαν ἀρετὰν ἔδωκε Πότμος ἄναξ, εὖ οἶδ' ὅτι χρόνος ἕρπων πεπρωμέναν τελέσει.* Ol. I 53 (52). Py. X 48. Is. V (VI) 56. fr. 154 (126), 3. Ne. X 77: *καὶ ἐμοὶ θάνατον σὺν τῷδ' ἐπίτειλον, ἄναξ.* — 2) enclitica forma *μοι* a) additur verbo *εἶναι* Ne. X 80: *ἐσσί μοι υἱός.* VIII 35: *εἴη μή ποτέ μοι τοιοῦτον ἦθος.* X 19: *βραχύ μοι στόμα πάντ' ἀναγήσασθ'.* Ol. II 91 (83). Ne. IV 9. VII 50. Is. III 19 (IV 1). V (VI) 20. fr. 213 (232), 4. aliis verbis Py. I 59: *Μοῖσα, καὶ πὰρ Δεινομένει κελαδῆσαι πίθεό μοι ποινὰν τεθρίππων.* III 110: *εἰ δέ μοι πότμον θεὸς ἁβρὸν ὀρέξαι.* Ol. III 4. XIII 98. Py. IV 117. 163. Is. I 3. VI (VII) 37. — b) pendet ab adiectivis Ne. VIII 45: *οὔ μοι δυνατόν.* IV 72. Py. IV 247. — c) est dat. commodi v. ethicus Ne. I 21: *ἔνθα μοι ἁρμόδιον δεῖπνον κεκόσμηται.* Ol. IX 35: *ἀπό μοι λόγον τοῦτον, στόμα, ῥῖψον.* X 1. XIII 11. Py. VIII 32. 58. Ne. V 19. Is. IV (V) 38. 47. VII (VIII) 12. fr. 4 (199)? 157 (128). — [fr. 298: *ἐμὶν τεΐν· χλευάζει τῶν διθυραμβοποιῶν τὸν συνεχῆ — Δωρισμὸν καὶ μάλιστα τὸν Πίνδαρον συνεχῶς λέγοντα ἐν ταῖς αἰτήσεσι τὸ ἐμίν* (Schol. Arist. Av. 930): „Pindarum quod dicit, finxisse videtur" Bergk.] — B) dual. ***νῶν*** Py. IV 147: *οὐ πρέπει νῷν χαλκοτόροις ξίφεσιν οὐδ' ἀκόντεσσιν μεγάλαν προγόνων τιμὰν δάσασθαι* (var. *νῶιν, νῶι, νῶ, νὼ*). — C) plur. ***ἄμμι(ν)*** 1) additur verbis Is. I 52: *ἄμμι δ' ἔοικε Κρόνου σεισίχθον' υἱὸν γείτον' ἀμειβομένοις — κελαδῆσαι.* VI (VII) 49. VII 44 (VIII 47). — apud pass. pro *ὑπό* fr. 42 (171): *ἀλλοτρίοισιν μὴ προφαίνειν, τίς φέρεται μόχθος ἄμμιν* (Boeckh., vulgo *ἅμιν*). — 2) dat. commodi Is. VII 10 (VIII 11): *τὸν ὑπὲρ κεφαλᾶς ἅτε Ταντάλου λίθον παρά τις ἔτρεψεν ἄμμι θεός.* de duobus Py. IV 155: *τὰ μὲν ἄνευ ξυνᾶς ἀνίας λῦσον ἄμμιν*: mihi (Iasoni) et tibi (Peliae). Py. IV 167: *καρτερὸς ὅρκος ἄμμιν μάρτυς ἔστω Ζεὺς ὁ γενέθλιος ἀμφοτέροις.* (de Ne. VI 7 v. *ἄμμε*; de fr. 81 (49), 1 v. *νιν.*)

ἕδνον *donum nuptiale, dos* Ol. IX 10: *ἀκρωτήριον Ἄλιδος —, τὸ δή ποτε Λυδὸς ἥρως Πέλοψ ἐξάρατο κάλλιστον ἕδνον Ἱπποδαμείας*: ἕδνον *νῦν οὐ τὸ παρὰ τοῦ ἀνδρὸς διδόμενον τῇ γαμου-*

μένη λέγει, ἀλλ' ὃ αὐτὸς ἐκείνην λαβὼν προσεκτήσατο. Schol. Py. III 94: καὶ Κρόνου παῖδας βασιλῆας ἴδον χρυσέαις ἐν ἕδραις ἕδνα τε δέξαντο (Cadmus et Peleus): ἀκύρως τὰ δῶρα ἕδνα εἶπε. τῷ μὲν γὰρ Πηλεῖ γαμοῦντι τὴν Θέτιν ὁ Ποσειδῶν διὰ τὴν σωφροσύνην ἐδωρήσατο ἵππους, Ἥφαιστος δὲ μάχαιραν· τῷ δὲ Κάδμῳ γαμοῦντι τὴν Ἁρμονίαν ἡ Ἀφροδίτη χρυσοῦν ὅρμον ἐδωρήσατο, ὃν κτησάμενος Πολυνείκης κατὰ διαδοχὴν τοῦ γένους παρέσχεν Ἐριφύλῃ, ἵνα πείσῃ Ἀμφιάραον εἰς τὸν πόλεμον ἐξελθεῖν. Schol.

ἕδος (sg. n. a. v. ἕδος) *sedes* Is. I 31: ὑψίπεδον Θεράπνας εἰκέων ἕδος. Ne. IV 12: δέξαιτο δ' Αἰακιδᾶν ἠύπυργον ἕδος: Aegina. imprimis deorum Ne. VI 3: τὸ μὲν οὐδέν, ὁ δὲ χάλκεος ἀσφαλὲς αἰὲν ἕδος μένει οὐρανός. Ol. II 13 (12): ἕδος Ὀλύμπου νέμων. Py. II 7: Ὀρτυγίαν —, ποταμίας ἕδος Ἀρτέμιδος. XII 2: αἰτέω σε —, Φερσεφόνας ἕδος: Agrigentum.

ἕδρα (sg. ἕδραν. pl. ἕδραι, -αις, -αισι. prioris syllabae vocalis semel non producitur, semel anceps est Is. VI 44) *sedes* Py. III 94: Κρόνου παῖδας βασιλῆας ἴδον χρυσέαις ἐν ἕδραις. Ne. IV 66: εἶδεν δ' εὔκυκλον ἕδραν, τᾶς οὐρανοῦ βασιλῆες πόντου τ' ἐφεζόμενοι δῶρα καὶ κράτος ἐξέφαναν ἐγγενὲς αὐτῷ: „videtur una sedes fuisse, in qua divisi singulis diis loci, ut in uno Amyclaei Apollinis throno plures sedes fuerunt" Dissen. — met. de domicilio Is. VI (VII) 44: ἐξικέσθαι χαλκόπεδον θεῶν ἕδραν: h. e. „coelum et divinam felicitatem" Dissen. Ol. V 8: ὃν πατέρ' Ἄκρων ἐκάρυξε καὶ τὰν νέοικον ἕδραν: Camarinam urbem inde ab Ol. 79, 4 restitutam. Ol. XIV 1: Καφισίων ὑδάτων λαχοῖσαι, ταίτε ναίετε καλλίπωλον ἕδραν, — ὦ — Χάριτες: Orchomenum. Py. XI 63: τὸ μὲν παρ' ἆμαρ ἕδραισι Θεράπνας, τὸ δ' οἰκέοντας ἔνδον Ὀλύμπου. Ol. VII 76: ἀπάτερθε δ' ἔχον — ἀστέων μοῖραν (Camirus, Ialysus, Lindus) κέκληνται δέ σφιν ἕδραι.

ἔδω *comedo* fr. 168 (150): δοιὰ βοῶν θέρμ' ἔδει — σώματα (Boeckh., libri θερμὰ δ' εἰς v. θερμὰ εἰς).

ἐείδομαι v. **εἴδομαι.**

ἔερσα *ros* Ne. VIII 40: αὔξεται δ' ἀρετά, χλωραῖς ἐέρσαις ὡς ὅτε δένδρεον ἄσσει. met. de spuma Ne. VII 79: λείριον ἄνθεμον ποντίας ὑφελοῖσ' ἐέρσας. III 78: πέμπω μεμιγμένον μέλι λευκῷ σὺν γάλακτι, κιρναμένα δ' ἔερσ' ἀμφέπει, πόμ' ἀοίδιμον.

ἕζω I) Act. *sedere facio, colloco,* met. Py. IV 273: ῥᾴδιον μὲν γὰρ πόλιν σεῖσαι καὶ ἀφαυροτέροις· ἀλλ' ἐπὶ χώρας αὖτις ἕσσαι δυσπαλὲς δὴ γίνεται. — II) Med. *consido, sedeo* Is. V (VI) 56: ὣς ἄρα εἰπὼν αὐτίκα ἕζετ'. fr. 136 (112): ἄγχιστα δεξιὰν κατὰ χεῖρα πατρὸς ἕζεαι (Bergk., vulg. ἵζεαι): Minerva dicitur. — aor. *mihi collocavi, constitui* Py. IV 204: ἔνθ' ἀγνὸν Ποσειδάωνος ἕσσαντ' εἰναλίου τέμενος: ἔκτισαν. Schol.

ἔθειρα *coma* Is. IV (V) 9: ὅντιν' ἀθρόοι στέφανοι χερσὶ νικάσαντ' ἀνέδησαν ἔθειραν ἢ ταχυτᾶτι ποδῶν.

ἐθέλω, θέλω (praes. ἐθέλω, θέλεις, ἐθέλει, (ἐ)θέλοντι. ἐθέλῃ. (ἐ)θέλοι. (ἐ)θέλων, ἐθέλοντ(α), ἐθελοίσας; θέλοντες. ipf. ἤθελον, -ε; ἤθελον, ἔθελον. fut. ἐθελήσω. aor. ἐθελήσαις. non usum esse poetam voce θέλειν ad Py. I 62 contendit Boeckh., dissentit Hermannus, v. Dissen. in Boeckhii edit. p. 475) *volo, studeo, libet mihi,* abs. Ne. III 83: τίν γε μέν, εὐθρόνου Κλεοῦς ἐθελοίσας, — δέδορκεν φάος. Is. V (VI) 43: εἴ ποτ' ἐμᾶν, ὦ Ζεῦ πάτερ, θυμῷ θέλων ἀρᾶν ἄκουσας (Boeckh. ἐθέλων, Christ. 'θέλων): lubens, propitius, cf. Ol. VI 83. Py. II 69 (Boeckh. ἑκὼν). Ne. IV 89. c. acc. Ol. II 107 (97): ἀλλ' αἶνον ἐπέβα κόρος οὐ δίκᾳ συναντόμενος, ἀλλὰ μάργων ὑπ' ἀνδρῶν, τὸ λαλαγῆσαι θέλων κρύφον τε θέμεν (Herm. κρύφον τιθέμεν) ἐσλῶν καλοῖς ἔργοις. c. infin. Py. IX 1: ἐθέλω χαλκάσπιδα Πυθιονίκαν σὺν βαθυζώνοισιν ἀγγέλλων Τελεσικράτη Χαρίτεσσι γεγωνεῖν, ubi de se ipso poeta loquitur, itemque Py. III 77. Is. I 15; et Ol. VII 20: ἐθελήσω τοῖσιν ἐξ ἀρχᾶς ἀπὸ Τλαπολέμου ξυνὸν ἀγγέλλων διορθῶσαι λόγον: lubens conabor; fut. rhetoricum pro praes. Py. I 40: Φοῖβε —, ἐθελήσαις ταῦτα νόῳ τιθέμεν: velis, libeat tibi. Ol. VIII 85: ἐσλὰ δ' ἐπ' ἐσλοῖς ἔργα θέλοι δόμεν. Py. V 65: πόρεν τε κίθαριν (Φοῖβος), δίδωσί τε Μοῖσαν οἷς ἂν ἐθέλῃ. Ol. XIII 9: ἐθέλοντι δ' ἀλέξειν Ὕβριν: student, sc. Horac. fr. 2: ὁ δ' ἐθέλων καὶ δυνάμενος ἁβρὰ πάσχειν. Py. I 62.

IX 111. X 5. Ne. V 27. VIII 10. X 84. Is. VI (VII) 45. add. *μάλα* Ne. VII 10: *μάλα δ' ἐθέλοντι σύμπειρον ἀγωνίᾳ θυμὸν ἀμφέπειν* (sc. Aeacidae). Ne. VII 90: *εἰ δ' αὐτὸ καὶ θεὸς ἀλέγοι, ἐν τίν κ' ἐθέλοι, Γίγαντας ὃς ἐδάμασας, εὐτυχῶς ναίειν — Σωγένης*: „velit, maxime cupiat, h. e. poterit" Dissen. c. acc. et infin. Py. III 1: *ἤθελον Χείρωνά κε — ζώειν τὸν ἀποιχόμενον*: vellem. Is. VII 28 (VIII 31). — ad res transfertur Ol. XI 9: *τὰ μὲν ἁμετέρα γλῶσσα ποιμαίνειν ἐθέλει*: amat. c. negat. Ne. XI 40: *δένδρεά τ' οὐκ ἐθέλει πάσαις ἐτέων περόδοις ἄνθος εὐῶδες φέρειν πλούτῳ ἴσον*: non solent.

ἔθνος (sg. ἔθνος, -ει, -ος. pl. ἔθνεα. prioris syllabae vocalis quater non producitur) *gens, genus* Ne. III 29: *ἕπεται δὲ λόγῳ δίκας ἄωτος, ἔθνος αἰνεῖν* (Bergk., libri *ἐσλὸς* v. *ἐσλὸν*): „respicit poeta legem artis suae, quae genus victoris laudibus efferre praecipiebat" Bergk.; v. *ἐσλός*. Ne. V 43: *ἀγάλλει κεῖνον ὁμόσπορον ἔθνος Πυθέας*: v. *ἀγάλλω* et *μεταΐσσω*. Py. V 85: *τόδ' ἐλάσιππον ἔθνος ἐνδυκέως δέκονται θυσίαισιν ἄνδρες οἰχνέοντές σφε δωροφόροι*: dicit Antenoridas, qui colebantur pro heroibus; schol. intelligit Cyrenaeos, Asbystas Bergkius sec. Herod. IV 170. Py. IV 252: *Λαμνιᾶν τ' ἔθνει γυναικῶν ἀνδροφόνων.* Ol. X 97: *κλυτὸν ἔθνος Λοκρῶν ἀμφέπεσον.* Is. V (VI) 32: *πέφνεν δὲ σὺν κείνῳ Μερόπων ἔθνεα.* fr. 83 (51): *ἦν ὅτε σύας τὸ Βοιώτιον ἔθνος ἔνεπον.* Ol. I 68 (66): *προῆκαν υἱὸν ἀθάνατοί οἱ πάλιν μετὰ τὸ ταχύποτμον αὖτις ἀνέρων ἔθνος.* Ne. XI 42: *καὶ θνατὸν οὕτως ἔθνος ἄγει μοῖρα.* III 74: *μέρος ἕκαστον οἷον ἔχομεν βρότεον ἔθνος.* Py. X 28: *ὅσαις δὲ βροτὸν ἔθνος ἀγλαΐαις ἁπτόμεσθα.*

εἰ (in crasi *κεἰ* fr. 4 (199). Ol. XIV 7 (ci.). Ne. I 64 (ci.). *κεἴπερ* v. *καίπερ* Ne. IV 36 (ci.); incertum an in synizesi Py. XI 55, v. *ἄτα*; ante vocalem nusquam) I) *si* 1) *c. ind.* plerumque praesentis, in apodosi ind. v. imper., raro opt., opt. c. *κε*, ind. c. *κε*; a) Ol. I 66 (64): *εἰ δὲ θεὸν ἀνήρ τις ἔλπεταί τι λαθέμεν ἔρδων, ἁμαρτάνει.* III 42. Py. I 87. II 58. III 80. 103. Ne. IV 79. X 83. Is. I 41. 67. III 1. V (VI) 10. VI (VII) 43. fr. 107 (74), 10. deest verbum *εἶναι* Ne. IX 28: *εἰ δυνατόν, Κρονίων, πεῖραν — ἀναβάλλομαι.* Ol. XIV 7. Py. XII 28. deest praedicatum Ol. II 62 (56): *εἰ δέ νιν ἔχων* (var. *ἔχει* v. *ἔχοι*) *τις, οἶδεν τὸ μέλλον, ὅτι κτλ.*: „brachylogia utitur poeta, verbum enim *οἶδεν*, quod iterandum fuit, semel adhibuit; hoc enim dicit: si quis alius opibus simul et virtutibus clarus futurum tempus mente tenet, hic (Thero) est" Bergk. Alii aliter; Boeckh. *εἴ γέ νιν ἔχων τις οἶδεν τὸ μέλλον*, Tafel. et Rauchenstein. *εὖ δέ μιν ἔχων*, Dissen. *εἰ δέ νιν ἔχων* (sc. *ἐστί*), Mezger. *εἰ . . . τις οἶδεν τὸ μέλλον, ὅτι . . ., ἴσον δὲ . . .*, ita ut *δὲ* sit *ἀποδοτικόν*. Py. III 86: *λαγέταν γάρ τοι τύραννον δέρκεται, εἴ τιν' ἀνθρώπων, σ' ὁ μέγας πότμος.* — Ol. I 77 (75): *φίλια δῶρα Κυπρίας ἄγ' εἴ τι, Ποσείδαον, ἐς χάριν τέλλεται, πέδασον ἔγχος Οἰνομάου.* I 3. deest verbum *εἶναι* Py. IX 93: *οὕνεκεν, εἴ φίλος ἀστῶν εἴ τις ἀντάεις, τό γ' ἐν ξυνῷ πεποναμένον εὖ μὴ λόγον βλάπτων ἁλίοιο γέροντος κρυπτέτω*, ubi *εἴτε — εἴτε* expl. schol. — coni. pro imper. Ol. V 23. — Py. IX 50: *εἰ δὲ χρὴ καὶ πὰρ σοφὸν ἀντιφερίξαι, ἐρέω.* — Ne. VII 86: *εἰ δὲ γεύεται ἀνδρὸς ἀνήρ τι, φαῖμέν κε γείτον' ἔμμεναι — γείτονι χάρμα πάντων ἐπάξιον.* X 85. — Py. III 2: *ἤθελον Χείρωνά κε Φιλυρίδαν, εἰ χρεὼν τοῦτο — εὔξασθαι ἔπος, ζώειν.* — causalem vim habet Ol. IX 26: *ἀγγελίαν πέμψω ταύταν, εἰ σύν τινι μοιριδίῳ παλάμᾳ ἐξαίρετον Χαρίτων νέμομαι κᾶπον.* — Py. VIII 73: *εἰ γάρ τις ἐσλὰ πέπαται μὴ σὺν μακρῷ πόνῳ, πολλοῖς σοφὸς δοκεῖ πεδ' ἀφρόνων βίον κορυσσέμεν ὀρθοβούλοισι μαχαναῖς.* in apodosi opt. Ne. V 19; imper Is. IV (V) 22. — c) Ne. XI 14: *εἰ δέ τις ὄλβον ἔχων μορφᾷ παραμεύσεται ἄλλων, ἔν τ' ἀέθλοισιν ἀριστεύων ἐπέδειξεν βίαν, θνατὰ μεμνάσθω περιστέλλων μέλη.* in sententia comparativa Ol. VII 1: *φιάλαν ὡς εἴ τις — δωρήσεται νεανίᾳ γαμβρῷ προπίνων —, ἐν δὲ φίλων παρεόντων θῆκέ νιν ζαλωτὸν ὁμόφρονος εὐνᾶς, καὶ ἐγὼ νέκταρ χυτόν, Μοισᾶν δόσιν, ἀεθλοφόροις ἀνδράσιν πέμπων — ἱλάσκομαι.* fr. 107 (74) 15: *πολέμου δ' εἰ σᾶμα φέρεις τινός, ἢ — ἢ — ἢ — ἢ*

— ἢ —, ὕδατι ζακότῳ ξερὰν εἰ (Bergk., libri ἢ) γαῖαν κατακλύσαισα θήσεις ἀνδρῶν νέον ἐξ ἀρχᾶς γένος, ὀλοφύρομαι οὐδὲν ὅ τι πάντων μέτα πείσομαι: „poeta priora comprehendens dicit, si inundans terras sive mari superfuso sive imbribus aestivis hominum genus vis reparare" Bergk. — d) Py. XI 55: φθονεροὶ δ' ἀμύνονται ἄγᾳ, εἴ τις ἄκρον ἑλὼν ἁσυχᾷ τε νεμόμενος αἰνὰν ὕβριν ἀπέφυγεν: dubius locus est, v. ἄτα. Ol. VI 77. Py. XI 41. Ne. III 19. VII 75. Is. V (VI) 42. Ol. VIII 54: εἰ δ' ἐγὼ Μελησίᾳ ἐξ ἀγενείων κῦδος ἀνέδραμον ὕμνῳ, μὴ βαλέτω με λίθῳ τραχεῖ φθόνος. I 19. I 55 (54): εἰ δὲ δή τιν' ἄνδρα θνατὸν Ὀλύμπου σκοποὶ ἐτίμασαν, ἦν Τάνταλος οὗτος. — e) Ne. VII 74: εἰ πόνος ἦν, τὸ τερπνὸν πλέον πεδέρχεται. — 2) c. ind. aor. v. ipf., in apodosi ind. c. κε Ol. XII 16: υἱὲ Φιλάνορος, ἤτοι καὶ τεά κεν ἐνδομάχας ἅτ' ἀλέκτωρ συγγόνῳ παρ' ἑστίᾳ ἀκλεὴς τιμὰ κατεφυλλορόησεν ποδῶν, εἰ μὴ στάσις ἀντιάνειρα Κνωσίας σ' ἄμερσε πάτρας. Py. III 73. IV 43. Py. III 63: εἰ δὲ σώφρων ἄντρον ἔναι' ἔτι Χείρων καί τί οἱ φίλτρον ἐν θυμῷ μελιγάρυες ὕμνοι ἁμέτεροι τίθεν, ἰατῆρά τοί κέν νιν πίθον καί νυν ἐσλοῖσι παρασχεῖν ἀνδράσιν θερμᾶν νόσων. Ne. IV 13. VII 24. — 3) c. coni., in apodosi plerumque ind. praesentis Py. IV 263: εἰ γάρ τις ὄζους ὀξυτόμῳ πελέκει ἐξερείψῃ κὰμ (Bergk., libri ἐξερείψαι κε v. κεν) μεγάλας δρυός, αἰσχύνῃ (Mosch. αἰσχύνοι) δέ οἱ θαητὸν εἶδος, καὶ φθινόκαρπος ἐοῖσα διδοῖ ψᾶφον περ' αὐτᾶς, εἴ ποτε χειμέριον πῦρ' ἐξίκηται λοίσθιον ἢ — μόχθον ἄλλοις ἀμφέπῃ (Heynius, libri ἀμφέπει) δύστανον ἐν τείχεσιν. Ol. XI 4 (ci.). Py. IV 145 (ci.). 274 (εἰ μὴ). Is. III 59 (IV 41). IV (V) 13. Ol. VI 11: πολλοὶ δὲ μέμνανται, καλὸν εἴ τι ποναθῇ. Ne. VII 15. fr. 42 (171), 4. Ne. VII 11: εἰ δὲ τύχῃ τις ἔρδων, μελίφρον' αἰτίαν ῥοαῖσι Μοισᾶν ἐνέβαλε. IX 46: ἴστω λαχὼν πρὸς δαιμόνων θαυμαστὸν ὄλβον, εἴ τις ἅμα κτεάνοις πολλοῖς ἐπίδοξον ἄρηται κῦδος (Bergk., vulgo ὄλβον. εἰ γὰρ ἅμα κτλ.). — 4) c. opt. a) sine apodosi est optantis add. γάρ Ne. VII 98: εἰ γάρ σφισιν ἐμπεδοσθενέα βίοτον ἁρμόσαις ἥβᾳ λιπαρῷ τε γήραϊ διαπλέκειν εὐδαίμον' ἐόντα, παίδων δὲ παῖδες ἔχοιεν αἰεὶ γέρας τό περ νῦν καὶ ἄρειον ὄπιθεν. Py. I 46. — b) cum apodosi, in qua est α) opt. c. κεν Ol. VI 4: εἰ δ' εἴη μὲν Ὀλυμπιονίκας —, τίνα κεν φύγοι ὕμνον κεῖνος ἀνήρ; Ne. VII 89. quo pertinet etiam infin. c. κεν Py. III 110: εἰ δέ μοι πότμον θεὸς ἁβρὸν ὀρέξαι (schol. videtur ὀρέξῃ legisse), ἐλπίδ' ἔχω κλέος εὑρέσθαι κεν ὑψηλὸν πρόσω. Ol. I 111 (108): εἰ δὲ μὴ ταχὺ λίποι (θεός), ἔτι γλυκυτέραν κεν ἔλπομαι σὺν ἅρματι θοῷ κλεΐξειν (var. κλεΐζειν) ἐπίκουρον εὑρὼν ὁδὸν λόγων. ind. praes. Py. I 81: καιρὸν εἰ φθέγξαιο πολλῶν πείρατα συντανύσαις ἐν βραχεῖ, μείων ἕπεται μῶμος ἀνθρώπων. Is. II 34. IV (V) 15. deest verbum εἶναι Py. VIII 14: κέρδος δὲ φίλτατον, ἑκόντος εἴ τις ἐκ δόμων φέροι (var. φέρει, Schol. fort. φέρῃ). fut. Ol. XIII 105: εἰ δὲ δαίμων γενέθλιος ἕρποι, Δὶ τοῦτ' Ἐνυαλίῳ τ' ἐκδώσομεν πράσσειν. — β) in orat. indir. de repetitione rei praeteritae Ne. I 64: κεἴ τινα σὺν πλαγίῳ ἀνδρῶν κυροῖ στείχοντα, τὸν ἐχθρότατον φᾶσέ νιν δώσειν μόρον (Bergk., libri καί τινα σὺν πλ. ἀ., κόρῳ στείχοντα τὸν κτλ., qua lectione maximam partem servata Boeckh. pro μόρον scr. μόρῳ, Kayser. πανεχθροτάτῳ . . . μόρῳ, Christ. et Beck. τῷ ἐχθροτάτῳ . . . μόρῳ). — II) *num* in quaestione indir., c. ind. praes. Ol. VIII 4: παραπειρῶνται Διὸς ἀργικεραύνου, εἴ τιν' ἔχει λόγον ἀνθρώπων πέρι μαιομένων μεγάλαν ἀρετὰν θυμῷ λαβεῖν. VI 90. Ne. VII 69. deest verbum εἶναι Py. IV 164. — III) Adduntur particulae et coniunctiones: **εἴ γε** Ol. II 62 (55) coni. Boeckh. pro εἰ δὲ. Py. IX 50 (eiecit Herm.). — **εἰ δή** Ol. I 55 (54). — **εἴπερ** *si quidem* Py. I 90: εὐανθεῖ δ' ἐν ὀργᾷ παρμένων, εἴπερ τι φιλεῖς ἀκοὰν ἁδεῖαν αἰεὶ κλύειν, μὴ κάμνε λίαν δαπάναις. c. ind. perf. Ne. II 7. Ne. IV 36: ἔμπα, κεἴπερ ἔχει βαθεῖα ποντιὰς ἅλμα μέσσον, ἀντίτειν' ἐπιβουλίᾳ (Bergk., libri καίπερ ἔχει, Christ. καίπερ). — **εἴ ποτε** Py. IV 266, v. I), 3). — **κεἰ** *et si* Ne. I 64 (Bergk., libri καί), v. I), 4), b). — *etiam si* Ol. XIV 7 (Bergk., libri εἰ), v. I), 1), a). — **κεἴπερ** v. **εἴπερ**. — **ὡς εἰ** Ol. VII 1, v. I), 1), c).

εἶα eia (παρακελεύσεως ἐπίρρημα.

Hesych.) fr. 194 (206): *εἶα τειχίζωμεν ἤδη ποικίλων κόσμον αὐδάεντα λόγων* (Bergk., vulgo *οἷα τειχίζομεν*).

εἴδομαι *videor similis*, c. dat. Py. IV 21: *θεῷ ἀνέρι εἰδομένῳ γαῖαν διδόντι* (Christ. *ϝειδομένῳ*). Ne. X 15: *τῷ δ' ὄψιν ἐειδόμενος ἀθανάτων βασιλεὺς αὐλὰν ἐσῆλθεν.*

εἶδος (digammatum Ol. VIII 19) *forma* viri Ol. VIII 19: *ἦν δ' ἐσορᾶν καλός, ἔργῳ τ' οὐ κατὰ εἶδος ἐλέγχων ἐξένεπε κρατέων — Αἴγιναν πάτραν.* feminae Py. II 38: *εἶδος γὰρ ὑπεροχωτάτᾳ πρέπεν οὐρανιᾶν θυγατέρι Κρόνου (νεφέλα).* IX 108: *ἐπεὶ θαητὸν εἶδος ἔπλετο*: sc. Antaei filiae. arboris Py. IV 264: *εἰ γάρ τις ὄζους ὀξυτόμῳ πελέκει ἐξερείψῃ μὲν μεγάλας δρυός, αἰσχύνῃ δέ οἱ θαητὸν εἶδος.*

εἴδωλον *simulacrum* fr. 131 (96): *ζωὸν δ' ἔτι λείπεται αἰῶνος εἴδωλον· τὸ γάρ ἐστι μόνον ἐκ θεῶν.*

εἰκάζω *comparo* Ne. VI 74 (65): *δελφῖνί κεν τάχος δι' ἅλμας εἰκάζοιμι Μελησίαν χειρῶν τε καὶ ἰσχύος ἀνίοχον* (Bergk. duce schol. dubitanter, quippe reconditum aliquod vocabulum oblitteratum esse ratus, libri *ἶσον εἴποιμι*, Tricl. *ἴσον εἴποιμι*).

εἴκοσι *viginti* Py. IV 104: *εἴκοσι δ' ἐκτελέσαις ἐνιαυτούς.* Ne. VI 66 (58): *ἄγγελος ἔβαν, πέμπτον ἐπ' εἴκοσι τοῦτο γαρύων εὖχος ἀγώνων ἄπο* (Bergk. c. Tricl., libri *πέμπον ἐπὶ*, Christ. c. Herm. *πέμπτον γ' ἐπὶ ϝείκοσι*).

εἴκω *cedo* Is. I 6: *εἶξον, ὦ 'πολλωνιάς.* (de Is. III 63 v. *ἔοικα.*)

εἰλᾰπῑνάζω *epulor* Py. X 40: *δάφνᾳ τε χρυσέᾳ κόμας ἀναδήσαντες εἰλαπινάζοισιν εὐφρόνως.*

Εἰλᾰτίδας *Elatides* h. e. Elati filius Ol. VI 33: *ἐκέλευσεν ἥρωι πορσαίνειν δόμεν Εἰλατίδᾳ βρέφος*: Aepyto. Py. III 31: *γνοὺς Ἴσχυος Εἰλατίδα ξεινίαν κοίταν.*

εἰλέω 1) *coerceo*, Py. IV 233: *πῦρ δέ νιν οὐκ ἐόλει παμφαρμάκου ξείνας ἐφετμαῖς* (Boeckh., libri *αἰόλλει*): quam formam Boeckhius a voce *ἐολέω* (*αἰολέω*) derivari mavult. — 2) *cogo, contraho* Ol. X 43: *ἐν Πίσᾳ ἔλσαις ὅλον τε στρατὸν λαίαν τε πᾶσαν* (var. *ἐάσας*).

εἶμα *vestis* Py. IV 232: *ἀπὸ κροκόεν ῥίψαις Ἰάσων εἷμα θεῷ πίσυνος εἴχετ' ἔργου.*

εἰμί (praes. ind. *εἰμ(ί)*, *ἐσσί*, *ἐστί(ν)*, *ἔστι(ν)*, *ἔσθ'*; *εἰμέν* (1), *ἐντί*, *ἔντι* fr. 139, *εἰσίν* (1). opt. *εἴην*, *εἴη*. ipr. *ἔστω*. inf. *ἔμμεναι*, *ἔμμεν*, *εἶναι* Is. V 20. [fr. 41. 288.]. part. m. *ἐών*, *ἐόντα*; *ἐόντων*. f. *ἐοῖσα*, *-αν*. n. *ἐόντων*. — ipf. *ἦν*, *ἔσκεν* (1), *ἔσαν* [*ἔσσαν* Ol. IX 53 (var. *δ' ἔσαν*, *δ' ἦσαν*, Bergk. *δὴ ῆσαν*). Ne. IX 17 Boeckh. e coni. pro *ἦσαν*, Bergk. *ἔγεντ'*]. fut. *ἔσσομαι*, *ἔσομαι*; *ἔσσεται*, *ἔσεται* (1), *ἔσται* (2). *ἔσεσθαι*, *ἔσσεσθαι*. *ἐσσομένας*, *ἐσσόμενον*, *-α*) *sum* 1) vivo Is. III 45 (IV 27): *ὤπασεν τοιάδε τῶν τότ' ἐόντων φύλλ' ἀοιδᾶν.* — 2) exsisto, il y a, *ὑπάρχω* a) Ne. IX 6: *ἔστι δέ τις λόγος ἀνθρώπων, τετελεσμένον ἐσλὸν μὴ χαμαὶ σιγᾷ καλύψαι.* VIII 32: *ἐχθρὰ δ' ἄρα πάρφασις ἦν καὶ πάλαι.* V 31: *τὸ δ' ἐναντίον ἔσκεν.* Ol. XIII 67: *ἐξ ὀνείρου δ' αὐτίκα ἦν ὕπαρ.* Py. XII 30: *ἔσται χρόνος οὗτος, ὃ . . .* Ol. VIII 53. Py. V 116. Ne. I 10. VII 74. VIII 50. Is. I 26. V (VI) 24. fr. 139. 168 (150). *εἴη* sit, contingat, liceat, sequ. inf. v. acc. c. inf. Ol. I 118 (115). Py. I 29. 29. II 83. 96. Ne. IV 11. Is. I 64. V (VI) 7. fr. 127 (236). *ἦν* sequ. acc. c. inf. Ne. VII 24. *οὐκ ἔστι* sequ. acc. c. inf. Ne. IX 47. *οὐ γὰρ ἔσθ' ὅπως* fr. 61 (33), 3. *ἔσθ' ὅτε* interdum fr. 180 (172), 2. *ἦν ὅτε* fr. 83 (51). — part. praes. Py. IV 170: *ὤρνυεν κάρυκας ἐόντα πλόον φαινέμεν παντᾷ* (var. *τᾶς ἐόντα*): „instantem navigationem" Boeckh.; at Bergkio *ἐόντα* ineptum esse censenti poeta *ἔταισι* videtur scripsisse. neutr. plur. (*τὰ*) *ἐόντα* praesentia sc. bona Ne. I 32. fr. 81 (49), 3. — fut. *ἐσσόμενος* futurus Ol. XII 8: *ἀμφὶ πράξιος ἐσσομένας.* XIII 103: *τά τ' ἐσσόμενα τότ' ἂν φαίην σαφές.* Ne. I 27: *ἐσσόμενον προϊδεῖν.* — b) c. gen. possessoris et originis Is. III 49 (IV 31): *ἔστιν δ' ἀφάνεια τύχας καὶ μαρναμένων, πρὶν τέλος ἄκρον ἱκέσθαι.* Py. III 60. fr. 288 (271). Ol. IX 53. c. adv. et praep. *ἐκ*, *ἀπό* Py. IX 49: *χὤτι μέλλει, χὠπόθεν ἔσσεται, εὖ καθορᾷς.* fr. 131 (96), 3: *τὸ γάρ ἐστι μόνον ἐκ θεῶν.* Py. XII 17: *τὸν (υἱὸν Δανάας) ἀπὸ χρυσοῦ φαμὲν αὐτορύτου ἔμμεναι.* Ne. V 49: *χρὴ δ' ἀπ' Ἀθανᾶν τέκτον' ἀεθληταῖσιν ἔμμεν*: adesse, venire. — 3) c. dat.: est mihi, habeo Ol. VIII 77: *ἔστι δὲ καί τι θανόντεσσιν μέρος κὰν νόμον ἐρδομένων.* Ne. VI 52 (45):

ἐλπίς (sg. ἐλπίς, -ίδος, -ίδι, -ίδ(α). pl. ἐλπίδες. -ίδων, -ίσιν, -ίδεσσι, -ίδας. digammatum Ol. XIII 83. Py. II 49. Is. II 43) *spes, exspectatio,* sive bonarum rerum sive malarum fr. 214 (233): γλυκεῖά οἱ καρδίαν ἀτάλλοισα γηροτρόφος συναορεῖ ἐλπίς, ἃ μάλιστα θνατῶν πολύστροφον γνώμαν κυβερνᾷ. Py. VIII 90: ὁ δὲ καλόν τι νέον λαχὼν ἁβρότατος ἔπι μεγάλας ἐξ ἐλπίδος πέταται ὑποπτέροις ἀνορέαις. Is. VII (VIII) 16: χρὴ δ' ἀγαθὰν ἐλπίδ' ἀνδρὶ μέλειν. Ne. XI 46: δέδεται γὰρ ἀναιδεῖ ἐλπίδι γυῖα. Ol. XII 6: αἵ γε μὲν ἀνδρῶν πόλλ' ἄνω, τὰ δ' αὖ κάτω ψεύδη μεταμώνια τάμνοισαι κυλίνδοντ' ἐλπίδες. Ne. VIII 45: κενεᾶν δ' ἐλπίδων χαῦνον τέλος. Py. III 23: μεταμώνια θηρεύων ἀκράντοις ἐλπίσιν. Ne. I 32: κοιναὶ γὰρ ἔρχοντ' ἐλπίδες πολυπόνων ἀνδρῶν. Is. II 43: ὅτι φθονεραὶ θνατῶν φρένας ἀμφικρέμανται ἐλπίδες. IV (V) 58: οὐδ' ὁπόσαι δαπάναι ἐλπίδων, ἔκνισ' ὄπιν: v. δαπάνα. Py. I 83: ἀπὸ γὰρ κόρος ἀμβλύνει αἰανὴς ταχείας ἐλπίδας. IV 201: ἀδείας ἐνίπτων ἐλπίδας. Is. VI (VII) 36: ἀν' ὅμιλον, ἔνθ' ἄριστοι ἔσχον πολέμοιο νεῖκος ἐσχάταις ἐλπίσιν. fr. 10: ἐλπίσιν ἀθανάταις ἁρμῷ φέρονται. Ne. XI 22: ἐλπίδες δ' ὀκνηρότεραι γονέων παιδὸς βίαν ἔσχον ἐν Πυθῶνι πειρᾶσθαι καὶ Ὀλυμπίᾳ ἀέθλων. Ol. XIII 83: τελεῖ θεῶν δύναμις καὶ τὰν παρ' ὅρκον καὶ παρὰ ἐλπίδα (var. παρ' ἐλπίδα) κούφαν κτίσιν. Py. II 49: θεὸς ἅπαν ἐπὶ ἐλπίδεσσι τέκμαρ ἀνύεται: ex voluntate. Py. III 111: ἐλπίδ' ἔχω κλέος εὑρέσθαι κεν ὑψηλὸν πρόσω. fr. 289 (234): Πινδάρου· Πίνδαρος εἶπε τὰς ἐλπίδας εἶναι ἐγρηγορότων ἐνύπνια (Stob. Flor. CXI 12).

ἔλπομαι (praes. ἔλπομαι, -εαι, -εται. ipf. ἤλπετο) *spero, censeo, puto* 1) abs. Ol. XIII 104: νῦν δ' ἔλπομαι μέν, ἐν θεῷ γε μὰν τέλος. 2) c. inf.

fut. Py. IV 243: ἤλπετο δ' οὐκέτι οἱ κεῖνόν γε πράξεσθαι πόνον (Herm., libri πράξασθαι, Mosch. κεῖνον πεπράξεσθαι). Py. X 55. add. part. κεν Ol. I 112 (110): εἰ δὲ μὴ ταχὺ λίποι, ἔτι γλυκυτέραν κεν ἔλπομαι σὺν ἅρματι θοῷ κλεΐξειν (var. κλεϊξεῖν, κλεΐζειν) ἐπίκουρον εὑρὼν ὁδὸν λόγων. — aor. Py. I 43: ἔλπομαι μὴ χαλκοπάραον ἄκονθ' ὡσείτ' ἀγῶνος βαλεῖν ἔξω παλάμᾳ δονέων, μακρὰ δὲ ῥίψαις ἀμεύσασθ' ἀντίους (var. ἀμεύσεσθ'). Ne. IV 92. VI 30 (27). VII 20. — praes. et perf. fr. 61 (33): τί δ' ἔλπεαι σοφίαν ἔμμεν, ἃ τ' ὀλίγον τοι ἀνὴρ ὑπὲρ ἀνδρὸς ἰσχύει; Ol. I 66 (64): εἰ δὲ θεὸν ἀνήρ τις ἔλπεται λελαθέμεν ἔρδων, ἁμαρτάνει (Mommsen., libri (τι) λαθέμεν v. τι λασέμεν).

῞Ελωρος *Helorus*, fluvius Siciliae in litore orientali paulo supra Pachynum promontorium Ne. IX 40: βαθυκρήμνοισι δ' ἀμφ' ἀκταῖς Ἑλώρου.

ἐμβαίνω *incedo, ingredior*, met. c. dat. Py. X 12: τὸ δὲ συγγενὲς ἐμβέβακεν ἴχνεσιν πατρός, ubi τὸ συγγενές accusativus absolutus est v. limitationis; v. συγγενής. — Ne. XI 44: ἀλλ' ἔμπαν μεγαλανορίαις ἐμβαίνομεν, ἔργα γε πολλὰ μενοινῶντες (Christ. ἒν βαίνομεν): aggredimur, suscipimus.

ἐμβάλλω (praes. ἐμβάλλων. aor. ἔμβαλ', ἔμβαλεν, -ον. ἐνέβαλε, ἐν ... ἔβαλεν. ἐμβαλεῖν) 1) trans. *iniicio, impono* Ne. X 68: ἔνθεν ἁρπάξαντες ἄγαλμ' Ἀίδα, ξεστὸν πέτρον, ἔμβαλον στέρνῳ Πολυδεύκεος. fr. 111 (77), 1: πολλὰ δ' ἔμβαλ' ἕλκεα νωμῶν τραχὺ ῥόπαλον (libri ἕλκεα πλευρὰς ἔμβαλλεν ὦμον): ingessit. Py. IV 235: ἐμβάλλων τ' ἐριπλεύρῳ φυᾷ κέντρον αἰανές. Ol. IX 73: Δαναοὺς τρέψαις ἁλίαισιν πρύμναις Τήλεφος ἔμβαλεν: compulit. — met. Ne. VII 12: μελίφρον' αἰτίαν ῥοαῖσι Μοισᾶν ἐνέβαλε. per tmesin Ol. VII 44: ἐν δ' ἀρετὰν ἔβαλεν καὶ χάρματ' ἀνθρώποισι Προμαθέος αἰδώς. — 2) intr. *incumbo* Py. IV 201: κάρυξε δ' αὐτοῖς ἐμβαλεῖν κώπαισι τερασκόπος: σπουδαιότερον ἐρέττειν. Schol.

ἐμβασιλεύω *rex sum in, impero* Ne. VII 38: Μολοσσίᾳ δ' ἐμβασίλευεν ὀλίγον χρόνον.

ἔμβολον v. **ἔμβολος** *clavus, cuneus* 1) in prora Py. IV 191: ἐπεὶ δ' ἐμβόλου κρέμασαν ἀγκύρας ὕπερθεν: τοῦ ξύλου, εἰς ὃ ἀναδεσμοῦσι τὴν ἄγκυραν. Schol. — 2) procursus terrae, Landzunge Ol. VII 19: Ἀσίας εὐρυχόρου τρίπολιν νᾶσον πέλας ἐμβόλῳ ναίοντας Ἀργείᾳ σὺν αἰχμᾷ: „Peraeam Cariae intellige, cunei forma in mare exeuntem" Boeckh.

Ἐμμενίδαι *Emmenidae*, gens Agrigentina ab Emmenide retroque a Polynice ducta Ol. III 38: Ἐμμενίδαις Θήρωνί τ' ἐλθεῖν κῦδος εὐίππων διδόντων Τυνδαριδᾶν. Py. VI 4: Πυθιόνικος ἔνθ' ὀλβίοισιν Ἐμμενίδαις ποταμίᾳ τ' Ἀκράγαντι καὶ μὰν Ξενοκράτει ἑτοῖμος ὕμνων θησαυρὸς ἐν πολυχρύσῳ Ἀπολλωνίᾳ τετείχισται νάπᾳ.

ἐμμίγνυμι *immisceo*, per tmesin Py. IV 201: ἔν τ' Ὠκεανοῦ πελάγεσσι μίγεν πόντῳ τ' ἐρυθρῷ Λαμνιᾶν τ' ἔθνει γυναικῶν: adierunt. „male me habet vocula ἐν, quam redundare dictitant veteres interpretes; fort. scribendum ἔν τ' Ὠκεανῷ τενάγεσσι ... i. e. in Oceano et in mari rubro in vada inciderunt" Bergk. Ol. I 93 (90): νῦν δ' ἐν αἱμακουρίαις ἀγλααῖσι μέμικται: „earum compos est" Boeckh. Is. II 29: ἵν ἀθανάτοις Αἰνησιδάμου ἴπαῖδες ἐν τιμαῖς ἔμιχθεν.

ἐμός (sg. m. ἐμοῦ, ἐμόν. f. ἐμά, -ᾶ, -άν, -ᾷ. n. ἐμόν. pl. m. ἐμοί, -ῶν. f. ἐμᾶν. n. ἐμῶν) *meus* 1) c. subst., cui saepius praeponitur quam postponitur fr. 152 (266): κηρίων ἐμὰ γλυκερώτερος ὀμφά. Py. X 76: ἐμοὶ πατέρες. Ol. VI 105: ἐμῶν ὕμνων. Py. VIII 34: ἐμᾷ — ἀμφὶ μαχανᾷ. III 78: παρ' ἐμὸν πρόθυρον. III 109: κατ' ἐμὰν — μαχανάν. Ne. XI 24: ἐμὰν δόξαν: meā sententiā. Ol. X 8. Py. X 64. Ne. III 27. IV 85. Is. V (VI) 42. fr. 205 (221). add. articulus Ne. VII 102: τὸ δ' ἐμὸν — κέαρ, cf. Is. IV (V) 19. — Ol. VI 16: ποθέω στρατιᾶς ὀφθαλμὸν ἐμᾶς. Py. IV 106: πατρὸς ἐμοῦ. Is. I 1: μᾶτερ ἐμά. Ol. VI 84: ματρομάτωρ ἐμά. Ol. X 3. Py. VIII 58. X 56. Is. II 48. — 2) sine subst. Is. VII 38 (VIII 42): τὸ μὲν ἐμόν, Πηλέι γάμον θεόμορον ὀπάσσαι γέρας Αἰακίδᾳ: meum est, meine Aufgabe. Py. V 72: τὸ δ' ἐμόν, γαρύεν ἀπὸ Σπάρτας ἐπήρατον κλέος (Herm., libri γαρύετ' v. γαρύεντ'). (de Ne. VII 85 v. ἑός.)

ἔμπᾰ v. **ἔμπας.**

ἐμπᾱ́γνυμι *infligo* Py. II 91: ἐνέπαξαν ἕλκος ὀδυναρὸν ἑᾷ πρόσθε καρδίᾳ. v. πάγνυμι.

ἔμπᾰλιν *retro, in contrarium,* c. gen. Py. XII 32: ἔμπαλιν γνώμας τὸ μὲν δώσει, τὸ δ' οὔπω: praeter opinionem. Ol. XII 11: πολλὰ δ' ἀνθρώποις παρὰ γνώμαν ἔπεσεν, ἔμπαλιν μὲν τέρψιος, οἱ δ' κτλ.: τὰ ἐναντία τῇ τέρψει, τουτέστι τὰ ἀηδῆ. Schol.

ἔμπᾱς, ἔμπᾱν, ἔμπᾰ *tamen,* plerumque post sent. negativam Py. IV 86: τὸν μὲν οὐ γίνωσκον· ὀπιζομένων δ' ἔμπας τις εἶπεν καὶ τόδε. V 55. add. ἀλλά Ne. XI 44: τὸ δ' ἐκ Διὸς ἀνθρώποις σαφὲς οὐχ ἕπεται τέκμαρ· ἀλλ' ἔμπαν μεγαλανορίαις ἐμβαίνομεν. VI 4. X 82. — Ne. IV 36: ἔμπα, κεἴπερ ἔχει βαθεῖα ποντιὰς ἅλμα μέσσον, ἀντίτειν' ἐπιβουλίᾳ. — apud adi. add. part. περ: *quamvis* Py. IV 237: ἴυξεν δ' ἀφωνήτῳ περ ἔμπας ἄχει δύνασιν Αἰήτας ἀγασθείς.

ἐμπεδόμοχθος *aerumnosus* Ol. I 61 (59): ἔχει δ' ἀπάλαμον βίον τοῦτον ἐμπεδόμοχθον: διηνεκῶς μοχθηρόν. Schol.

ἔμπεδος *stabilis, diuturnus* Py. XII 14: λυγρόν τ' ἔρανον Πολυδέκτᾳ θῆκε ματρός τ' ἔμπεδον δουλοσύναν. Ne. VII 57: οὐκ ἔχω εἰπεῖν, τίνι τοῦτο Μοῖρα τέλος ἔμπεδον ὤρεξε: h. e. ita ut sit ἔμπεδον. — neutr. sg. **ἔμπεδον** *constanter, perpetuo* Py. X 34: ὧν θαλίαις ἔμπεδον εὐφαμίαις τε μάλιστ' Ἀπόλλων χαίρει.

ἐμπεδοσθενής *firmo et integro robore praeditus* Ne. VII 98: εἰ γάρ σφισιν ἐμπεδοσθενέα βίοτον ἁρμόσαις.

ἐμπιπίσκω *imbuo* fr. 111 (77): ἐνέπισε κεκραμέν' ἐν αἵματι.

ἐμπίπτω *incido, irruo desuper,* c. dat. Py. VIII 81: τέτρασι δ' ἔμπετες ὑψόθεν σωμάτεσσι κακὰ φρονέων: „de luctatore, qui adversarium medium prehensum flectit superincumbens et deiicit" Dissen. Ne. VI 57 (51): βαρὺ δ' ἔμπεσέ σφι νεῖκος χαμαὶ καταβὰς Ἀχιλεὺς ἀφ' ἁρμάτων (Kayser., libri δέ σφιν νεῖκος ἔμπεσ', Dissen. sec. schol. δεῖξε, quod rec. Bergk.): „zu schwerem Streit" Mezger. Ne. VII 73: αἴθωνι πρὶν ἀελίῳ γυῖον ἐμπεσεῖν. — met. *insulto* Is. I 68: ἄλλοισι δ' ἐμπίπτων γελᾷ.

ἐμπνέω *inspiro, adspiro,* met. Ol. VIII 70: πατρὶ δὲ πατρὸς ἐνέπνευσεν μένος γήραος ἀντίπαλον. Is. II 40: οὐδέ ποτε ξενίαν οὖρος ἐμπνεύσαις ὑπέστειλ' ἱστίον ἀμφὶ τράπεζαν.

ἐμπολά *merx* Py. II 67: τόδε μὲν κατὰ Φοίνισσαν ἐμπολὰν μέλος ὑπὲρ πολιᾶς ἁλὸς πέμπεται: „h. e. carmen remota e regione trans mare venit ideoque non parvi aestimari debet ab Hierone" Dissen.

ἔμπρᾱκτος *factu facilis* Py. III 62: μή, φίλα ψυχά, βίον ἀθάνατον σπεῦδε, τὰν δ' ἔμπρακτον ἄντλει μαχανάν: τοιούτοις ἐπιχείρει ἃ δύναται πραχθῆναι. Schol.

ἐμπρέπω *excello* Py. VIII 28: τὰ δὲ καὶ ἀνδράσιν ἐμπρέπει (sc. Aegina insula).

ἔμπῠρος *qui crematur,* unde τὰ **ἔμπυρα** *sacrificia et flamma incensarum hostiarum* Ol. VIII 3: Ὀλυμπία, δέσποιν' ἀλαθείας, ἵνα μάντιες ἄνδρες ἐμπύροις τεκμαιρόμενοι παραπειρῶνται Διός: „nota formula δι' ἐμπύρων de vaticinio ex flamma incensarum hostiarum" Boeckh. de inferiis Is. III 81 (IV 63): τῷ μὲν Ἀλεκτρᾶν ὕπερθεν δαῖτα πορσύνοντες ἀστοὶ καὶ νεόδματα στεφανώματα βωμῶν αὔξομεν ἔμπυρα χαλκοαρᾶν ὀκτὼ θανόντων.

ἐμφανής *manifestus* fr. 210 (229): στάσιν, ἄλγος ἐμφανές, κατὰ Πίνδαρον (Plut. de cohib. ira c. 8).

ἐμφλέγω *illumino* Ol. X 73: ἐν δ' ἕσπερον ἔφλεξεν εὐώπιδος σελάνας ἐρατὸν φάος.

ἔμφρων *prudens* Ol. IX 74: ὥστ' ἔμφρονι δεῖξαι μαθεῖν Πατρόκλου βιατὰν νόον: παντὶ ἀνθρώπῳ νοῦν ἔχοντι. Schol.

ἐμφῠής *ingenitus* Ol. XI 20: τὸ γὰρ ἐμφυὲς οὔτ' αἴθων ἀλώπηξ οὔτ' ἐρίβρομοι λέοντες διαλλάξαιντο ἦθος: innatam naturam.

ἐμφῡ́λιος *ad eandem gentem v. tribum pertinens* Py. II 32: ἐμφύλιον αἷμα πρώτιστος οὐκ ἄτερ τέχνας ἐπέμιξε θνατοῖς: h. e. parricidium.

ἐν, ἐνί (plerumque ἐν, in crasi κἠν semel Is. III 43; ter ἐνί Py. VI 18. fr. 129. 163. ἔνι Christ. coni. Is. III 31) *in* (*inter*) I) adv. a) Ol. XIII 22: ἐν δὲ Μοῖσ' ἁδύπνοος, ἐν δ' Ἄρης ἀνθεῖ νέων οὐλίαις αἰχμαῖσιν ἀνδρῶν:

hic, sc. Corinthi. Ne. VII 78: *Μοῖσά τοι κολλᾷ χρυσὸν ἔν τε λευκὸν ἐλέφανθ' ἁμᾶ καὶ λείριον ἄνθεμον.* Ol. VII 5: *ἐν δὲ φίλων παρεόντων θῆκέ νιν ζαλωτὸν ὁμόφρονος εὐνᾶς*: „hac ipsa re" Boeckh.; „atque ita simul" Dissen. fr. 79 (48), 5: *πάρα ῥόμβοι κυμβάλων· ἐν δὲ κεχλάδειν κρόταλ', αἰθομένα δὲ δὰς ὑπὸ ξανθαῖσι πεύκαις*: „et quae simul sonent crepitacula" Dissen. — b) in tmesi, v. *ἐμβάλλω, ἐμμίγνυμι, ἐμφλέγω.* — II) praep. c. dat. (plerumque ante casum legitur, interponuntur autem interdum genitivi, quibus raro part. *μέν, τε* adduntur; part. *δέ, γε, τε, μέν, ποτέ, καί,* singulis locis *τε καί* Py. IX 102, *δ' ἄρα* Py. III 27, *δ' ἄρα καί* fr. 123 (88), 10, *δ' αὖτε* Py. III 96, *γάρ* Ne. IX 27, *κέκρυπτο γάρ* Ol. VI 54 Boeckh. — casum sequitur cum genetivo sexies, interponitur inter subst. et adi. duodecies, inter adi. et subst. *ἐν* quadragies ter, *ἐνί* bis) 1) de loco: in, an, auf, bei a) te terris, urbibus, regionibus Ol. X 43: *ἐν Δελφοῖσιν.* II 43 (39): *ἐν δὲ Πυθῶνι*, cf. Py. III 27. IX 71. Ne. VI 39 (34). XI 23. Ol. VI 5: *ἐν Πίσᾳ*, cf. X 43. Ol. VI 26: *ἐν Ὀλυμπίᾳ.* Ol. XIII 98: *ἐν Νεμέᾳ*, cf. Ne. II 23. III 18. Is. V (VI), 3. 48. Ne. IV 19: *Θήβαις τ' ἐν ἑπταπύλοις*, cf. X 8. Ol. VI 16. XIII 107. Py. III 90. VIII 39 (ad). Is. IV (V) 32. VII 15 (VIII 17). Ol. VII 82: *κρανααῖς ἐν Ἀθάναις*, cf. IX 88. XIII 38. Ne. VIII 11. Is. II 20. fr. 75 (45), 4. Ol. VII 83: *ἐν Ἄργει*, cf. XIII 107 (?). Py. V 70. IX 112. Is. IV (V) 33. fr. 122 (87), 2: *ἐν ἀφνειῷ Κορίνθῳ.* Py. I 77: *ἐν Σπάρτᾳ.* XI 32: *κλυταῖς ἐν Ἀμύκλαις.* Ne. II 14: *ἐν Τρωίᾳ.* Is. I 59: *ἐν Φυλάκᾳ.* II 18: *ἐν Κρίσᾳ.* VII 68 (VIII 75): *ἐν Ἐπιδαύρῳ.* Py. III 101: *ἐν Φθίᾳ.* Ol. VII 86: *ἐν Μεγάροισιν*, cf. Py. VIII 78. Ol. IX 89: *ἐν Μαραθῶνι.* VII 81: *κλεινᾷ τ' ἐν Ἰσθμῷ*, cf. Is. IV (V) 17. Ol. VII 83: *ἐν Ἀρκαδίᾳ.* fr. 93, 3: *ἐν Ἀρίμοις.* Py. X 19: *ἐν Ἑλλάδι.* Ol. I 12: *ἐν πολυμάλῳ Σικελίᾳ.* Py. IV 88: *ἐν δὲ Νάξῳ.* Is. I 8: *ἐν Κέῳ ἀμφιρύτᾳ.* IV (V) 34: *ἐν Οἰνώνᾳ.* fr. 123 (88), 10: *ἐν δ' ἄρα καὶ Τενέδῳ.* Ne. V 22: *ἐν Παλίῳ.* Ol. XIII 92: *ἐν Οὐλύμπῳ*, cf. fr. 87 (58), 4. Ol. XIV 10: *ἐν οὐρανῷ.* Py. I 15: *ἐν αἰνᾷ Ταρτάρῳ.* Ne. IV 49: *ἐν δ' Εὐξείνῳ πελάγει.* fr. 235 (259): *ἀκύμονος ἐν πόντου πελάγει.* Ol. VII 56: *ἐν πελάγει*, cf. Ne. III 23. met. fr. 218 (239), 2: *πελάγει δ' ἐν πολυχρύσοιο πλούτου.* fr. I (4), 6: *ἐν πόντῳ*, cf. Ol. XII 3. Is. IV (V) 5. Ne. X 27: *ἐν πόντοιο πύλαισι.* Ol. II 31 (28): *ἐν καὶ θαλάσσᾳ.* Py. IX 47: *ἐν θαλάσσᾳ καὶ ποταμοῖς.* Ol. VII 57: *ἁλμυροῖς θ' ἐν βένθεσιν.* Py. IV 20: *Τριτωνίδος ἐν προχοαῖς λίμνας.* Ol. XII 4: *ἐν χέρσῳ*, cf. Ne. I 62. IX 43. Py. IV 42: *ἐν τᾷδε — νάσῳ.* III 90: *μελπομενᾶν ἐν ὄρει Μοισᾶν.* VI 21: *ἐν οὔρεσι*, cf. fr. 177 (168), 5 Bgk. Py. II 45: *ἐν Παλίου σφυροῖς.* IV 8: *ἐν ἀργινόεντι μαστῷ.* IX 91: *Νίσου τ' ἐν λόφῳ*, cf. Ne. V 46. Ol. IX 59: *Μαιναλίαισιν ἐν δειραῖς.* Is. III 11: *ἐν βάσσαισιν Ἰσθμοῦ*, cf. Ol. III 23. Py. VI 8: *ἐν πολυχρύσῳ Ἀπολλωνίᾳ — νάπᾳ*, cf. Is. III 12. Py. IX 15: *Πίνδου κλεενναῖς ἐν πτυχαῖς*, cf. Ne. II 21. Py. VI 18. Py. VIII 63: *Πυθῶνος ἐν γυάλοις*, cf. Ne. X 56. Is. VII 54 (VIII 58): *ἐν πεδίῳ*, cf. Ne. I 67. Py. IV 254: *ἐν ἀλλοδαπαῖς — ἀρούραις*, cf. XI 15. Is. III 43 (IV 25): *κὴν γουνοῖς Ἀθανᾶν* (var. *κεἰν*, Boeckh. *κἀν*). Py. IV 16: *Διὸς ἐν Ἄμμωνος θεμέθλοις.* Ne. VII 34: *ἐν Πυθίοισί τε δαπέδοις.* fr. 129 (95), 2: *φοινικορόδοις δ' ἐνὶ λειμώνεσσι.* Ol. XIII 44: *χόρτοις ἐν λέοντος.* Ne. II 5: *Νεμεαίου ἐν πολυυμνήτῳ Διὸς ἄλσει.* Py. XII 27: *Καφισίδος ἐν τεμένει.* Ol. VI 54: *σχοίνῳ βατείᾳ τ' ἐν ἀπειράτῳ.* VI 23: *κελεύθῳ τ' ἐν καθαρᾷ.* Ne. I 25: *ἐν εὐθείαις ὁδοῖς.* X 42: *Κορίνθου τ' ἐν μυχοῖς*, cf. Py. VIII 79. VI 49. Ne. X 61: *δρυὸς ἐν στελέχει.* Ol. I 24: *ἐν εὐάνορι Λυδοῦ Πέλοπος ἀποικίᾳ.* XIII 61: *ἐν ἄστεϊ Πειράνας.* fr. 210 (229): *ἐν πόλεσιν.* Ol. II 64 (58): *ἐν τᾷδε Διὸς ἀρχᾷ.* XIII 6: *ἐν τᾷ*: Corinthi. Is. I 12: *ἐν ᾇ*: Thebis. — b) de iis quae arte fiunt Ol. VI 48: *ἐν οἴκῳ.* Py. IV 53: *πολυχρύσῳ — ἐν δώματι.* IV 113: *ἐν δώμασι*, cf. Ne. I 71. Ne. III 43: *Φιλύρας ἐν δόμοις.* X 88. Py. II 33: *μεγαλοκευθέεσσιν ἔν ποτε θαλάμοις*, cf. III 11. IX 69. fr. 221 (242), 2. Ne. I 31: *ἐν μεγάρῳ.* Ol. IX 86: *ἐν Κορίνθου πύλαις*: ad, ante; cf. Py. VIII 47. Py. IV 268: *ἄλλοις — ἐν τείχεσιν.* Ol. VI 10: *ἐν ναυσὶ κοίλαις*, cf. Py. III 68. Is. V (VI)

30. Ne. V 2: ἔν τ' ἀκάτῳ. Py. IV 194: ἐν πρύμνᾳ. Is. I 57: ἐν γναμπτοῖς δρόμοις: occupati in curriculis. Ol. IX 81: ἐν Μοισᾶν δίφρῳ. Py. III 94: χρυσέαις ἐν ἕδραις. IV 51: ἐν λέχεσιν. Ne. V 30: ἐν λέκτροις. fr. 122 (87), 7: ἐρατειναῖς ἐν εὐναῖς (ἐν add. Boeckh.). Py. IV 114: σπαργάνοις ἐν πορφυρέοις. II 22: ἐν πτερόεντι τροχῷ παντᾷ κυλινδόμενον. Ne. X 36: ἐν ἀγγέων ἕρκεσιν παμποικίλοις. X 6: ἐν κουλεῷ. XI 9: ἀενάοις ἐν τραπέζαις. fr. 234 (258), 2: ἐν δ' ἀρότρῳ. met. Ne. VI (17), 15: ἴχνεσιν ἐν Πραξιδάμαντος ἑὸν πόδα νέμων. de vestimentis Is. V (VI) 37: τὸν μὲν (Herculem) ἐν ῥινῷ λέοντος στάντα. Py. X 13: ἐμβέβακεν ἴχνεσιν πατρὸς Ὀλυμπιονίκα δὶς ἐν πολεμαδόκοις Ἄρεος ὅπλοις, cf. Ne. X 14. Ol. IV 20 (24): χαλκέοισι δ' ἐν ἔντεσι νικῶν δρόμον. met. Ol. VI 8: ἐν τούτῳ πεδίλῳ δαιμόνιον πόδ' ἔχων. — c) de membris corporis Py. III 55: χρυσὸς ἐν χερσὶν φανείς. Ne. I 52: ἐν χερὶ — τινάσσων φάσγανον. Py. II 8: ἐν χερσὶ — ἐδάμασσε πώλους.. Ne. VIII 28: ἐν θερμῷ χροῒ ἕλκεα ῥῆξαν, ubi fort. pro εἰς dictum. met. Py. VIII 32: τὸ δ' ἐν ποσί: „quod nunc praesto est“ Dissen. — nec non de animo Ol. VI 37: ἐν θυμῷ πιέσαις χόλον.- Py. IV 219: ἐν φρασὶ καιομέναν. — d) de personis, in quibus quid apparet Ol. VIII 68: ἀνορέας δ' οὐκ ἀμπλακὼν ἐν τέτρασιν παίδων — γυίοις. IV 24 (28): φύονται δὲ καὶ νέοις ἐν ἀνδράσιν πολιαί. quorum in potestate aliquid est Ol. XIII 104: ἐν θεῷ γε μὰν τέλος: penes. Ne. X 30: πᾶν δὲ τέλος ἐν τὶν ἔργων. Py. X 71, v. ἔνθα. — e) cum verbis motum significantibus, ubi nos praep. εἰς rectius poni censeamus Py. I 74: ἐν πόντῳ βάλεθ' ἁλικίαν. IX 114: ἔστασεν γὰρ ἅπαντα χορὸν ἐν τέρμασιν αὐτίκ' ἀγῶνος. Is. VI (VII) 6: ἐν θυρέτροις σταθείς, cf. Py. IV 85. Ol. XIII 20: τίς γὰρ ἱππείοις ἐν ἔντεσσιν μέτρα sc. ἔθηκε (var. ἐν om., Bergk. coni. ἱππείοισιν). Py. III 38: τείχει θέσαν ἐν ξυλίνῳ σύγγονοι κούραν. Ne. X 70: ἤλασε Λυγκέος ἐν πλευραῖσι χαλκόν. fr. 163 (137): ἐπάξαντο λόγχας ἐνὶ σφίσιν αὐτοῖς. Py. IX 63: νέκταρ ἐν χείλεσσι καὶ ἀμβροσίαν στάξοισι. IX 56: δέξεται — νύμφαν δώμασιν ἐν χρυσέοις. Ne. XI 28: ἀνδησάμενός τε κόμαν ἐν πορφυρέοις ἔρνεσιν. fr. 111 (77): ἐνέπισε κεκραμέν' ἐν αἵματι (var. κεκραμένα, Bergk. coni. νεκροῦ μέλε' αἵματι). Py. II 41: ἐν δ' ἀφύκτοισι γυιοπέδαις πεσών. met. Ol. XIII 16: ἐν καρδίαις ἀνδρῶν ἔβαλον — σοφίσματα. Py. III 64: φίλτρον ἐν θυμῷ μελιγάρυες ὕμνοι — τίθεν. VIII 12: τιθεὶς ὕβριν ἐν ἄντλῳ. fr. 109 (228), 1: τὸ κοινόν τις ἀστῶν ἐν εὐδίᾳ τιθείς. Py. XI 37: θῆκέ τ' Αἴγισθον ἐν φοναῖς. Ne. VIII 43: ἐν ὄμμασι θέσθαι πιστόν. III 62: ἐν φρασὶ πάξαιτο. Py. IV 215: ἐν ἀλύτῳ ζεύξαισα κύκλῳ μαινάδ' ὄρνιν. Py. IV 127: ἐν δαιτὸς δὲ μοίρᾳ — αὐτοὺς Ἰάσων δέγμενος. Is. I 4: Δᾶλος, ἐν ᾇ κέχυμαι. Ol. X 82: ἐν ἅπαντι κράτει αἴθωνα κεραυνὸν ἀραρότα: v. ἄρω. Is. III 41: ἐν ὕπνῳ γὰρ πέσεν. VII (VIII) 6: ἐν ὀρφανίᾳ πέσωμεν. II 26: ἐν γούνασιν πίτνοντα Νίκας. Ne. V 2: Νίκας ἐν ἀγκώνεσσι πίτνων. Ol. VI 7: ἐπικύρσαις — ἐν ἱμερταῖς ἀοιδαῖς. praeterea v. ἐμμίγνυμι. — 2) inter, apud Ol. VIII 53: ἐν ἀνθρώποις, cf. Py. III 21. XII 28. Py. IX 40: ἔν τε θεοῖς — κἀνθρώποις. Ne. III 72: ἐν παισὶ νέοισι παῖς, ἐν ἀνδράσιν ἀνήρ, τρίτον ἐν παλαιτέροισι. Py. II 43: γόνον — οὔτ' ἐν ἀνδράσι γερασφόρον οὔτ' ἐν θεῶν νόμοις. Ol. II 27 (25): ζώει μὲν ἐν Ὀλυμπίοις. Py. II 65: τὰ μὲν ἐν ἱπποσόαισιν ἄνδρεσσι μαρνάμενον, τὰ δ' ἐν πεζομάχαισι. IV 295. V 114. Ne. VII 65. Is. I 31. III 54 ci. IV 59. fr. 105 (72), 3. Py. IV 223: ἐν ἀλλάλοισι. IV 224: ἐν μέσσοις, cf. IX 119. Is. VII 32 (VIII 34). Ne. V 23: ἐν δὲ μέσαις. Py. II 81: ἐν ἀγαθοῖς. Ne. VIII 41: αὔξεται δ' ἀρετὰ — ἐν σοφοῖς ἀνδρῶν ἀερθεῖσ' ἐν δικαίοις τε (Boeckh., om. libri): apud; instrumentalem vim habere praep., ita ut sit: „a poetis“, existimat Mezger. fr. 90 (60), 4: ἐν ζαθέῳ με δέξαι χορῷ (Bergk., vulgo χώρῳ), ubi pro εἰς videtur esse; v. δέκομαι. Ne. VII 94: τετραόροισιν ὧθ' ἁρμάτων ζυγοῖς ἐν τεμένεσσι δόμον ἔχει τεοῖς, ubi praep. pertinet etiam ad ζυγοῖς. Py. I 27: Αἴτνας ἐν μελαμφύλλοις δέδεται κορυφαῖς καὶ πέδῳ: „inter vertices et solum vinctus iacet“ Dissen. fort. etiam Ne. VII 90: ἐν τίν' κ' ἐθέλοι — εὐτυχῶς ναίειν: „in deiner Umarmung“ Mezger.; Dissenius vero: „in tuo praesidio“. cum verbis numerandi Ol. II

86 (78): *Πηλεύς τε καὶ Κάδμος ἐν τοῖσιν ἀλέγονται.* Is. I 34: *γαρύσομαι τοῦδ' ἀνδρὸς ἐν τιμαῖσιν ἀγακλέα τὰν Ἀσωποδώρου πατρὸς αἶσαν.* saepius vis quaedam inest amplificandi atque insigniendi Is. V (VI) 72: *φαίης κέ νιν ἄνδρ' ἐν ἀεθληταῖσιν ἔμμεν Ναξίαν πέτραις ἐν ἄλλαις χαλκοδάμαντ' ἀκόναν.* III 42: *ἀνεγειρομένα χρῶτα λάμπει* (*φάμα*), *Ἀωσφόρος θαητὸς ὣς ἄστροις ἐν ἄλλοις.* Py. X 58: *Ἱπποκλέαν — ἕκατι στεφάνων θαητὸν ἐν ἅλιξι θησέμεν ἐν καὶ παλαιτέροις.* V 112: *θάρσος δὲ τανυπτέροις ἐν ὄρνιξιν αἰετὸς ἔπλετο.* Ne. III 80: *ἔστι δ' αἰετὸς ὠκὺς ἐν ποτανοῖς*: h. e. velocissima avis. Py. IV 281: *κεῖνος γὰρ ἐν παισὶν νέος.* fort. etiam Py. V 50: *ἐν τεσσεράκοντα γὰρ πετόντεσσιν ἁνιόχοις ὅλον δίφρον κομίξαις — ἦλθες.* — 3) cum nominibus rerum a sensibus seiunctarum significat actioni alicui interesse aliquem aut in statu quodam esse et agere aliquid, ita ut interdum etiam quibus rationibus vel instrumentis fiat demonstretur; Ol. II 47 (43): *νέοις ἐν ἀέθλοις ἐν μάχαις τε τιμώμενος.* XIII 15: *ἱεροῖς ἐν ἀέθλοις*, cf. Py. VIII 26. IX 101. Ne. XI 14. Is. I 18. III 44 (IV 26). IV (V), 7. Py. XI 13: *ἐν τῷ* (*ἀγῶνι*), cf. Ne. IV 87. Is. IV (V) 6: *ὠκυθινάτοις ἐν ἁμίλλαισι.* Ne. VI 44 (39): *ἐν ἀμφικτιόνων ταυροφόνῳ τριετηρίδι.* Py. IX 98: *τελεταῖς ὡρίαις ἐν Παλλάδος*, cf. Ol. X 51. Ne. X 34. Ol. XIII 40: *ἐν δ' ἀμφιάλοισι Ποτειδᾶνος τεθμοῖσιν.* Ol. I 21: *ἐν δρόμοισι*, cf. I 97 (94). Py. I 32. Is. I 23: *ἔν τε γυμνοῖσι σταδίοις — ἔν τ' ἀσπιδοδούποισιν ὁπλίταις δρόμοις.* Ne. III 16: *ἐν περισθενεῖ μαλαχθεὶς παγκρατίου στόλῳ.* Ol. X 16: *ἐν Ὀλυμπιάδι νικῶν.* Py. VIII 84: *ἐν Πυθιάδι.* Ne. II 9: *ἐν Πυθίοισι.* III 2: *ἐν ἱερομηνίᾳ Νεμεάδι.* Ol. XIII 33: *ἐν Ἰσθμιάδεσσιν.* Py. III 101: *ἐν πολέμῳ*, cf. Ne. IX 36. X 59. Is. VII 36 (VIII 40). Py. VIII 27: *θοαῖς — ἐν μάχαις*, cf. Ol. II 47 (43). VIII 35. Ne. IX 34. Ne. VIII 25: *ἐν λυγρῷ νείκει.* Ol. IX 76: *οὐλίῳ — ἐν Ἄρει*, cf. Py. V 85. Is. IV (V) 48. Ne. X 78: *ἐν πόνῳ*, cf. Is. III 65 (IV 47). V (VI) 54. fr. 38 (16): *ἐν ἔργμασι.* Is. IV (V) 30: *ἐν μὲν Αἰτωλῶν θυσίαισι φαενναῖς.* fr. 125 (91): *ἐν δείπνοισι Λυδῶν.* Py. V 81: *τεᾷ — ἐν δαιτί*, cf. Ol. IX 112 (Bergk. del.). fr. 193 (205): *ἐν ᾇ* (*ἑορτᾷ*). 139: *ἐν γάμοισι.* 126 (92): *ἐν βίῳ.* 131 (96), 4: *ἐν πολλοῖς ὀνείροις.* Ne. VII 52: *ἐν παντὶ — ἔργῳ*, cf. VIII 49. Ne. III 70: *ἐν δὲ πείρᾳ.* Py. X 67: *ἐν βασάνῳ.* III 43: *βάματι δ' ἐν πρώτῳ.* IX 85: *ἐν μόναις ᾠδῖσιν.* IV 143: *τρίταισιν δ' ἐν γοναῖς.* IV 282: *ἐν δὲ βουλαῖς πρέσβυς.* Ne. IV 94: *ἐν λόγῳ.* Py. IV 59: *ἐν τούτῳ λόγῳ*: „huic Medeae vaticinio convenienter" Boeckh. Ol. II 83 (75): *βουλαῖς ἐν ὀρθαῖσι Ῥαδαμάνθυος* (var. *βουλαῖσιν ὀ.*): secundum iudicia. Ne. XI 17: *ἐν λόγοις δ' ἀστῶν — αἰνεῖσθαι.* Py. V 103: *ἐν ἀοιδᾷ νέων — ἀπύειν.* Ol. I 15: *ἀγλαΐζεται δὲ καὶ μουσικᾶς ἐν ἀώτῳ.* fr. 132 (97), 4: *ἐν ὕμνοις.* Ne. VIII 26: *κρυφίαισι γὰρ ἐν ψάφοις.* fr. 132 (97), 2: *ἐν ἄλγεσιν φονίοις.* Is. I 37: *ἐν κρυοέσσᾳ — συντυχίᾳ.* VI (VII) 27: *ἐν ταύτᾳ νεφέλᾳ.* IV (V) 49: *ἐν πολυφθόρῳ — Διὸς ὄμβρῳ.* Ne. IX 27: *ἐν γὰρ δαιμονίοισι φόβοις.* I 10: *ἐν εὐτυχίᾳ.* I 69: *ἐν εἰράνᾳ.* Py. VI 14: *φάει δὲ πρόσωπον ἐν καθαρῷ.* fr. 203 (217), 2: *ἐν φάει*: palam, cf. Ne. IV 38. Ol. I 85 (83): *ἐν σκότῳ.* Py. II 54: *ἐν ἀμαχανίᾳ.* Ol. XIII 55: *ἐν ἀλκᾷ*: „in robore, *ἐπιειμένοι ἀλκήν*" Dissen. Ne. V 35: *ἐν τάχει*: confestim. Ol. XIII 51: *μῆτίν τε γαρύων παλαιγόνων πόλεμόν τ' ἐν ἡρωίαις ἀρεταῖσιν*: bei. Ne. III 32: *παλαιαῖσι δ' ἐν ἀρεταῖς γέγαθε Πηλεύς*: „im Besitz" Mezger. Ne. I 33: *Ἡρακλέος ἀντέχομαι προφρόνως ἐν κορυφαῖς ἀρετᾶν μεγάλαις*: in, bei. Ol. X 63: *ἀγώνιον ἐν δόξᾳ θέμενος εὖχος, ἔργῳ καθελών* (var. *ἐν δόξαν, ἐνδόξαν, ἐνδόξα, ἔνδοξα*): „gloriose, honorifice" Boeckh. et Dissen. „für eine Ehrensache haltend", Mezger. Ol. VII 69: *ἐν ἀλαθείᾳ*: vere. Ol. VI 12: *ἐν δίκᾳ*: iuste, cf. Ol. II 18 (16). Py. V 14. Ne. V 14. Is. II 38: *ἐν Πανελλάνων νόμῳ*: secundum, cf. Ne. X 28. Py. I 62. Ol. XIV 17: *Λυδίῳ — ἐν τρόπῳ μελέταις τ' ἀείδων.* Py. I 64: *μένειν τεθμοῖσιν ἐν Αἰγιμιοῦ.* Py. I 89: *εὐανθεῖ δ' ἐν ὀργᾷ παρμένων.* Ne. III 58: *ἐν ἁρμένοισι πᾶσι θυμὸν αὔξων.* Py. IV 75: *ἐν φυλακᾷ σχεθέμεν*: cavere. — Ol. II 69 (63): *ἐν χερὸς ἀκμᾷ*: mit; cf. Py. II 5: *ἐν ᾇ* (*τετραορίᾳ*) *κρατέων.* XI 46: *ἐν*

ἅρμασι καλλίνικοι. — de instrumentorum musicorum comitatu v. concentu: sub, ad, inter Is. IV (V) 27: *κλέονται δ' ἔν τε φορμίγγεσσιν ἐν αὐλῶν τε παμφώνοις ὁμοκλαῖς*, cf. Ol. VII 12. Ol. V 19: *Λυδίοις ἀπύων ἐν αὐλοῖς.* Ne. III 79: *πόμ' ἀοίδιμον Αἰολῇσιν ἐν πνοαῖσιν αὐλῶν.* Py. II 69: *τὸ Καστόρειον δ' ἐν Αἰολίδεσσι χορδαῖς.* (eodem Mezgerus pertinere vult Is. I 25, v. *ἵημι.*) fort. etiam Is. IV (V) 53: *ἐν δ' ἐρατεινῷ μέλιτι καὶ τοιαίδε τιμαὶ καλλίνικον χάρμ' ἀγαπάζοντι*: v. *χάρμα.* — 4) cum neutris adiectivorum Ol. X 45: *ἐν καθαρῷ*: in patenti loco. Py. I 82: *πολλῶν πείρατα συντανύσαις ἐν βραχεῖ*: contrahens in breve, v. supra 1) e). Ne. I 69: *ἐν σχερῷ*: continuo et sine interruptione, cf. Ne. XI 39. Is. V (VI) 22. Ne. XI 42: *ἐν ἀμείβοντι*: per vices, alternatim. Ol. XIII 49: *ἐν κοινῷ*: in publica causa, cf. Py. IX 93: *ἐν ξυνῷ*; at fr. 124 (89), 2: *ἐν ξυνῷ*: in communi conventu. Ol. XIII 47: *ἐν ἑκάστῳ*: in quaque re. Py. IV 92: *τᾶν ἐν δυνατῷ φιλοτάτων ἐπιψαύειν*: licitos amores. — Py. III 107: *σμικρὸς ἐν σμικροῖς, μέγας ἐν μεγάλοις ἔσσομαι.* IX 77: *βαιὰ δ' ἐν μακροῖσι ποικίλλειν*: in rebus uberrimis. Is. V (VI) 59: *εἰρήσεται παῦρ' ἐν βραχίστοις.* — 5) de tempore Ol. I 6: *ἐν ἁμέρᾳ*: interdiu, cf. fr. 107 (74), 2. Ol. II 68 (62): *ἐν ἁμέραις.* Ol. I 73 (71): *ἐν ὄρφνᾳ*: noctu, cf. Ol. XIII 70. Py. I 23. Is. III 54 (IV 36): *ὀψίᾳ ἐν νυκτί.* Ol. VI 100: *ἐν χειμερίᾳ νυκτί.* III 34 (IV 16): *ἁμέρᾳ — ἐν μιᾷ.* Py. IV 132: *ἐν ἕκτᾳ.* IV 130: *ἀθρόαις πέντε — νύκτεσσιν ἔν θ' ἁμέραις.* X 18: *ὑστέραισιν ἐν ἁμέραις.* Ne. VIII 31: *ἐν πολυφθόροις ἁμέραις.* Is. VII 44 (VIII 47): *ἐν διχομηνίδεσσιν δὲ ἑσπέραις.* III 83 (IV 65): *ἐν δυθμαῖσιν αὐγᾶν.* Ol. VI 32: *κυρίῳ δ' ἐν μηνί.* Is. II 42: *ἐν δὲ χειμῶνι.* Ne. IX 42: *ἐν ἁλικίᾳ πρώτᾳ.* Py. XI 51: *ἐν ἁλικίᾳ.* Ol. VI 28: *ἐν ὥρᾳ*: tempestive. Py. IV 291: *ἐν δὲ χρόνῳ*: „tempore" Boeckh. „in (nach) einiger Zeit" Passow. Py. III 96: *ἐν δ' αὖτε χρόνῳ*: posteriore tempore. Py. VIII 15: *ἐν χρόνῳ*: aliquando. fr. 147 (114): in tempore. Ol. XII 12: *ἐν μικρῷ — χρόνῳ.* VII 94: *ἐν δὲ μιᾷ μοίρᾳ χρόνου.* VI 36: *ἐν παντὶ χρόνῳ.* VII 26: *νῦν ἐν καὶ τελευτᾷ.* fr. 168 (150): *ἐν καιρῷ*: opportune. Py. VIII 92: *ἐν ὀλίγῳ*: brevi. (Py. I 35 et XI 57 *ἐν* nunc del.) — 6) de *ἐν* aeolice pro *ἐς* dicto v. *εἰς* init.

ἐνᾰγώνιος *in certaminibus versans* Ne. VI 15 (13): *ἦλθέ τοι Νεμέας ἐξ ἐρατῶν ἀέθλων παῖς ἐναγώνιος*: certator. Py. II 10: *ὅ τ' ἐναγώνιος Ἑρμᾶς αἰγλάεντα τίθησι κόσμον*: *ὡς τῶν ἀγώνων προστάτης.* Schol.

ἐναίρω *perimo* Ne. III 47: *κάπρους τ' ἔναιρε* (*Ἀχιλεύς*). X 15: *ἐπεὶ ἐν χαλκέοις ὅπλοις Τηλεβόας ἔναρεν· τῷ δ' ὄψιν ἐειδόμενος ἀθανάτων βασιλεὺς αὐλὰν ἐσῆλθεν* (Herm., libri *ἔναρε· τί οἱ*, Mommsen. sec. schol. *ἐναρόντος ὄψιν*).

ἐνᾰλίγκιος *similis* Is. VII 37 (VIII 41): *υἱὸν — χεῖρας Ἄρεΐ τ' ἐναλίγκιον στεροπαῖσί τ' ἀκμὰν ποδῶν.*

ἐνάλιος v. **εἰνάλιος.**

ἐναλλάξ adv. *per vices* Ne. X 55: *μεταμειβόμενοι δ' ἐναλλὰξ ἁμέραν τὰν μὲν παρὰ πατρὶ φίλῳ Δὶ νέμονται, τὰν δ' ὑπὸ κεύθεσι γαίας.*

ἔναντα *contra* Ne. X 66: *τοὶ δ' ἔναντα στάθεν τύμβῳ σχεδόν.*

ἐναντίος 1) *contrarius* Ne. V 31: *τὸ δ' ἐναντίον ἔσκεν.* neutr. sg. pro adv. c. gen. fr. 229 (253): *δέδενται οὐ φίλων ἐναντίον ἐλθεῖν*: „in conspectum amicorum", Boeckh. — 2) *adversus hostilis.* Is. VI (VII) 28: *λοιγὸν ἄντα φέρων ἐναντίῳ στρατῷ.*

ἐναργής *conspicuus* Ol. VII 42: *ὡς ἂν θεᾷ πρῶτοι κτίσαιεν βωμὸν ἐναργέα*: „sc. in Acropoli" Mezger. fr. 75 (45), 13: *ἐναργέ' ἀνέμων μαντήϊ' οὐ λανθάνει* (Bergk., libri *ἐν ἀργεανεμέω μάντιν* v. *ἐναργέα νεμέω* v. *ἐν ἀργέα νεμέα*; Boeckh. c. Heynio *ἐν Ἀργείᾳ Νεμέᾳ*).

ἐνᾰρίζω *interficio* Ne. VI 52: *φαεννᾶς υἱὸν εὖτ' ἐνάριξεν Ἀόος ἀκμᾷ ἔγχεος ζακότοιο.*

ἐναρίμβροτος *homicida* Py. VI 30: *ἐναρίμβροτον ἀναμείναις στράταρχον Αἰθιόπων Μέμνονα.* Is. VII 53 (VIII 57): *μάχας ἐναριμβρότου ἔργον ἐν πεδίῳ κορύσσοντα.*

ἐναρμόζω *apto*, met. Ol. III 5: *Δωρίῳ φωνὰν ἐναρμόξαι πεδίλῳ ἀγλαόκωμον.* Is. I 16: *ἐθέλω ἢ Καστορείῳ ἢ Ἰολάοι' ἐναρμόξαι νιν ὕμνῳ*: h. e. inserere.

ἔνατος *nonus* fr. 133 (98), 2: κείνων ἐνάτῳ ἔτεϊ ἀνδιδοῖ ψυχάς πάλιν.

Ἐνδαΐς *Endeis*, Chironis filia, uxor Aeaci, mater Pelei et Telamonis Ne. V 12: Ἐνδαΐδος ἀριγνῶτες υἱοί.

ἐνδαίω *accendo*, met. Py. IV 184: τὸν δὲ παμπειθῆ γλυκὺν ἡμιθέοισιν πόθον ἔνδαιεν Ἥρα ναὸς Ἀργοῦς (var. ἔδαιεν).

ἐνδείκνυμι *declaro* Ol. VII 58: ἀπεόντος δ' οὔτις ἔνδειξεν λάχος Ἀελίου: „admonuit, ut etiam huius sors in urnam demitteretur" Dissen. ἀνέμνησεν. Gloss. „videtur scribendum ἤνειξεν i. e. nemo absentis Solis sortem duxit" Bergk.

ἔνδῐκος *iuste debitus* Py. V 103: σφὸν ὄλβον υἱῷ τε κοινὰν χάριν ἔνδικόν τ' Ἀρκεσίλᾳ (var. Ἀρκεσίλα v. Ἀρκεσίλαν): „haec ipsa verba ἔνδικόν τ' Ἀρκεσίλᾳ nimis languent, conieci ἐνδέκοντ' Ἀρκεσίλᾳ, quod εἰσδέχονται potius quam ἐνδέχονται interpretor" Bergk.

ἔνδοθεν *intus* Py. II 74: οὐδ' ἀπάταισι θυμὸν τέρπεται ἔνδοθεν.

ἐνδομᾰ́χας *intus pugnans v. domi suae pugnax* Ol. XII 14: ἤτοι καὶ τεά κεν ἐνδομάχας ἅτ' ἀλέκτωρ συγγόνῳ παρ' ἑστίᾳ ἀκλεὴς τιμὰ κατεφυλλορόησεν ποδῶν: „ut gallus domi pugnans, non in publica certamina productus" Boeckh.

ἔνδον *intus* Is. I 67: εἰ δέ τις ἔνδον νέμει πλοῦτον κρυφαῖον: in domo. Ol. VII 2: φιάλαν — ἔνδον ἀμπέλου καχλάζοισαν δρόσῳ. Is. V (VI) 50: ἀδεῖα δ' ἔνδον νιν ἔκνιξεν χάρις: in animo. — c. gen. Py. XI 64: οἰκέοντας ἔνδον Ὀλύμπου. Ol. VII 62: ἔνδον θαλάσσας αὐξομέναν. II 92 (84): βέλη ἔνδον ἐντὶ φαρέτρας. c. dat. Ne. III 54: τράφε λιθίνῳ Ἰάσον' ἔνδον τέγει. VII 44: ἔνδον ἄλσει παλαιτάτῳ.

ἕνεκα, ἕνεκεν, εἵνεκεν 1) praep. c. gen. *ob* Ol. II 5: Θήρωνα δὲ τετραορίας ἕνεκα νικαφόρου γεγωνητέον. XI 12: τεᾶς, Ἁγησίδαμε, πυγμαχίας ἕνεκεν κόσμον — ἁδυμελῆ κελαδήσω. Ne. VI 39 (34): δυνατοὶ παρέχειν πολὺν ὕμνον ἀγερώχων ἐργμάτων ἕνεκεν. III 83: ἀεθλοφόρου λήματος ἕνεκεν — δέδορκεν φάος. X 3: φλέγεται δ' ἀρεταῖς μυρίαις ἔργων θρασέων ἕνεκεν. Ol. I 102 (99): ὁ νικῶν δὲ — ἔχει μελιτόεσσαν εὐδίαν ἀέθλων γ' ἕνεκεν: „quantum quidem certaminum victoriae praestare possunt" Boeckh. Ol. I 67 (65): τοὔνεκα: ideo, sc. ἀθανάτων ὅτι κλέψαις ἁλίκεσσι συμπόταις νέκταρ ἀμβροσίαν τε δῶκεν, v. 62 (60). — 2) coni. *quod*, ὅτι, weil Ne. IV 87: ἐμὰν γλῶσσαν εὑρέτω κελαδῆτιν, Ὀρσοτριαίνα ἕνεκ' ἀγῶνι βαρυκτύπου θάλησε Κορινθίοις σελίνοις (Bergk., libri ἵν' ἐν, Rauchenstein. et Christ. ὃς ἐν). — daſs Is. VII 33 (VIII 35): εἶπε δ' εὔβουλος ἐν μέσοισι Θέμις (sc. τὰ θέσφατα), εἵνεκεν πεπρωμένον ἦν κτλ.

ἐνελαύνω *infigo* Py. VIII 9: ὁπόταν τις ἀμείλιχον καρδίᾳ κότον ἐνελάσῃ: ἐνθῇ τῇ ἑαυτοῦ καρδίᾳ. Schol.

ἐν(ν)έπω (praes. ἐνέπει, -οισιν. ἐνέποι. ἐννέπων, -οισα. ipf. ἔνεπεν, ἔννεπε(ν), ἤνεπε; ἔνεπον) 1) *dico, loquor*; *voco, appello*, abs. Ol. VIII 41: ἔννεπε δ' ἀντίον ὁρμαίνων τέρας εὐθὺς Ἀπόλλων· Is. VII 45 (VIII 49). c. acc. (et dat.) Ne. VII 69: ἔρχομαι ψάγιον ὄαρον ἐννέπων. Py. IV 242: δέρμα λαμπρὸν ἔννεπεν, ἔνθα νιν ἐκτάνυσαν Φρίξου μάχαιραι. Ol. VIII 82: ἐνέποι κεν Καλλιμάχῳ λιπαρὸν κόσμον. sequ. ὅτι Ol. I 48. acc. c. inf. Ne. I 69. c. dupl. acc. Ne. VI 67 (59): ἀγώνων ἄπο, τοὺς ἐνέποισιν ἱερούς (Bergk. coni. ἱερῶς). fr. 83 (51): ἦν ὅτε σύας τὸ Βοιώτιον ἔθνος ἔνεπον (var. ἔννεπον). c. adv. post or. rectam Ol. I 88 (86): ὣς ἔννεπεν. Ne. X 79: ὣς ἤνεπε (var. ἔνεπε, Heynius ἔννεπε). — 2) *edico, iubeo* Ne. III 75: φρονεῖν δ' ἐνέπει τὸ παρκείμενον. Py. IX 96: κεῖνος αἰνεῖν καὶ τὸν ἐχθρὸν παντὶ θυμῷ σύν γε δίκᾳ καλὰ ῥέζοντ' ἔννεπεν.

ἔνερθε *subtus* Py. IX 81: τὸν — κρύψαν ἔνερθ' ὑπὸ γᾶν διφρηλάτα Ἀμφιτρύωνος σάματι.

ἐνέχω *obstrictum teneo* Py. VIII 49: νῦν ἀρείονος ἐνέχεται ὄρνιχος ἀγγελίᾳ Ἄδραστος: „de fatali necessitate, nunc propter comparationem prioris belli positum" Dissen.

ἔνθᾰ (ἔνθα, ἔνθ' plerumque inchoat sententiam, secundum locum tenet ter, semel tertium) adv. 1) loci *ubi* Py. IV 242: δέρμα λαμπρὸν ἔννεπεν, ἔνθα νιν ἐκτάνυσαν Φρίξου μάχαιραι. Ne. IX 2: ἐς Αἴτναν, ἔνθ'

ἀναπεπταμέναι ξείνων νενίκανται θύραι. Py. V 93. IX 82. X 71 (Bergk. pro *ἐν δ'*). Ne. I 21. IV 47. IX 41. Is. VI (VII) 35. VII 22 (VIII 23). add. *ποτέ* Ol. VII 34. Py. IV 4. ad plura loca refertur Ne. IV 76. saepius etiam *ἔνθα*, quum plenior distinctio — colon v. punctum — antecedat, ab demonstrativo „ibi" nihil fere videtur differre; Ol. II 77 (70): *ἔτειλαν Διὸς ὁδὸν παρὰ Κρόνου τύρσιν· ἔνθα μακάρων νᾶσον ὠκεανίδες αὖραι περιπνέοισιν.* Py. IV 204: *ἐπ' Ἀξείνου στόμα πεμπόμενοι ἤλυθον· ἔνθ' ἁγνὸν Ποσειδάωνος ἔσσαντ' εἰναλίου τέμενος*: „locus est Hieron ad ponti introitum in latere Asiatico, historico tempore celeberrimus" Dissen. Ol. XI 16: *ἔνθα συγκωμάξατ'*: *ἐκεῖ, ἐν ταύτῃ τῇ Λοκρίδι.* Schol.; Mezgerus vero expl.: „eo". Ol. III 26. VI 35. 65. VII 71. VIII 21. Py. IV 212. 253. VI 5. IX 54. 73. Ne. V 38. X 24. Is. III 87 (IV 69). fr. 88 (58), 6. 199 (213). 238 (262). — 2) *quo* Ol. I 44 (43): *ποτὶ δῶμα Διὸς μεταβᾶσαι· ἔνθα δευτέρῳ χρόνῳ ἦλθε καὶ Γανυμήδης.* Py. XI 7: *μαντείων θῶκον, — ἔνθα καί νυν ἐπίνομον ἡρωίδων στρατὸν ὁμαγερέα καλεῖ συνίμεν* (var. *συνέμεν*). — II) temporis: *tum* Py. IX 121: *ἔνθ' Ἀλεξίδαμος — παρθένον κεδνὰν περὶ χειρὸς ἑλὼν ἆγεν.* (de fr. 119 (84), 2 v. *ἐνθένδε*.)

ἐνθάδε *hic* h. e. in terris Ol. II 63 (57): *θανόντων μὲν ἐνθάδ' αὐτίκ' ἀπάλαμνοι φρένες ποινὰς ἔτισαν*, ubi Boeckh. *ἐνθάδε* cum *ἀπάλαμνοι* iungit, cum *ἔτισαν* Mezger. fr. 129 (95): *τοῖσι λάμπει μὲν μένος ἀελίου τὰν ἐνθάδε νύκτα κάτω*: „quum hic terrarum nox est" Boeckh.

ἔνθεν adv. loci 1) *inde* Py. IV 259: *ἔνθεν δ' ὔμμι Λατοίδας ἔπορεν Λιβύας πεδίον σὺν θεῷ τιμαῖς ὀφέλλειν*: *ἐκ τῆς Θήρας.* Schol. Py. V 78: *ἔνθεν ἀναδεξάμενοι* (sc. *ἔρανον*): h. e. ex Thera. — 2) *unde* Ne. X 67: *ἔναντα στάθεν τύμβῳ σχεδὸν πατρωίῳ· ἔνθεν ἁρπάξαντες ἄγαλμ' Ἀίδα κτλ.* fr. 130 (95), 8: *ἔνθεν τὸν ἄπειρον ἐρεύγονται σκότον.*

ἐνθένδε *inde* fr. 119 (84): *ἐν δὲ Ῥόδον κατένασθεν· ἐνθένδ' ἀφορμαθέντες ὑψηλὰν πόλιν ἀμφινέμονται* (var. *ἔνθενδ'*, vulgo *ἔνθ'*).

ἐνθρώσκω *insilio* Py. III 37: *πολλὰν ὄρει πῦρ ἐξ ἑνὸς σπέρματος ἐνθορὸν ἀίστωσεν ὕλαν.*

ἐνί v. **ἐν.**

ἐνιαυτός *annus* Py. IV 104: *εἴκοσι δ' ἐκτελέσαις ἐνιαυτούς.* X 63: *τὰ δ' εἰς ἐνιαυτὸν ἀτέκμαρτον προνοῆσαι.*

Ἐνικεύς v. **Νικεύς.**

ἐνῑπά *reprehensio, probrum* Ol. X 6: *ἐρύκετον ψευδέων ἐνιπὰν ἀλιτοξένων* (libri *ἀλιτόξενον*).

ἐνίπτω *incutio*, met. Py. IV 201: *ἀδείας ἐνίπτων ἐλπίδας.*

ἔννομος *legitimus* Ol. VII 84: *ἀγῶνές τ' ἔννομοι Βοιωτίων*: *οἱ συνήθως κατὰ τοὺς νόμους τελούμενοι.* Schol. Py. IX 57: *ἵνα οἱ χθονὸς αἶσαν αὐτίκα συντελέθειν ἔννομον δωρήσεται*: „legitimam, rite ei tributam, ut ius illi in ea sit" Boeckh.

Ἐννοσίδας *terrae quassator* h. e. Neptunus Py. IV 33: *Εὐρύπυλος Γαιαόχου παῖς ἀφθίτου Ἐννοσίδα.* IV 173: *δοιοὶ δ' ὑψιχαῖται ἀνέρες, Ἐννοσίδα γένος*: *ὁ μὲν Περικλύμενος ἐκ Πύλου, ὁ δὲ Εὔφημος ἐκ Ταινάρου.* Schol.

ἐννῠχιος *nocturnus* Py. III 79: *κοῦραι — σὺν Πανὶ μέλπονται θαμὰ σεμνὰν θεὸν ἐννύχιαι.*

ἔννῠχος *nocturnus* Py. XI 25: *ἢ ἑτέρῳ λέχεϊ δαμαζομέναν ἔννυχοι πάραγον κοῖται* (var. *ἐννύχιοι, ἔννυχον*);

ἐνοπά *strepitus* fr. 168 (150): *καὶ τότ' ἐγὼ σαρκῶν τ' ἐνοπὰν εἶδον ἠδ' ὀστέων στεναγμὸν βαρύν.*

ἐνόπλιος *armatus* Ol. XIII 86: *ἀναβὰς δ' εὐθὺς ἐνόπλια χαλκωθεὶς ἔπαιζεν*: „lusit in armis ludicros motus, ut qui saltant in armis, quae est *ἐνόπλιος ὄρχησις.*" Boeckh. et Dissen. „er übte das Waffenspiel" Mezger.

ἐνόρκιος *iuratus* Ol. II 101 (92): *αὐδάσομαι ἐνόρκιον λόγον ἀλαθεῖ νόῳ*: „ut in magna laude et quum obtrectatores haberet rex (Thero)" Dissen.

ἐνσκίμπτω *infligo* Py. III 58: *αἴθων δὲ κεραυνὸς ἐνέσκιμψεν μόρον* (var. *ἐνέσκηψε*).

ἐντᾰνύω *intendo* Py. IV 227: *ὀρθὰς δ' αὔλακας ἐντανύσαις ἤλαυν'*:

„tendens rectos ut intentum funem" Dissen. (de Py. IV 129 v. *τανύω*.)

ἔντεα pl. (*ἐντέων*, *ἔντεσ(σ)ιν*, *ἔντεα*) *instrumenta* 1) bellica: arma Ol. IV 20 (24): *χαλκέοισι δ' ἐν ἔντεσι νικῶν δρόμον.* — 2) navalia, met. Ne. IV 70: *ἀπότρεπε αὖτις Εὐρώπαν ποτὶ χέρσον ἔντεα ναός*: „remos et vela" Dissen. — 3) equestria: frena Ol. XIII 20: *τίς γὰρ ἱππείοις ἐν ἔντεσσιν μέτρα* (sc. *ἔθηκε*); Py. IV 235: *βοέους δήσαις ἀνάγκᾳ ἔντεσιν αὐχένας* (Bergk., libri *ἀνάγκας* v. *ἀνάγκαις*). currus Py. V 34: *κατέκλασε γὰρ ἐντέων σθένος οὐδέν.* fr. 301: *καὶ Πίνδαρος τὰ ἅρματα ἔντεά φησιν· ἱππείοις ἔντεσι μεταΐσσων* (Schol. Il. ω 277). currus cum equis Ne. IX 22: *ἐς ἄταν σπεῦδεν ὅμιλος ἱκέσθαι χαλκέοις ὅπλοισιν ἱππείοις τε σὺν ἔντεσιν.* — 4) musica Ol. VII 12: *φόρμιγγι παμφώνοισί τ' ἐν ἔντεσιν αὐλῶν.* Py. XII 21: *ὄφρα τὸν Εὐρυάλας — σὺν ἔντεσι μιμήσαιτ' ἐρικλάγκταν γόον.*

ἐντέλλω *mando* Ol. VII 39: *Ὑπεριονίδας μέλλον ἔντειλεν φυλάξασθαι χρέος παισὶν φίλοις.*

ἐντολά *praeceptum* fr. 177 (167): *αἱ δὲ Χείρωνος ἐντολαί* (Boeckh. c. Putschio *ἐντολάς*) „Chironis praecepta illa sunt, quae Chiron Achilli dederat" Boeckh.

ἐντῡνω, ἐντῠω *instruo, impello*, c. acc. Py. IV 181: *ἑκὼν θυμῷ γελανεῖ θᾶσσον ἔντυνεν βασιλεὺς ἀνέμων Ζήταν Κάλαΐν τε πατὴρ Βορέας.* add. infin. Ne. IX 36: *οὕνεκεν ἐν πολέμῳ κείνα θεὸς ἔντυεν αὐτοῦ θυμὸν αἰχματὰν ἀμύνειν λοιγὸν Ἐνυαλίου.* Py. IX 66: *ἔντυεν τερπνὰν γάμου κραίνειν τελευτάν.* part. fut. Ol. III 28: *εὖτέ νιν ἀγγελίαις Εὐρυσθέος ἔντυ' ἀνάγκα πατρόθεν χρυσόκερων ἔλαφον ἄξονθ', ἅν ποτε κτλ.*

Ἐνῡάλιος *Enyalius s. Mars* Is. V (VI) 54: *Αἴαντα, λαῶν ἐν πόνοις ἔκπαγλον Ἐνυαλίου.* Ne. IX 37: *οὕνεκεν ἐν πολέμῳ κείνα θεὸς ἔντυεν αὐτοῦ θυμὸν αἰχματὰν ἀμύνειν λοιγὸν Ἐνυαλίου.* Ol. XIII 106: *Δὶ τοῦτ' Ἐνυαλίῳ τ' ἐκδώσομεν πράσσειν: τῷ μὲν Διΐ, ὅτι ὁ ἀγὼν αὐτῷ ἀνάκειται καὶ τελεῖται· τῷ δὲ Ἄρεϊ, ἐπειδὴ ἐπιχώριος καὶ πατρῷος τῶν Ἠλείων ὁ Ἄρης.* Schol.

ἐνύπνιον *somnium* Ol. XIII 79: *ἐνυπνίῳ δ' ἃ τάχιστα πιθέσθαι κελήσατό νιν.* fr. 289 (234): *Πινδάρου· Πίνδαρος εἶπε τὰς ἐλπίδας εἶναι ἐγρηγορότων ἐνύπνια* (Stob. Flor. CXI 12).

ἕξ *sex* Ol. I 92 (89): *ἓξ ἀρεταῖσι μεμαότας υἱούς.* Is. I 11: *στεφάνους ἓξ ὤπασεν.* Ol. V 5: *βωμοὺς ἓξ διδύμους ἐγέραρεν.* XIII 107: *τὰ δ' ὑπ' ὀφρύι Παρνασίᾳ ἕξ· Ἄργεϊ δ' ὅσσα καὶ ἐν Θήβαις* (Bergk., libri *ἓξ ἄρατο ἐν ἄργεϊ δ'*, v. *ἓξ, ἄργει θ'* v. *ἐν ἄργει δ'*; Boeckh. *Παρνασίᾳ, ἐν Ἄργεϊ θ'*). Ne. XI 19: *ἓξ καὶ δέκ' Ἀρισταγόραν ἀγλααὶ νῖκαι — ἐστεφάνωσαν* (var. *ἑκκαίδεκ'*).

ἐξάγω *educo, eximo*, met. Py. III 51: *τοὺς μὲν — λύσαις ἄλλον ἀλλοίων ἀχέων ἔξαγεν* (Aesculapius).

ἐξαίρετος (sg. m. f. *ἐξαίρετον*. pl. n. *ἐξαιρέτοις*) *eximius, egregius, exquisitus* Py. IV 122: *ἐξαίρετον γόνον ἰδὼν κάλλιστον ἀνδρῶν.* Ol. IX 27: *ἐξαίρετον Χαρίτων νέμομαι κᾶπον.* Is. I 65: *Πυθῶθεν Ὀλυμπιάδων τ' ἐξαιρέτοις Ἀλφεοῦ ἔρνεσι φράξαι χεῖρα.* Ol. X 24: *ἀγῶνα δ' ἐξαίρετον ἀεῖσαι.* Py. II 30: *ἐξαίρετον ἔχε μόχθον.* Ne. I 70: *καμάτων μεγάλων ποινὰν λαχόντ' ἐξαίρετον.*

ἐξαιρέω *eximo, eripio, promo* Ol. I 26: *ἐπεί νιν καθαροῦ λέβητος ἔξελε Κλωθώ.* fr. 172 (158), 5: *ἐξεῖλε Μήδειαν ἐκ Κόλχων δόμων* (Bergk., libri *εἷλε*). met. Ne. IV 8: *ῥῆμα δ' ἐργμάτων χρονιώτερον βιοτεύει, ὅ τι κε σὺν Χαρίτων τύχᾳ γλῶσσα φρενὸς ἐξέλῃ βαθείας* (Bergk. c. schol. et paraphr., libri *ἐξέλοι*).

ἐξαίρω *aufero, reporto*, met. Ol. IX 10: *ἀκρωτήριον Ἄλιδος —, τὸ δή ποτε Λυδὸς ἥρως Πέλοψ ἐξάρατο κάλλιστον ἕδνον Ἱπποδαμείας: ὃ προσεκτήσατο Πέλοψ λαβὼν τὴν Ἱπποδάμειαν.* Schol.

ἐξαίφνας *repente* Ol. IX 52: *Ζηνὸς τέχναις ἀνάπωτιν ἐξαίφνας ἄντλον ἑλεῖν.*

ἑξάκις *sexies* Ol. VII 86: *Αἴγινα τ' νικῶνθ' ἑξάκις* (sc. *ἔγνω νιν*).

ἐξαλλασσω *immuto*, aor. gnom. Is. III 18: *αἰὼν δὲ κυλινδομέναις ἁμέραις ἄλλ' ἄλλοτ' ἐξάλλαξεν.*

ἐξανίημι *emitto, edo* Py. IV 99: *τίς ἀνθρώπων σε χαμαιγενέων πολιᾶς ἐξανῆκεν γαστρός;*: vox plebeia.

ἐξανίστημι *exsurgere facio, expello* Py. IV 49: *τότε γὰρ ἐξανίσταν-ται (Δαναοὶ) Λακεδαίμονος*: praesens propheticum pro futuro.

ἐξᾰπᾰτάω *fallo, decipio* Ol. I 29: *βροτῶν φάτις ὑπὲρ τὸν ἀλαθῆ λόγον. δεδαιδαλμένοι ψεύδεσι ποικίλοις ἐξαπατῶντι μῦθοι.*

ἐξαπίνᾱς *repente* Py. IV 273: *ἐπὶ χώρας αὖτις ἕσσαι (πόλιν) δυσπαλὲς δὴ γίνεται, ἐξαπίνας εἰ μὴ θεὸς ἁγεμόνεσσι κυβερνατὴρ γένηται.*

ἐξάρῐθμος *qui est senarii numeri* Ol. X 25: *ἀγῶνα —, ὃν ἀρχαίῳ σάματι πὰρ Πέλοπος βωμῶν ἑξάριθμον ἐκτίσσατο*: h. e. „eine Sechszahl von Altären habend, cf. Ol. V 5“ Mezger., quod quum plerique probent, Bergkius durum et insolens genus dicendi censens respuit atque e coni. ἰσάριθμον scribens cum gen. *βωμῶν* coniunctum vertit: „Hercules sicut senas aras ita etiam totidem certaminum genera instauravit“.

ἐξαρκέω *plane sufficio* Ol. V 24: *ἐξαρκέων κτεάτεσσι καὶ εὐλογίαν προστιθείς*: „sat magnas opes habens“ Dissen. c. dat. Ne. I 32: *ἔραμαι — ἐόντων εὖ τε παθεῖν καὶ ἀκοῦσαι φίλοις ἐξαρκέων* (sc. *αὐτῶν*): sufficienter ac largiter inde praebens.

ἐξάρχω *auspicor* Ne. II 25: *ἀδυμελεῖ δ' ἐξάρχετε φωνᾷ.*

ἐξαυδάω *eloquor* Ne. X 80: *καὶ τόδ' ἐξαύδασ' ἔπος·*

ἐξειπεῖν *enarrare* Is. I 60: *πάντα δ' ἐξειπεῖν — ἀφαιρεῖται βραχὺ μέτρον ἔχων ὕμνος.*

ἐξελέγχω *examino, indico, enumero* Ol. X 53: *ὅ τ' ἐξελέγχων μόνος ἀλάθειαν ἐτήτυμον Χρόνος.* Ne. X 46: *ἀλλὰ χαλκὸν μυρίον οὐ δυνατὸν ἐξελέγχειν.*

ἐξέλκω *extraho, eripio* Py. I 75: *Ἑλλάδ' ἐξέλκων βαρείας δουλείας.*

ἐξενέπω *eloquor* Ne. IV 33: *τὰ μακρὰ δ' ἐξενέπειν ἐρύκει με τεθμὸς ὧραί τ' ἐπειγόμεναι.* Ol. VIII 20: *ἐξένεπε κρατέων πάλᾳ δολιχήρετμον Αἴγιναν πάτραν*: promulgavit; *ἀνακηρυχθῆναι ἐποίησε.* Schol.

ἐξερεθίζω *lacesso, provoco* Py. VIII 13: *τὰν οὐδὲ Πορφυρίων μάθεν παρ' αἶσαν ἐξερεθίζων.*

ἐξερείπω *prosterno, amputo* Py. IV 264: *εἰ γάρ τις ὄζους ὀξυτόμῳ πελέκει ἐξερείψῃ κὰμ μεγάλας δρυός* (Bergk. libri *ἐξερείψαι κε*, Herm. *ἐξε. μὲν*).

ἐξερευνάω v. **ἐρευνάω.**

ἐξερωτάω *interrogo* Py. IX 44: *κούρας δ', ὁπόθεν, γενεὰν ἐξερωτᾷς, ὦ ἄνα;*

ἑξέτης *sexennis* Ne. III 49: *σώματα δὲ παρὰ Κρονίδαν Κένταυρον ἀσθμαίνοντα κόμιζεν, ἑξέτης τοπρῶτον, ὅλον δ' ἔπειτ' ἂν χρόνον.*

ἐξευρίσκω (aor. *ἐξεῦρε. ἐξεύρωμεν. ἐξευρεῖν. ἐξευρών, -όντα*) 1) *invenio* Is. VII (VIII) 4: *ἀέθλων ὅτι κράτος ἐξεῦρε*: adeptus est. Py. I 60: *Αἴτνας βασιλεῖ φίλιον ἐξεύρωμεν ὕμνον*: excogitemus, cf. Ne. VIII 20: *νεαρὰ δ' ἐξευρόντα δόμεν βασάνῳ ἐς ἔλεγχον, ἅπας κίνδυνος.* — 2) *exploro, exquiro* Is. III 74 (IV 56): *πολιᾶς ἁλὸς ἐξευρὼν θέναρ.* fr. 234 (258), 3: *κάπρῳ δὲ βουλεύοντα φόνον κύνα χρὴ τλάθυμον ἐξευρεῖν.*

ἐξεύχομαι *glorior* Ol. XIII 61: *τοῖσι μὲν* (Danais h. e. Diomedi) *ἐξεύχετ' ἐν ἄστεϊ Πειράνας σφετέρου πατρὸς ἀρχὰν καὶ βαθὺν κλᾶρον ἔμμεν.*

ἑξηκοντάκι *sexagies*, met. Ol. XIII 99: *ἀλαθής τέ μοι ἔξορκος ἐπέσσεται ἑξηκοντάκι δὴ ἀμφοτέρωθεν ἁδύγλωσσος βοὰ κάρυκος ἐσλοῦ*: h. e. „persaepe“ Christ. Iahn. Ann. N. 1879 p. 11.

ἐξίημι *emitto* Is. I 25: *καὶ λιθίνοις ὁπότ' ἐκ δίσκοις ἵεν* (Bergk., libri *ὁπότε δίσκοις*, Boeckh. *ὁπότ' ἐν*, Kayser. *ὁπότ' αὖ δίσκους*): h. e. „*ἐκ χερῶν ἵεν*“ Bergk. de velis, met. Py. I 91: *ἐξίει δ' ὥσπερ κυβερνάτας ἀνὴρ ἱστίον ἀνεμόεν*: „expande velum liberalitatis“ Dissen.

ἐξικνέομαι *accedo, advenio* Ne. X 64: *λαιψηροῖς δὲ πόδεσσιν ἄφαρ ἐξικέσθαν.* Py. III 76: *κείνῳ φάος ἐξικόμαν κε βαθὺν πόντον περάσαις.* — c. acc. pers. v. rei: *pervenio ad, consequor* Py. XI 35: *Στρόφιον ἐξίκετο.* IV 266: *εἴ ποτε χειμέριον πῦρ ἐξίκηται λοίσθιον* (sc. *δρῦς*): h. e. quando igni cremetur. Is. VI (VII) 44: *βραχὺς ἐξικέσθαι χαλκόπεδον θεῶν ἕδραν.* VI (VII) 19: *ὅ τι μὴ σοφίας ἄωτον ἄκρον κλυταῖς ἐπέων ῥοαῖσιν ἐξίκηται ζυγέν.*

ἐξίστημι fr. 299 (271): *ἐξεστηκὼς* (Pindarice *ἐξεστακὼς*) *διχῶς λέγεται παρὰ Θουκυδίδῃ καὶ Πινδάρῳ, ὅτε μὲν τὸ μαίνεσθαι καὶ ἔκφρονα*

εἶναι, ὁτὲ δὲ τὸ ὑπαναχωρεῖν καὶ ὑπεξέρχεσθαι ἢ ἀφίστασθαι [*δηλοῖ*] (Et. Gud. 193, 9 et Et. Flor. Miller. Misc. 327).

ἐξοπίσω *in posterum* Ol. VII 68: *ἐς αἰθέρα νιν πεμφθεῖσαν ἑᾷ κεφαλᾷ ἐξοπίσω γέρας ἔσσεσθαι.*

ἔξορκος *iuratus, iuramento adactus* Ol. XIII 99: *ἀλαθής τέ μοι ἔξορκος ἐπέσσεται ἑξηκοντάκι δὴ ἀμφοτέρωθεν ἁδυγλωσσος βοὰ κάρυκος ἐσλοῦ* (var. *ἐξ ὅρκος, ἐξόρκος*): „vox praeconis iurata dicitur, quia praeco iuratus est ut iudex" Boeckh. Dissentiunt Bergk. et Christ., quorum ille *εἷς ὅρκος* novavit, hic *ἔξορκος — βοὰ* commendat interpretatus: „vox multis iuramentis confirmata", v. Iahn. Ann. N. 1879 p. 11.

ἔξοχος (sg. m. f. *ἔξοχον*. pl. m. *ἔξοχοι*. n. *ἔξοχ(α)*. comp. *ἐξοχώτερος*. superl. m. *ἐξοχώτατοι*. f. *ἐξοχώταται*. n. *ἐξοχώτατα*. — adv. *ἐξόχως*) *excellens, praestans, eximius* Ne. I 60: *προφάταν ἔξοχον, ὀρθόμαντιν Τειρεσίαν.* II 18: *ὅσσα δ' ἀμφ' ἀέθλοις, Τιμοδημίδαι ἐξοχώτατοι προλέγονται.* fr. 106 (73), 4: *Σκύριαι δ' ἐς ἄμελξιν γλάγους αἶγες ἐξοχώταται* (var. *ἐξοχώτατοι*, quod tuetur Nauck. Philol. IX 176). Ne. III 71: *ἐν δὲ πείρᾳ τέλος διαφαίνεται, ὧν τις ἐξοχώτερος γένηται*: „vor wem nämlich einer hervorragt" Mezger. Ol. VI 51: *πέρι θνατῶν δ' ἔσεσθαι μάντιν ἐπιχθονίοις ἔξοχον.* — Ne. IV 52: *βουβόται τόθι πρῶνες ἔξοχοι κατάκεινται*: „eximii ad pascendos boves" Damm.; propriam vim intellegit Mezgerus: „eminentes". Py. IX 53: *Διὸς ἔξοχον ποτὶ κᾶπον ἐνεῖκαι.* Ne. VI 54 (47): *ἐπεί σφιν Αἰακίδαι ἔπορον ἔξοχον αἶσαν ἀρετὰς ἀποδεικνύμενοι μεγάλας.* — neutr. plur. pro adv. *praecipue, maxime, imprimis*, c. gen. Ol. I 2: *ὁ δὲ χρυσὸς αἰθόμενον πῦρ ἅτε διαπρέπει νυκτὶ μεγάνορος ἔξοχα πλούτου.* Py. V 26: *φιλεῖν δὲ Κάρρωτον ἔξοχ' ἑταίρων.* Ol. VIII 23: *ἔνθα — ἀσκεῖται Θέμις ἔξοχ' ἀνθρώπων*: „praeterquam apud ceteros homines" Boeckh. superl. Ne. IV 92: *τὰ δ' αὐτὸς ἄντα τύχῃ, ἔλπεταί τις ἕκαστος ἐξοχώτατα φάσθαι*: praeclarissime. — adv. **ἐξόχως** *imprimis*, c. gen. Ol. IX 69: *υἱὸν δ' Ἄκτορος ἐξόχως τίμασεν ἐποίκων Αἰγίνας τε Μενοίτιον.*

ἐξύπερθε *desuper* fr. 53 (25): *χρύσεαι δ' ἐξύπερθ' αἰετοῦ ἄειδον Κηληδόνες* (Bergk., libri *ἐξ ὑπερῴου* [v. *ὑπαρέτου, ὑπηρέτου, ὑπερέτου*] *ἄειδον*).

ἐξυφαίνω *pertexo*, met. Ne. IV 45: *ἐξύφαινε, γλυκεῖα, καὶ τόδ' αὐτίκα, φόρμιγξ, Λυδίᾳ σὺν ἁρμονίᾳ μέλος πεφιλημένον.* Py. IV 275: *τὶν δὲ τούτων ἐξυφαίνονται χάριτες*: h. e. fortuna propitia parantur, contingunt.

ἔξω *extra* Py. III 83: *τὰ μὲν ὦν* (haec plura mala) *οὐ δύνανται νήπιοι κόσμῳ φέρειν, ἀλλ' ἀγαθοί, τὰ καλὰ τρέψαντες ἔξω*: „ex proverbiali usu a vestibus translatum est" Boeckh. *τὸν βίον τῶν ἀνθρώπων φησὶ κοινῇ μὲν πάντων ἔχειν πήματα, ταῦτα δὲ τοὺς μὲν ἄφρονας ἐν φανερῷ παρέχειν, τοὺς δὲ σώφρονας μετὰ κόσμου φέρειν ἀποκρυπτομένους καὶ τὰ καλὰ τοῦ βίου ἔξω τρέποντας.* Schol. — c. gen. *extra, ex* Py. I 44: *ἔλπομαι μὴ χαλκοπάραον ἄκονθ' ὡσείτ' ἀγῶνος βαλεῖν ἔξω.* XI 39: *ἤ μέ τις ἄνεμος ἔξω πλόου ἔβαλεν.* fr. 218 (239): *ἀνίκ' ἀνθρώπων καματώδεες οἴχονται μέριμναι στηθέων ἔξω.* Is. V (VI) 72: *γλῶσσα δ' οὐκ ἔξω φρενῶν.* Ol. VII 47: (*λάθας νέφος*) *παρέλκει πραγμάτων ὀρθὰν ὁδὸν ἔξω φρενῶν.*

ἔοικα (perf. ind. *ἔοικεν*. part. sg. m. *εἰκώς, ἐοικότ(α)*. n. *ἐοικός, εἰκός*. pl. n. *ἐοικότα*) 1) *similis sum*, v. partic. — 2) *videor, credo* Ol. XIII 102: *τὰ δ' Ὀλυμπίᾳ αὐτῶν ἔοικεν ἤδη πάροιθε λελέχθαι*: „cum emphasi positum, ut passim fit in re aperta, luculenta" Dissen. — 3) *convenit, decet* Ne. IV 32: *ἐπεὶ ῥέζοντά τι καὶ παθεῖν ἔοικεν.* fr. 42 (171), 4: *ταύταν* (*ἄταν*) *σκότει κρύπτειν ἔοικε.* Is. I 52: *ἄμμι δ' ἔοικε Κρόνου σεισίχθον' υἱὸν γείτον' ἀμειβομένοις εὐεργέταν ἁρμάτων ἱπποδρόμιον κελαδῆσαι.* — Partic. 1) *similis*, c. dat. Is. III 63: *τόλμᾳ γὰρ εἰκὼς θυμὸν ἐριβρεμετᾶν θηρῶν λεόντων ἐν πόνῳ* (Christ. c. Hartungio *τόλμαν* . . *θυμῷ*, Mein. *εἴκων*). — 2) *probabilis, verisimilis* Py. I 34: *ἐοικότα γὰρ καὶ τελευτᾷ φερτέρου νόστου τυχεῖν*: h. e. *ἐοικός ἐστι.* — 3) *decens, conveniens, consentaneus* Ol. I 36: *ἔστι δ' ἀνδρὶ φάμεν ἐοικὸς ἀμφὶ δαιμόνων καλά.* Ne. II 10: *ἔστι δ' ἐοικὸς ὀρειᾶν γε Πελειάδων μὴ τηλόθεν Ὠαρίωνα νεῖσθαι.* fr. 81 (49), 3: *οὐ*

γὰρ εἰκὸς (Boeckh. ἐοικὸς) τῶν ἐόντων ἁρπαζομένων — καθῆσθαι. — c. subst. Is. IV (V) 24: μὴ φθόνει κόμπον τὸν ἐοικότ' ἀοιδᾷ κιρνάμεν ἀντὶ πόνων. Ol. IV 25 (30): παρὰ τὸν ἁλικίας (var. ἁλικίαις) ἐοικότα χρόνον. Ne. VII 58: τὶν δ' ἐοικότα καιρὸν ὄλβου δίδωσι. sine subst. Py. II 29: τάχα δὲ παθὼν ἐοικότ' ἀνὴρ ἐξαίρετον ἕλε μόχθον. Ne. III 19: ἐὼν καλὸς ἔρδων τ' ἐοικότα μορφᾷ. Py. III 59: χρὴ τὰ ἐοικότα πὰρ δαιμόνων μαστευέμεν θναταῖς φρασίν: naturae suae congrua.

ἑορτά (sg. ἑορτά, -άν. pl. ἑορταῖς) *dies festus, festum, sollemne* Ne. IX 11: ὃς τότε μὲν βασιλεύων κεῖθι νέαισί θ' ἑορταῖς ἰσχύος τ' ἀνδρῶν ἁμίλλαις ἅρμασί τε γλαφυροῖς ἄμφαινε κυδαίνων πόλιν: dicuntur „sollemnia sacrificia, quae Apollini dicata; nam ἑορτή est sacrificiorum dies, a quo differunt dies ludorum“ Dissen. Ol. V 5: βωμοὺς ἓξ διδύμους ἐγέραρεν ἑορταῖς θεῶν μεγίσταις ὑπὸ βουθυσίαις. VI 69: εὖτ' ἂν Ἡρακλέης — πατρὶ ἑορτάν τε κτίσῃ πλειστόμβροτον τεθμόν τε μέγιστον ἀέθλων. X 58: πενταετηρίδ' — ἔστασεν ἑορτὰν σὺν Ὀλυμπιάδι πρώτᾳ νικαφορίαισί τε. Ne. XI 27: πενταετηρίδ' ἑορτὰν Ἡρακλέος τέθμιον κωμάσαις: Olympia. fr. 193 (205): πενταετηρὶς ἑορτὰ βουπομπός: Pythia. Ol. III 34: ἐς ταύταν ἑορτὰν ἵλαος — νίσσεται: ad Theoxenia Agrigentinorum. Ol. VI 95: ἀμφέπει Δάματρα λευκίππου τε θυγατρὸς ἑορτάν: ἐν τῇ Σικελίᾳ τὰ τῆς Περσεφόνης ἀνακαλυπτήρια ἐτελεῖτο. Schol. „sed etiam Θεογάμια et Ἀνθεσφόρια Sicula Proserpinae sollemnia sunt“ Boeckh. Py. VIII 66: οἴκοι δὲ πρόσθεν ἁρπαλέαν δόσιν πενταεθλίου σὺν ἑορταῖς ὑμαῖς ἐπάγαγες: „vestra sollemnia (Delphinia Aeginetica), Apollo, h. e. tua et Dianae, ut videtur, quum his duobus diis coniunctim consecrata fuisse videantur, ut Delphinia Attica“ Dissen.

ἑός (sg. m. ἑόν f. ἑᾶς, ἑᾷ, ἑάν. n. ἑῷ, ἑόν. pl. f. ἑαῖς. digammatis vestigium exstare videtur Ne. III 15) pron. poss. *suus, sein, ihr* 1) c. subst., cui plerumque praeponitur; Ol. X 38: ἴδε πατρίδα πολυκτέανον — εἰς ὀχετὸν ἄτας ἵζοισαν ἑὰν πόλιν. Py. II 91: ἐνέπαξαν ἕλκος ὀδυναρὸν ἑᾷ πρόσθε καρδίᾳ. Ol. VI 60: αἰτέων λαοτρόφον τιμάν τιν' ἑᾷ κεφαλᾷ. Ne. III 15: παλαίφατον ἀγορὰν οὐκ ἐλεγχέεσσιν Ἀριστοκλείδας ἑὰν ἐμίανε κατ' αἶσαν (ἑὰν Pauw. sec. schol. 2, libri vett. et schol. 1 τεὰν, Tricl. τὰν): „lectio τεὰν orta ex antiqua scriptura Ϝεὰν“ Bergk., quam scripturam recepit Christ.; v. tamen αἶσα. Ne. VI 17 (15): ἑὸν πόδα νέμων. Py. II 41: τὸν δὲ τετράκναμον ἔπραξε δεσμόν, ἑὸν ὄλεθρον ὅγ'. IV 269: ἑὸν ἐρημώσαισα χῶρον (δρῦς). Is. IV (V) 42: τίς ἄρ' ἐσλὸν Τήλεφον τρῶσεν ἑῷ δορὶ Καΐκου παρ' ὄχθαις (pro ἑῷ Bergk. coni. ἑλὼν). Py. IX 38: μῆτιν ἑὰν εὐθὺς ἀμείβετο. Ne. I 45: δισσαῖσι δοιοὺς αὐχένων μάρψαις ἀφύκτοις χερσὶν ἑαῖς ὄφιας. Ol. VII 5: συμποσίου τε χάριν κᾶδός τε τιμάσαις ἑόν: „fort. νέον scribendum“ Bergk. Is. V (VI) 69: ξυνὸν ἄστει κόσμον ἑῷ προσάγων. in sententiis pendentibus Py. IV 159: κέλεται γὰρ ἑὰν ψυχὰν κομίξαι Φρίξος. Ol. VII 67: ἐκέλευσεν — νεῦσαι, φαεννὸν ἐς αἰθέρα νιν πεμφθεῖσαν ἑᾷ (var. ἑᾷ) κεφαλᾷ ἐξοπίσω γέρας ἔσσεσθαι. Py. IV 187: ἡμιθέοισιν πόθον ἔνδαιεν Ἥρα — φάρμακον κάλλιστον ἑᾶς ἀρετᾶς ἅλιξιν εὑρέσθαι σὺν ἄλλοις. Ne. VII 85: λέγοντι γὰρ Αἰακόν νιν ὑπὸ ματροδόκοις γοναῖς φυτεῦσαι, ἑᾷ μὲν πολίαρχον εὐωνύμῳ πάτρᾳ (Herm., libri ἐμᾷ, quod tenet Bergk.): „suae patriae, Aeginae; referendum igitur ad Aeacum; nam quod Hermannus id ad Sogenem traxit, hoc longius petitum est. Verissime autem ἑᾷ scriptum pro ἐμᾷ (quod quidem agnoscunt schol. referentes ad chorum); persuasum mihi habeo, Pindarum ubi primae personae pronomine utatur, se ipsum intelligere“ Dissen. — 2) sine subst. Is. VII 29 (VIII 32): ἄλοχον εὐειδέ' ἐθέλων ἑκάτερος ἑὰν ἔμμεν. (de Ne. VII 25 v. ἑτός.) v. ὅς.

ἐπαγγέλλω *annuntio, offero* Py. IV 31: φιλίων δ' ἐπέων ἄρχετο, ξείνοις ἅ τ' ἐλθόντεσσιν εὐεργέται δεῖπν' ἐπαγγέλλοντι πρῶτον.

ἐπαγείρω *adduco*, per tmesin Py. IX 54: ἔνθα νιν ἀρχέπολιν θήσεις, ἐπὶ λαὸν ἀγείραις νασιώταν ὄχθον ἐς ἀμφίπεδον: sc. ex insula Thera.

ἐπᾱγορία *reprehensio* fr. 122 (87), 6: ὑμῖν ἄνευθ' ἐπαγορίας ἔπορεν —

ὥρας ἀπὸ καρπὸν δρέπεσθαι (Bergk., libri ἡμῖν ἄνωθεν ἀπαγορίας, Boeckh. ὔμμιν ἅ τ' ἄνωθεν ἀπαγορίας: „desuper h. e. e caelo (quum Venus οὐρανία sit) veniam et excusationem").

ἐπάγω (praes. ἐπὶ — ἄγει, ἐπάγωσιν (ci.), ἐπ' — ἄγων (ci.). aor. ἐπάγαγες, -ε) *adduco, affero* fr. 122 (87), 16: τεὸν δεῦτ' ἐς ἄλσος φορβάδων κορᾶν ἀγέλαν — Ξενοφῶν τελέαις ἐπάγαγ' εὐχωλαῖς ἰανθείς (Boeckh., v. ἐπήγαγ'). met. Py. VIII 66: οἴκοι δὲ πρόσθεν ἁρπαλέαν δόσιν πενταεθλίου σὺν ἑορταῖς ὑμαῖς ἐπάγαγες: ἐν Αἰγίνῃ δὲ πρὸ τούτων ἐνίκησε τὰ Δελφίνια Ἀπόλλωνος ἀγῶνα. Schol. fr. 75 (45), 15: ὁπότ' οἰχθέντος Ὡρᾶν θαλάμου εὔοδμον ἐπάγωσιν ἔαρ (Bergk., libri ἐπαΐωσιν v. ἐπάγοισιν): sc. ἄνεμοι, ubi Boeckh. ἐπαΐωσιν cum sequentibus φυτὰ νεκτάρεα coniunctum vertit: „persentiscunt ver plantae nectareae." Ol. II 10: αἰὼν δ' ἔφεπε μόρσιμος ἐπ' ὄλβον τε καὶ χάριν ἄγων (Bergk. sec. schol. praeeunte Heynio, libri μόρσιμος πλοῦτον adversante metro): addens. Ol. II 41 (37): Μοῖρα — θεόρτῳ σὺν ὄλβῳ ἐπί τι καὶ πῆμ' ἄγει παλιντράπελον ἄλλῳ χρόνῳ.

ἐρημόω *desertum v. orbum reddo* Py. IV 269: (δρῦς) ἑὸν ἐρημώσαισα χῶρον: postquam deseruit. c. gen. Is. III 35 (IV 17): νιφὰς πολέμοιο τεσσάρων ἀνδρῶν ἐρήμωσεν μάκαιραν ἑστίαν: orbavit. c. acc. Py. III 97: τὸν μὲν ὀξείαισι θύγατρες ἐρήμωσαν πάθαις εὐφροσύνας μέρος αἱ τρεῖς.

Ἐριβόας *Eriboas*, „*Grandistrepus*" fr. 75 (45), 10: τὸν Βρόμιον Ἐριβόαν τε βροτοὶ καλέομεν: Bacchum.

Ἐρίβοια *Eriboea*, Alcathoi filia, uxor Telamonis Is. V (VI) 45: λίσσομαι παῖδα θρασὺν ἐξ Ἐριβοίας ἀνδρὶ τῷδε.

ἐρῑβρεμέτας *valde fremens* Is. III 64 (IV 46): ἐριβρεμετᾶν θηρῶν λεόντων.

ἐρίβρομος *valde fremens, horrisonus* Ol. XI 21: οὔτ' ἐρίβρομοι λέοντες διαλλάξαιντο ἦθος. — Py. VI 11: ὄμβρος —, ἐριβρόμου νεφέλας στρατὸς ἀμείλιχος. VI 3: ὀμφαλὸν ἐριβρόμου χθονὸς ἐς νάιον προσοιχόμενοι: „ob motus et tonitrua subterranea aquis et ventis excitata" Boeckh.; simul strepitum ac tumultum ludorum Pythiorum spectari existimat Mezger. sec. Gedikium.

ἐρίζω (act. praes. ἐρίζει, -οντι. ἐρίζειν. ἐρίζων. aor. ἔρισαν. [fut. ἐρίξω]. med. pr. ἐρίζεται. ἐριζόμενοι, -αι) *certo, contendo*, de ludis Ne. V 39: ἔνθα — σθένει γυίων ἐρίζοντι θρασεῖ (sc. pueri in Isthmo). Med. Ol. I 98 (95): ἵνα ταχυτὰς ποδῶν ἐρίζεται ἀκμαί τ' ἰσχύος θρασύπονοι. Is. III 47 (IV 29): Πανελλάνεσσι δ' ἐριζόμενοι δαπάνᾳ χαῖρον ἵππων. de quovis certamine Is. IV (V) 4: καὶ γὰρ ἐριζόμεναι νᾶες ἐν πόντῳ καὶ ὑφ' ἅρμασιν ἵπποι — ὠκυδινάτοις ἐν ἀμίλλαισι θαυμασταὶ πέλονται. — inimico sensu Is. VII 27 (VIII 30): Ζεὺς ὅτ' ἀμφὶ Θέτιος ἀγλαός τ' ἔρισαν Ποσειδᾶν γάμῳ (ἔρισαν Heynius c. schol., libri ἔρισας, quod tuetur Mommsen.). Ne. VIII 22: ἅπτεται δ' ἐσλῶν ἀεί, χειρόνεσσι δ' οὐκ ἐρίζει (φθόνος). Py. IV 285: ἔμαθε δ' ὑβρίζοντα μισεῖν, οὐκ ἐρίζων ἀντία τοῖς ἀγαθοῖς. II 88: χρὴ δὲ πρὸς θεὸν οὐκ ἐρίζειν. — fut. dor. fr. 11: τὸ μέντοι ἐρίξαι ἤγουν εἰς ἔριν κινῆσαι οἷον· οὐ ψεῦδος ἐρίξω, ἤγουν οὐχ οὕτως πρὸς ψεῦδος φιλονεικήσω, οὐχ οὕτως ἀσαφές (Eust. Prooem. 21).

ἐρῑκλάγκτας *grave strepens* Py. XII 21: ὄφρα τὸν Εὐρυάλας ἐκ καρπαλιμᾶν γενύων χριμφθέντα σὺν ἔντεσι μιμήσαιτ' ἐρικλάγκταν γόον.

Ἐριννύς *Erinnys* Ol. II 45 (41): ἰδοῖσα δ' ὀξεῖ' Ἐριννὺς ἔπεφνέ οἱ σὺν ἀλλαλοφονίᾳ γένος ἀρήιον.

ἐρῑπλευρος *magna v. robusta latera habens* Py. IV 235: ἐμβάλλων τ' ἐριπλεύρῳ φυᾷ κέντρον αἰανές: h. e. bubus.

ἔρις *contentio, bellum* Ne. VIII 51: ἦν γε μὰν ἐπικώμιος ὕμνος δὴ πάλαι καὶ πρὶν γενέσθαι τὰν Ἀδράστου τάν τε Καδμείων ἔριν: πρὶν καὶ τοὺς Ἀργείους ἐπιστρατεῦσαι ταῖς Θήβαις, τουτέστι πρὶν τὰ Νέμεα τεθῆναι ἦν ἐγκώμια. στρατευσάντων γὰρ τῶν περὶ Ἄδραστον ἐπὶ Θήβας ὁ Ἀρχέμορος ὑπὸ τοῦ δράκοντος διεφθάρη, οἱ δὲ ἐπ' αὐτῷ τοῦ μόρου ἄρξαντι τὰ Νέμεα ἔθηκαν. Schol. Ne. X 72: χαλεπὰ δ' ἔρις ἀνθρώποις ὁμιλεῖν κρεσσόνων. met. Ne. IV 93: οἷον αἰνέων κε Μελησίαν ἔριδα στρέφοι: v. στρέφω.

ἐρισφάραγος fr. 14. 15 (263): καὶ Δία εὐρύζυγον (καλεῖ) ἄλλως παρὰ τὸ ὑψίζυγον· τὸν δ' αὐτὸν καὶ . . . ἐρισφάραγον (Eust. Pr. 16). ὅθεν καὶ Πίνδαρός που ἐπὶ πολυήχου τὸ ἐρισφάραγον τίθησιν (Eust. ad Od. 1636, 8).

Ἐρίτῑμος *Eritimus* Corinthius, Terpsiae sive filius sive nepos Ol. XIII 42: ἐν δ' ἀμφιάλοισι Ποτειδᾶνος τεθμοῖσιν Πτοιοδώρῳ σὺν πατρὶ μακρότεραι Τερψίᾳ θ' ἕψοντ' Ἐριτίμῳ τ' ἀοιδαί. v. Πτοιόδωρος.

ἔριφος fr. 47 (18): Πίνδαρος δὲ

ἐν Ὕμνοις ἐρίφων μεθομήρεον, οἷον ὁμοῦ καὶ μετ' αὐτῶν πορευόμενον (Et. M. 821, 59 et Gud. 578, 42).

Ἐριφῦλα *Eriphyle* Ne. IX 16: ἀνδροδάμαν δ' Ἐριφύλαν, ὅρκιον ὡς ὅτε πιστόν, δόντες Οἰκλείδᾳ γυναῖκα: „dederunt Talaionidae, Adrastus cum fratribus, Eriphylen sororem Amphiarao in matrimonium" Dissen.

Ἐριχθόνιος fr. 253 (140): Αὐτόχθονες· . . . ὁ δὲ Πίνδαρος καὶ ὁ τὴν Δαναΐδα πεποιηκώς φασιν Ἐριχθόνιον καὶ Ἥφαιστον ἐκ Γῆς φανῆναι (Harpocrat. p. 41 ed. Bekk.).

ἕρκος *septum* 1) murus, vallum Py. V 113: ἀγωνίας δ' ἕρκος οἷον σθένος. de vasculorum ambitu undique oleum infusum cingente Ne. X 36: γαίᾳ δὲ καυθείσᾳ πυρὶ καρπὸς ἐλαίας ἔμολεν Ἥρας τὸν εὐάνορα λαὸν ἐν ἀγγέων ἕρκεσιν παμποικίλοις: „plurali utitur, quum bis victore Theaeo duo vascula talia Argos venerint" Dissen. — 2) rete Ne. III 51: κτείνοντ' ἐλάφους ἄνευ κυνῶν δολίων θ' ἑρκέων. Py. II 80: ἀβάπτιστός εἰμι φελλὸς ὣς ὑπὲρ ἕρκος ἅλμας.

Ἑρμᾶς (Ἑρμᾶς, -ᾶ, -ᾷ, -ᾶν) *Mercurius*, deorum nuntius, ludorum praeses Ol. VI 79: ὑπὸ Κυλλάνας ὅροις — ναιετάοντες ἐδώρησαν θεῶν κάρυκα λιταῖς θυσίαις πολλὰ δὴ πολλαῖσιν Ἑρμᾶν εὐσεβέως, ὃς ἀγῶνας ἔχει μοῖράν τ' ἀέθλων, Ἀρκαδίαν τ' εὐάνορα τιμᾷ. Py. II 10: ὅ τ' ἐναγώνιος Ἑρμᾶς αἰγλάεντα τίθησι κόσμον. Is. I 60: ἀγώνιος Ἑρμᾶς. Ne. X 53: εὐρυχόρου ταμίαι Σπάρτας ἀγώνων μοῖραν Ἑρμᾷ καὶ σὺν Ἡρακλεῖ διέποντι θάλειαν. Py. IX 59: κλυτὸς Ἑρμᾶς. IV 178: πέμπε δ' Ἑρμᾶς χρυσόραπις διδύμους υἱοὺς ἐπ' ἄτρυτον πόνον τὸν μὲν Ἐχίονα — τὸν δ' Ἔρυτον. Ol. VIII 81: Ἑρμᾶ δὲ θυγατρὸς ἀκούσαις — Ἀγγελίας: „animarum deductoris (ψυχοπομποῦ) et deorum praeconis" Boeckh.

ἑρμηνεύς *interpres* Ol. II 93 (85): ἐς δὲ τὸ πὰν ἑρμηνέων χατίζει (βέλη).

ἔρνος (sg. ἔρνος, -εϊ, -ος. pl. ἔρνεσι(ν), -εα) 1) *surculus, ramus, frons* Ne. VI 20 (18): κεῖνος γὰρ Ὀλυμπιόνικος ἐὼν Αἰακίδαις ἔρνεα πρῶτος (ἔνεικεν) ἀπ' Ἀλφεοῦ. XI 29: ἀνδησάμενός τε κόμαν ἐν πορφυρέοις ἔρνεσιν. Is. I 29: τῶν ἀθρόοις ἀνδησάμενοι θαμάκις ἔρνεσιν χαίτας. I 66: ἔτι καὶ Πυθῶθεν Ὀλυμπιάδων τ' ἐξαιρέτοις Ἀλφεοῦ ἔρνεσι φράξαι χεῖρα. fr. 75 (45), 14: φοίνικος ἔρνος: v. φοῖνιξ. transfertur ad insulam fr. 87 (58), 2: χαῖρ', ὦ θεοδμάτα, λιπαροπλοκάμου παίδεσσι Λατοῦς ἱμεροέστατον ἔρνος: Delus. — 2) *germen, proles* Is. III 63 (IV 45): Μελίσσῳ —, ἔρνεϊ Τελεσιάδα. Ne. VI 42 (37): Καλλίας ἀδὼν ἔρνεσι Λατοῦς.

ἔρομαι *sciscitor* Ol. VI 48: ἅπαντας ἐν οἴκῳ εἴρετο παῖδα, τὸν Εὐάδνα τέκοι.

ἑρπετόν *animal* quodvis pedibus incedens fr. 106 (73), 2: ἀπὸ Ταϋγέτοιο μὲν Λάκαιναν ἐπὶ θηρσὶ κύνα τρέφειν πυκινώτατον ἑρπετόν (Bergk. ἕρπετον). met. Typhoeus dicitur Py. I 25: κεῖνο δ' Ἀφαίστοιο κρουνοὺς ἑρπετὸν δεινοτάτους ἀναπέμπει: belua.

ἕρπω (praes. ἕρπει. ἕρποι. ἕρπων, -όντων, -όντεσσι. ipf. εἷρπε) *gradior* Ol. VII 52: ἔργα δὲ ζωοῖσιν ἑρπόντεσσί θ' ὁμοῖα κέλευθοι φέρον, ubi ἑρπόντεσσί θ' per epexegesin videtur additum. — met. *procedo* Py. IV 140: ἐντὶ μὲν θνατῶν φρένες ὠκύτεραι κέρδος αἰνῆσαι πρὸ δίκας δόλιον, τραχεῖαν ἑρπόντων πρὸς ἔπιβδαν ὅμως. Ol. XIII 105: εἰ δὲ δαίμων γενέθλιος ἕρποι: surgat et veniat. Ne. IV 44: χρόνος ἕρπων πεπρωμέναν τελέσει (sc. ἀρετάν): insequens. Is. III 58 (IV 40): τοῦτο γὰρ ἀθάνατον φωνᾶεν ἕρπει (var. ἕρποι), εἴ τις εὖ εἴπῃ τι. fr. 79 (47): πρὶν μὲν εἷρπε σχοινοτένειά τ' ἀοιδὰ διθυράμβων καὶ τὸ σὰν κίβδαλον ἀνθρώποισιν ἀπὸ στομάτων: „labebatur ex ore facile et sine opera, quum non esset artificiosa" Dissen.

ἐρυθρός *ruber* Py. IV 251: ἔν τ' Ὠκεανοῦ πελάγεσσι μίγεν πόντῳ τ' ἐρυθρῷ.

ἐρύκω *arceo, prohibeo* Ol. X 5: ὦ Μοῖσ', ἀλλὰ σὺ καὶ θυγάτηρ Ἀλάθεια Διός, ὀρθᾷ χερὶ ἐρύκετον ψευδέων ἐνιπὰν ἀλιτοξένων. Ne. IV 33: τὰ μακρὰ δ' ἐξενέπειν ἐρύκει με τεθμὸς ὧραί τ' ἐπειγόμεναι.

Ἔρυτος *Erytus*, Mercurii et Antianirae filius Py. IV 179: πέμπε δ' Ἑρμᾶς χρυσόραπις διδύμους υἱοὺς — τὸν μὲν Ἐχίονα, κεχλάδοντας ἥβᾳ, τὸν δ' Ἔρυτον.

ἐρύω *traho*, met. Ne. VII 67: *βίαια πάντ᾽ ἐκ ποδὸς ἐρύσαις*: removens. — Med. Ne. IX 23: *Ἰσμηνοῦ δ᾽ ἐπ᾽ ὄχθαισι γλυκὺν νόστον ἐρυσσάμενοι λευκανθέα σώμασι πίαναν καπνόν* (Herm., libri *ἐρυσάμενοι* v. *ἐρεισάμενοι*, quod rec. Bergk.): „inhibentes, h. e. caesi" Dissen.; „die Rückkehr an sich heranziehend, um sie ringend" Mezgerus collato Il. XVIII 174.

ἔρχομαι (praes. *ἔρχομαι, -εται, -ονται. ἐρχόμενον.* aor. *ἦλθον, -ες, -ε(ν), -ον; ἤλυθε(ν), -ον. ἔλθῃς, -ῃ. ἔλθ᾽. ἐλθεῖν. ἐλθών, -όντος, -όντα, -όντες, -όντας*) *eo, incedo, venio*, abs., c. dat., c. acc., c. praep. 1) de animantibus a) Ne. V 45: *ἅλικας δ᾽ ἐλθόντας— ἐκράτει*: „qui ad certamen venerant" Dissen. Ol. VI 67. Py. IV 30. 172. fr. 1 (4), 3. add. part. Ne. X 66: *αὐτίκα γὰρ ἦλθε Λήδας παῖς διώκων*. Py. X 47. I 52. Is. III 71 (IV 53). adi. Ne. X 79: *Ζεὺς δ᾽ ἀντίος ἤλυθέ οἱ*. adv. Ol. I 73 (71): *ἐγγὺς ἐλθὼν πολιᾶς ἁλός*. fr. 229 (253): *φίλων ἐναντίον ἐλθεῖν*: in conspectum venire. — Ne. IV 22: *φίλοισι γὰρ φίλος ἐλθών*. Py. IX 116: *ὅσοι γαμβροί σφιν ἦλθον*. Ol. I 44. Py. IV 125. — Py. IV 52: *τάνδε σὺν τιμᾷ θεῶν νᾶσον ἐλθόντες*. Ol. XIV 21: *δόμον Φερσεφόνας ἔλθ᾽, Ἀχοῖ* (var. *ἐλθὲ* v. *ἴθι*, Ahrens. *ἔλυθ᾽*, quod rec. Christ.). Py. IV 134. V 52. Is. III 71 (IV 53). Is. II 48: *ὅταν ξεῖνον ἐμὸν ἠθαῖον ἔλθῃς*. — Py. IV 44: *Ταίναρον εἰς ἱερὰν Εὔφαμος ἐλθών*, cf. IV 212. Is. VI (VII) 46: *δεσπόταν ἐθέλοντ᾽ ἐς οὐρανοῦ σταθμοὺς ἐλθεῖν μεθ᾽ ὁμάγυριν Βελλεροφόνταν Ζηνός*. Py. III 99: *Ζεὺς πατὴρ ἤλυθεν ἐς λέχος ἱμερτὸν Θυώνᾳ*. Ol. VI 43: *ἦλθεν δ᾽ ὑπὸ σπλάγχνων ὑπ᾽ ὠδῖνός τ᾽ ἐρατᾶς Ἴαμος ἐς φάος αὐτίκα*: h. e. natus est. Ol. VII 31: *ἐς θεὸν ἐλθών*. Py. IV 160: *ἐλθόντας πρὸς Αἰήτα θαλάμους*. Is. III 71 (IV 53). Py. IV 204: *ἐπ᾽ Ἀξείνου στόμα πεμπόμενοι ἤλυθον*. Ne. X 49: *Κάστορος δ᾽ ἐλθόντος ἐπὶ ξενίαν πὰρ Παμφάη*. Ol. I 44: *ἦλθε καὶ Γανυμήδης Ζηνὶ τωὔτ᾽ ἐπὶ χρέος*. fr. 172 (158), 2: *Ἀλκμήνας σὺν υἱῷ Τρώιον ἂμ πεδίον καὶ μετὰ ζωστῆρας Ἀμαζόνος ἦλθεν*. Py. IV 125: *καὶ κασίγνητοί σφισιν ἀμφότεροι ἤλυθον κείνου γε κατὰ κλέος*. VIII 41: *ἀπ᾽ Ἄργεος ἤλυθον δευτέραν ὁδὸν Ἐπίγονοι*. Is. III 71 (IV 53): *Ἀνταίου δόμους Θηβᾶν ἄπο Καδμεϊᾶν — προσπαλαίσων ἦλθ᾽ ἀνὴρ τὰν πυροφόρον Λιβύαν*. Ol. III 27. Py. III 25. Ol. XIII 60: *ἐκ Λυκίας δὲ Γλαῦκον ἐλθόντα*, cf. Py. IV 172. Ol. VII 29: *Λικύμνιον ἐλθόντ᾽ ἐκ θαλάμων*. Ne. VI 12: *ἦλθέ τοι Νεμέας ἐξ ἐρατῶν ἀέθλων παῖς ἐναγώνιος*. — b) met. Py. II 4: *υμμιν τόδε — ἀπὸ Θηβᾶν φέρων μέλος ἔρχομαι*: „non ipse, sed carmen missum, cf. v. 68" Dissen. Ol. V 19: *ἱκέτας σέθεν ἔρχομαι Λυδίοις ἀπύων ἐν αὐλοῖς*. IX 83: *προξενίᾳ δ᾽ ἀρετᾷ τ᾽ ἦλθον τιμάορος Ἰσθμίαισι Λαμπρομάχου μίτραις*, ubi *προξενίᾳ* esse dat. causae existimat Boeckh., dat. commodi Mezger. Is. V (VI) 57: *Φυλακίδᾳ γὰρ ἦλθον — ταμίας Πυθέᾳ τε κώμων*. Ne. VII 69: *εἰ πὰρ μέλος ἔρχομαι ψάγιον ὄαρον ἐννέπων*: num incedam. Ol. I 114 (111): *παρ᾽ εὐδείελον ἐλθὼν Κρόνιον*: sc. *διὰ τῶν ἐγκωμίων*. Schol. Ol. VI 28: *πρὸς Πιτάναν δὲ παρ᾽ Εὐρώτα πόρον δεῖ σάμερόν μ᾽ ἐλθεῖν ἐν ὥρᾳ*: *ἐν δέοντι καιρῷ δεῖ αὐτῆς μνησθῆναι σήμερον*. Schol. Py. V 14: *σὲ δ᾽ ἐρχόμενον ἐν δίκᾳ πολὺς ὄλβος ἀμφινέμεται*: incedentem. Ol. VI 73: *τιμῶντες δ᾽ ἀρετὰς ἐς φανερὰν ὁδὸν ἔρχονται*. Ne. VI 28 (24): *πρὸς ἄκρον ἀρετᾶς ἦλθον*. — 2) de rebus Py. III 16: *οὐκ ἔμειν᾽ ἐλθεῖν τράπεζαν νυμφίαν οὐδὲ παμφώνων ἰαχὰν ὑμεναίων*. VI 10: *χειμέριος ὄμβρος ἐπακτὸς ἐλθών*. I 34: *ἐς πλόον ἀρχομένοις πομπαῖον ἐλθεῖν οὖρον*. IV 198: *λαμπραὶ δ᾽ ἦλθον ἀκτῖνες στεροπᾶς ἀπορηγνύμεναι*. Ne. VII 30: *ἀλλὰ κοινὸν γὰρ ἔρχεται κῦμ᾽ Ἀίδα*. I 32: *κοιναὶ γὰρ ἔρχοντ᾽ ἐλπίδες πολυπόνων ἀνδρῶν*. Py. VIII 32: *μὴ κόρος ἐλθὼν κνίσῃ*. VIII 96: *ὅταν αἴγλα διόσδοτος ἔλθῃ*. III 105: *ὄλβος οὐκ ἐς μακρὸν ἀνδρῶν ἔρχεται*. Ol. I 103 (100): *τὸ δ᾽ αἰεὶ παράμερον ἐσλὸν ὕπατον ἔρχεται παντὶ βροτῶν*: contingit. Ol. III 39: *Ἐμμενίδαις Θήρωνί τ᾽ ἐλθεῖν κῦδος*. c. dupl. dat. Py. IV 73: *ἦλθέ δέ οἱ κρυόεν πυκινῷ μάντευμα θυμῷ*.

ἔρως (sg. *ἔρως, -ωτι.* pl. *ἔρωτες, -ων*) *amor* 1) cupido Is. VII 29 (VIII 32): *ἔρως γὰρ ἔχεν* (sc. Iovem et Neptunum). fr. 127 (236): *εἴη καὶ ἐρᾶν καὶ ἔρωτι χαρίζεσθαι κατὰ και-*

ῥόν. 123 (88): χρῆν μὲν κατὰ καιρὸν ἐρώτων δρέπεσθαι. Ne. VIII 5: ἀγαπατὰ δὲ καιροῦ μὴ πλαναθέντα πρὸς ἔργον ἕκαστον τῶν ἀρειόνων ἐρώτων ἐπικρατεῖν δύνασθαι. fr. 122 (87), 4: πολλάκι ματέρ' ἐρώτων οὐρανίαν πτάμεναι νόημα ποττὰν Ἀφροδίταν. 128 (90): χάριτάς τ' Ἀφροδισίων ἐρώτων. — 2) studium, desiderium Ne. XI 48: ἀπροσίκτων δ' ἐρώτων ὀξύτεραι μανίαι. c. gen. Py. X 60: ἑτέροις ἑτέρων ἔρως ὑπέκνισε φρένας. Ne. III 30: οὐδ' ἀλλοτρίων ἔρωτες ἀνδρὶ φέρειν κρέσσονες.

ἐσάγω *produco* Is. II 34: οὐ γὰρ πάγος, οὐδὲ προσάντης ἁ κέλευθος γίνεται, εἴ τις εὐδόξων ἐς ἀνδρῶν ἄγοι τιμὰς Ἑλικωνιάδων: „Museas laudes virorum clarorum producat" Boeckh.; at Dissenius ἐς ἀνδρῶν cum Heynio et Mezgero expl. pro ἐς οἶκον ἀνδρῶν.

ἐσαεί v. *αἰεί*.

ἐσάλλομαι *insilio* Ol. VIII 38: γλαυκοὶ δὲ δράκοντες, ἐπεὶ κτίσθη νέον, πύργον ἐσαλλόμενοι τρεῖς.

ἐσδέχομαι *recipio, adscisco* fr. 186 (185): αὐτόν με πρώτιστα συνοικιστῆρα γαίας ἔσδεξαι τεμενοῦχον.

ἐσέρχομαι *ingredior* Py. IV 120: τὸν μὲν ἐσελθόντ' ἔγνον ὀφθαλμοὶ πατρός. c. acc. Py. X 32: δώματ' ἐσελθών. Ne. X 16: ἀθανάτων βασιλεὺς αὐλὰν ἐσῆλθεν.

ἐσθάς *vestis* Py. IV 79: ἐσθὰς δ' ἀμφότερόν νιν ἔχεν, ἅ τε Μαγνήτων ἐπιχώριος ἁρμόζοισα θαητοῖσι γυίοις, ἀμφὶ δὲ παρδαλέᾳ στέγετο φρίσσοντας ὄμβρους. IV 253: ἔνθα καὶ γυίων ἀέθλοις ἐπεδείξαντο κρίσιν ἐσθᾶτος ἀμφίς: „de veste, feminarum opere, certarunt contentionibus membrorum, quae fuit ἔπαθλον, licet praeterea coronae datae, vid. Ol. IV 23" Dissen. et Boeckh.

ἐσλός (sg. m. ἐσλός, -οῦ, -όν. n. ἐσλόν. pl. m. ἐσλοί, -ῶν, -οῖς, -οῖσι, -ούς. n. ἐσλῶν, -οῖς, -οῖσι(ν), -ά. quater prior syllaba corripitur Ol. II 19. XIII 100. Py. III 66. Ne. IV 95; anceps est Ne. VIII 22. „videtur ἐσλὸς Pindaro peculiare esse, neque dubito ad Boeotorum sermonis consuetudinem referre, apud quos Θ ad sibilantis litterae similitudinem accedebat, ita ut ex ἐσσλὸς facile ἐσλὸς potuerit attenuari" Bergk. ceterum plerisque locis varia lectio exstat ἐσθλός) I) adi. *bonus, probus, fortis ac strenuus* 1) c. subst. Py. IV 175: κλέος ἐσλόν. Is. IV (V) 13: εἴ τις εὖ πάσχων λόγον ἐσλὸν ἀκούῃ: bene audiat. Ol. VIII 84: ἐσλὰ δ' ἐπ' ἐσλοῖς ἔργα θέλοι δόμεν. II 21 (19): ἐσλῶν γὰρ ὑπὸ χαρμάτων πῆμα θνάσκει: praeclaris, prosperis prae gaudiis. — Ne. II 21: ἐν ἐσλοῦ Πέλοπος πτυχαῖς. Is. IV (V) 41: ἐσλὸν Τήλεφον. Ol. XIII 100: βοᾷ κάρυκος ἐσλοῦ. Py. IV 278: ἄγγελον ἐσλόν. X 69: ἀδελφεοὺς ἐπί τ' αἰνήσομεν ἐσλούς. Is. VII 60 (VIII 66): ἐσλόν γε φῶτα καὶ φθίμενον ὕμνοις θεᾶν διδόμεν. Py. III 66: ἐσλοῖσι — ἀνδράσιν. add. infin. Ne. III 29: ἕπεται δὲ λόγῳ δίκας ἄωτος ἐσλὸς αἰνεῖν (var. ἐσλὸν, Bergk. ἔθνος): „iustitia egregia ad laudandum h. e. summo iure Aeacum nunc laudo" Leutsch. — 2) sine subst. de personis Is. III 7: χρὴ μὲν ὑμνῆσαι τὸν ἐσλόν: strenuum virum. Ol. II (69) 63: ἀπονέστερον ἐσλοὶ δέκονται βίοτον: boni, probi. Ol. IV 4 (6). Ne. VIII 22: ἅπτεται δ' ἐσλῶν ἀεί (sc. φθόνος). Ol. II 107 (97). Py. V 97. Ne. IV 95: μαλακὰ μὲν φρονέων ἐσλοῖς, τραχὺς δὲ παλιγκότοις ἔφεδρος. fr. 121 (86). Ne. I 24: λέλογχε δὲ μεμφομένοις ἐσλοὺς ὕδωρ καπνῷ φέρειν ἀντίον. — II) subst. **ἐσλόν** *bonum, decus, praeclare factum* Py. III 81: ἓν παρ' ἐσλὸν πήματα σύνδυο δαίονται βροτοῖς ἀθάνατοι. Ol. XII 12: οἱ δ' ἀνιαραῖς ἀντικύρσαντες ζαλαῖς ἐσλὸν βαθὺ πήματος ἐν μικρῷ πεδάμειψαν χρόνῳ. I 102 (99): τὸ δ' αἰεὶ παράμερον ἐσλὸν ὕπατον ἔρχεται παντὶ βροτῶν. Py. IX 89: τοῖσι τέλειον ἐπ' εὐχᾷ κωμάσομαί τι παθὼν ἐσλόν: bonum, beneficium, h. e. victoriam. Py. VIII 73: εἰ γάρ τις ἐσλὰ πέπαται μὴ σὺν μακρῷ πόνῳ. I 84: ἀστῶν δ' ἀκοὰ κρύφιον θυμὸν βαρύνει μάλιστ' ἐσλοῖσιν ἐπ' ἀλλοτρίοις. Ne. X 20: ὅσων Ἀργεῖον ἔχει τέμενος μοῖραν ἐσλῶν: decorum. Ne. IX 6: τετελεσμένον ἐσλὸν μὴ χαμαὶ σιγᾷ καλύψαι: rem praeclare gestam. Ne. V 47: χαίρω δ' ὅτι ἐσλοῖσι μάρναται πέρι πᾶσα πόλις: h. e. „de laude ludicra" Dissen.

ἔσοδος *aditus*, met. Py. V 116: ὅσαι τ' εἰσὶν ἐπιχωρίων καλῶν ἔσοδοι, τετόλμακε: „quod de curulibus et gymnicis certaminibus intellige in

ludis domesticis" Dissen. Py. VI 50: *τίν τ', Ἐλέλιχθον, ὀργαῖς πάσαις ὃς ἱππείαν ἔσοδον, μάλα ἁδόντι νόῳ, Ποσειδᾶν, προσέχεται* (var. *ἐς ὁδὸν* v. *εἴσοδον*, solus R *εἴσοδον εὗρες*): *ὃς εὗρες ἱππείας εἰσόδους, τουτέστιν ἱππικὰς ἁμίλλας.* Schol. „locus antiquitus corruptus quomodo sit restituendus incertum; fort. poeta scripsit *τίν τ' Ἐλέλιχθον, ὅστ' οὖρος ἱππιᾶν ἐσόδων*" Bergk. Boeckh. scr. *ὅς θ' εὗρες ἱππίαν ἔσοδον*, Herm. *ὀργαῖς ἐς ἱππίαν ἔσοδον*, Rauchenst. *ὁρμᾶς ὃς ἱππίαν ἐς ὁδόν*, Christ. et M. Schmidt. *ὀργᾶς ὃς ἱππειᾶν ἐσόδων*).

ἔσοπτρον *speculum*, met. Ne. VII 14: *ἔργοις δὲ καλοῖς ἔσοπτρον ἴσαμεν ἑνὶ σὺν τρόπῳ, εἰ Μναμοσύνας ἕκατι λιπαράμπυκος εὕρηται ἄποινα μόχθων κλυταῖς ἐπέων ἀοιδαῖς*: „speculum est flumen Musarum, imagines rerum pulcherrime reddens" Dissen. *τὰ καλὰ ἔργα διὰ τῶν ὕμνων θεωρεῖται ὡς δι' ἐσόπτρου.* Schol.

ἐσοράω v. **εἰσοράω.**

ἐσορούω *irruo* Ol. VIII 40: *εἷς δ' ἐσόρουσε βοάσαις* (var. *ὄρουσε, ἐπόρουσε, ἀνόρουσε*, quod rec. Bergk.): sc. *δράκων.*

ἑσπέρα (digammatum Is. VII 44) *vesper* Py. XI 10: *ὄφρα — γᾶς ὀμφαλὸν κελαδῆτον ἄκρᾳ σὺν ἑσπέρᾳ.* gen. *ἑσπέρας* vesperi Ol. III 20. Py. IV 40. — plur. de horis vespertinis Is. VII 44 (VIII 47): *ἐν διχομηνίδεσσιν δὲ ἑσπέραις ἐρατὸν λύοι κεν χαλινὸν ὑφ' ἥρωι παρθενίας* (var. *δ' ἑσπέραις*).

ἑσπέριος *vespertinus* Py. III 19: *παρθένοι φιλέοισιν ἑταῖραι ἑσπερίαις ὑποκουρίζεσθ' ἀοιδαῖς.* Ne. VI 43 (38): *παρὰ Κασταλίᾳ τε Χαρίτων ἑσπέριος ὁμάδῳ φλέγεν*: „vesperi, intelligendi sunt vespertini cantus amicorum *κωμαζόντων*, victorem recentem celebrantium" Dissen. *ἔθος γὰρ ἦν παννυχίδας ὕμνων τοῖς νενικηκόσιν ἀποτελεῖσθαι.* Schol.

ἕσπερος *vesper* Ol. X 73: *ἐν δ' ἕσπερον ἔφλεξεν εὐώπιδος σελάνας ἐρατὸν φάος*: „sc. in plenilunio" Boeckh.

ἐσσυμένως v. **σεύω.**

ἑστία (*ἑστίᾳ, -αν. Ἑστία*) 1) *focus* Py. XI 13: *ἐν τῷ Θρασυδαῖος ἔμνασεν ἑστίαν τρίτον ἐπὶ στέφανον πατρῴαν βαλών.* fr. 81 (49), 4: *οὐ γὰρ εἰκὸς τῶν ἐόντων ἁρπαζομένων παρὰ θ' ἑστίᾳ καθῆσθαι καὶ κακὸν ἔμμεν* (Bergk., vulgo *παρ' ἑστίᾳ*). — met. *domus* Ol. I 10: *ἐς ἀφνεὰν ἱκομένους μάκαιραν Ἱέρωνος ἑστίαν*: „magnificus apparatus hospitalis convivii respicitur, quo nunc excipiuntur canentes" Dissen. Is. III 35 (IV 17): *τεσσάρων ἀνδρῶν ἐρήμωσεν μάκαιραν ἑστίαν.* Py. V 11: *εὐδίαν ὃς μετὰ χειμέριον ὄμβρον τεὰν κάτ' αἰθύσσει μάκαιραν ἑστίαν.* Ol. XII 14: *ἤτοι καὶ τεά κεν ἐνδομάχας ἅτ' ἀλέκτωρ συγγόνῳ παρ' ἑστίᾳ ἀκλεὴς τιμὰ κατεφυλλορόησεν ποδῶν*: apud lares. — 2) *Ἑστία* *Vesta* dea Ne. XI 1: *παῖ Ῥέας, ἅτε πρυτανεῖα λέλογχας, Ἑστία, Ζηνὸς ὑψίστου κασιγνήτα καὶ ὁμοθρόνου Ἥρας.*

ἐστρίς v. **εἰς** 3).

ἐσχᾰτιά *terminus, finis extremus*, met. Py. XI 56: *μέλανος ὁ δ' ἐσχατιὰν καλλίονα θανάτου τέτμεν* (Bergk., libri *μέλανος δ' ἂν' ἐσχατιὰν* v. *μέλανος δ' ἐσχατιὰν*). Ol. III 43: *νῦν γε πρὸς ἐσχατιὰν Θήρων ἀρεταῖσιν ἱκάνων ἅπτεται οἴκοθεν Ἡρακλέος σταλᾶν.* Is. V (VI) 12: *ἐσχατιὰς ἤδη πρὸς ὄλβου βάλλετ' ἄγκυραν θεότιμος ἐών* (Mommsen. sec. B et schol. *ἐσχατιαῖς*, Bergk. coni. *ἐσχατιαὶς*).

ἔσχατος (sg. m. *ἔσχατον*. f. *ἐσχάτας*. n. *ἔσχατον*. pl. m. *ἐσχάτοις*. f. *ἐσχάταις, -αισιν*. n. *ἐσχάτων*) *extremus* Ne. III 22: *κιόνων ὕπερ Ἡρακλέος —, ἥρως θεὸς ἃς ἔθηκε ναυτιλίας ἐσχάτας μάρτυρας κλυτάς.* fr. 201 (215), 2: *ἔσχατον Νείλου κέρας.* — met. *extremus, summus* Is. VI (VII) 36: *προμάχων ἀν' ὅμιλον, ἔνθ' ἄριστοι ἔσχον πολέμοιο νεῖκος ἐσχάταις ἐλπίσιν*: „h. e. in summo discrimine" Dissen. „*ἔσχατα ἐλπίζοντες*, auch auf den Tod gefasst" Mezger. Is. III 29 (IV 11): *ἀνορέαις δ' ἐσχάταισιν οἴκοθεν στάλαισιν ἅπτονθ' Ἡρακλείαις.* Ne. X 32: *ἁμιλλᾶται περὶ ἐσχάτων ἀέθλων κορυφαῖς.* fr. 139, 8: *ἐσχάτοις ὕμνοις.* Py. X 28: *ὅσαις δὲ βροτὸν ἔθνος ἀγλαΐαις ἁπτόμεσθα, περαίνει πρὸς ἔσχατον πλόον*, ubi Bergk. distinxit *ἔσχατον·* ad sequentia referens *πλόον.* — neutr. sg. pro subst. Ol. I 116 (114): *ἐπ' ἄλλοισι δ' ἄλλοι μεγάλοι· τὸ δ' ἔσχατον κορυφοῦται βασιλεῦσι: ἤγουν τὸ τῆς δυνάμεως καὶ εὐδαιμονίας ἀκρότατον.* Schol.

ἐτάζω v. **νέω.**

ἑταίρα, ἑτάρα *socia, puella aequalis* Py. IX 19: *οὔτε δείνων τέρ-*

ψιας, οὔθ᾽ ἑταρᾶν οἰκουρίαν (var. ἑταιρᾶν): sc. ἐφίλησεν. Py. III 18: ὑμεναίων, ἅλικες οἷα παρθένοι φιλέοισιν ἑταῖραι ἑσπερίαις ὑποκουρίζεσθ᾽ ἀοιδαῖς.

ἑταῖρος, ἕτᾰρος (sg. ἑταῖρον ci. pl. ἑταῖροι, -ων, -οις, -ους. ἑτάρων) *socius, sodalis* Is. VI (VII) 11: Ἄδραστον ἐξ ἀλαλᾶς ἄμπεμψας ὀρφανὸν μυρίων ἑτάρων ἐς (Schmid., libri ἑταίρων εἰς) Ἄργος ἵππιον. Py. IV 239: πρὸς δ᾽ ἑταῖροι (var. ἑτᾶροι, ἕταροι, ἑτάροι) καρτερὸν ἄνδρα φίλας ὤρεγον χεῖρας: Argonautae. Py. V 26: φιλεῖν δὲ Κάρρωτον ἔξοχ᾽ ἑταίρων. Ol. IX 4: ἁγεμονεῦσαι κωμάζοντι φίλοις Ἐφαρμόστῳ σὺν ἑταίροις. VI 87: ὄτρυνον νῦν ἑταίρους, Αἰνέα: h. e. chorum. Ne. XI 4: εὖ μὲν Ἀρισταγόραν δέξαι τεὸν ἐς θάλαμον, εὖ δ᾽ ἑταίρους ἀγλαῷ σκάπτῳ πέλας: „ἑταῖροι qui sint, obscurum; videntur senatores esse" Dissen. — met. fr. 212 (231): φθόνον κενεοφρόνων ἑταῖρον (Xylander, vulgo ἑταίρων) ἀνδρῶν, ὥς φησι Πίνδαρος (Plut. de cap. ex host. util. c. 10): comitem.

ἔτειος *anniversarius* Is. III 85 (IV 67): καὶ δεύτερον ἆμαρ ἐτείων τέρμ᾽ ἀέθλων γίνεται, ἰσχύος ἔργον.

ἕτερος (sg. m. ἕτερος, -ον. f. ἑτέρας. n. ἑτέρῳ, -ον. pl. m. ἕτεροι, -ων, -οις, -οισι. f. ἕτεραι, -αις. n. ἕτερα, -ων) 1) *alius*, non is de quo sermo est Py. IV 248: πολλοῖσι δ᾽ ἅγημαι σοφίας ἑτέροις. add. τις Py. II 60: λέγει ἕτερον τιν᾽ ἀν᾽ Ἑλλάδα τῶν πάροιθε γενέσθαι ὑπέρτερον. bis ponitur Ne. VII 6: εἴργει δὲ πότμῳ ζυγένθ᾽ ἕτερον ἕτερα: alium alia. Ne. I 25: τέχναι δ᾽ ἑτέρων ἕτεραι. Py. X 60: ἑτέροις ἑτέρων ἔρως ὑπέκνισε φρένας (var. ἑτέροισιν ἑτέρου), ubi Bergkius novavit ἑτέροις ἑτερωνίων ἔκνιξ᾽ ἔρως φρένας secutus Hesychium, qui adi. ἑτερώνιος testatur omissa interpretatione. Ne. VIII 37: χρυσὸν εὔχονται, πεδίον δ᾽ ἕτεροι: „omissum in primo membro οἱ μέν" Dissen. opp. κεῖνος Py. II 89: ἀνέχει τοτὲ μὲν τὰ κείνων (θεός), τότ᾽ αὖθ᾽ ἑτέροις ἔδωκεν μέγα κῦδος. — 2) aucta vi diversitatis: *diversus* Ol. VII 86: ἐν Μεγάροισίν τ᾽ οὐχ ἕτερον λιθίνα ψᾶφος ἔχει λόγον. Py. II 52: καὶ ὑψιφρόνων τιν᾽ ἔκαμψε βροτῶν (θεός), ἑτέροισι δὲ κῦδος ἀγήραον παρέδωκ᾽: τοῖς ἀγαθοῖς. Schol. — *alienus* Py. XI 24: ἢ ἑτέρῳ λέχεϊ δαμαζομέναν ἔννυχοι πάραγον κοῖται; — *ceterus* Py. II 80: ἅτε γὰρ εἰνάλιον πόνον ἐχοίσας βαθὺ σκευᾶς ἑτέρας, ἀβάπτιστός εἰμι. V 96: ἅτερθε δὲ πρὸ δωμάτων ἕτεροι λαχόντες ἀίδαν βασιλέες ἱεροὶ ἐντί. — *adversus, infestus* Py. III 34: δαίμων δ᾽ ἕτερος ἐς κακὸν τρέψαις ἐδαμάσσατό νιν: per euphemismum dictum, cf. Ne. VIII 3: τὸν μὲν ἁμέροις ἀνάγκας χερσὶ βαστάξεις, ἕτερον δ᾽ ἑτέραις.

ἑτερώνιος v. ἕτερος.

ἐτήτυμος *verus, certus* Ne. VII 63: κλέος ἐτήτυμον αἰνέσω. Ol. X 54: ὅ τ᾽ ἐξελέγχων μόνος ἀλάθειαν ἐτήτυμον Χρόνος.

ἔτι 1) de tempore: *adhuc*, c. verbis Py. III 63: εἰ δὲ σώφρων ἄντρον ἔναι᾽ ἔτι Χείρων. Ne. IV 13: εἰ δ᾽ ἔτι — ἀελίῳ σὸς πατὴρ ἐθάλπετο. fr. 185 (184): ἔτι δὲ τειχέων κηκίει καπνός. Py. X 25: ζώων ἔτι. c. adi. fr. 131 (96), 3: ζωὸν δ᾽ ἔτι λείπεται αἰῶνος εἴδωλον. c. negat. Ne. IX 14: ἀρχοὶ δ᾽ οὐκ ἔτ᾽ ἔσαν Ταλαοῦ παῖδες. — *porro* Ol. II 16 (14): εὔφρων ἄρουραν ἔτι πατρίαν σφίσιν κόμισον λοιπῷ γένει. — 2) de mensura et gradu, *insuper, etiam* Ne. IV 80: μάτρῳ μ᾽ ἔτι Καλλικλεῖ κελεύεις στάλαν θέμεν. II 6: ὀφείλει δ᾽ ἔτι — Ἰσθμιάδων δρέπεσθαι κάλλιστον ἄωτον. IX 47: οὐκ ἔστι πόρσω θνατὸν ἔτι σκοπιᾶς ἄλλας ἐφάψασθαι ποδοῖν. Is. I 65: ἔτι καὶ Πυθῶθεν Ὀλυμπιάδων τ᾽ ἐξαιρέτοις Ἀλφεοῦ ἔρνεσι φράξαι χεῖρα. — c. compar. Ol. 112 (109): ἔτι γλυκυτέραν — ὁδὸν λόγων. fr. 194 (206), 4: ἔτι μᾶλλον. Py. X 57: ἔτι καὶ μᾶλλον.

ἑτοῖμος (sg. m. ἑτοῖμος, -ον) *paratus, promptus* 1) de rebus Py. VI 7: Ξενοκράτει ἑτοῖμος ὕμνων θησαυρὸς ἐν πολυχρύσῳ Ἀπολλωνίᾳ τετείχισται νάπᾳ: sc. poetis. Ol. VI 12: τὶν δ᾽ αἶνος ἑτοῖμος (sc. ἐστί): πρόχειρος καὶ ἁρμόδιος. Schol. Ol. I 71 (69): ἑτοῖμον ἀνεφρόντισεν γάμον Πισάτα παρὰ πατρὸς εὔδοξον Ἱπποδάμειαν σχεθέμεν: ἐπεὶ πᾶσι παρέκειτο. ἆθλος γὰρ ἦν τῷ νικῶντι. Schol. — 2) de personis Ol. II 84 (76): Ῥαδαμάνθυος, ὃν πατὴρ ἔχει Γᾶς ἑτοῖμον αὐτῷ πάρεδρον. Ne. IV 74: Θεανδρίδαισι δ᾽ ἀεξιγυίων ἀέθλων κᾶρυξ ἑτοῖμος ἔβαν. c. dat. Ol. IV 12 (16): ἐπεί νιν αἰνέω, μάλα μὲν τροφαῖς

ἑτοῖμον ἵππων. Ceterum ubique fere var. ἕτοιμος.

ἔτος *annus* Ne. XI 40: πάσαις ἐτέων περόδοις. digammatum Ol. II 102 (93): ἑκατόν γε ἐτέων: „per integrum saeculum" Dissen. fr. 133 (98), 2: κείνων ἐνάτῳ ἔτεϊ ἀνδιδοῖ ψυχάς (Boeckh., vulgo ἔτει).

ἐτός *verus* Ne. X 11: Ζεὺς ἐπ' Ἀλκμήναν Δανάαν τε μολὼν ἐτὸν κατέφανε λόγον (Bergk., libri τὸν, Boeckh. τὸν μὲν, Christ. c. Schmidio τοῦτον). VII 25: εἰ γὰρ ἦν ἐτὰν ἀλάθειαν ἰδέμεν (Bergk., libri 'ἑὰν v. ἑὰν v. ἐὰν, Boeckh. ἑ τὰν). Is. II 10: νῦν δ' ἐφίητι τὸ τὠργείου φυλάξαι ῥῆμ' ἀλαθείας ἐτᾶς ἄγχιστα βαῖνον (Bergk., libri ἀληθείας v. ἀληθείας καλῶς, Herm. ἀλαθείας ὁδῶν).

ἔτυμος *verus* Ol. II 61 (55): πλοῦτος —, ἀστὴρ ἀρίζηλος, ἐτυμώτατον ἀνδρὶ φέγγος. Py. I 68: τοιαύταν — αἶσαν ἀστοῖς καὶ βασιλεῦσιν διακρίνειν ἔτυμον λόγον ἀνθρώπων: v. διακρίνω. — adv. **ἐτύμως** *vere* Ol. VI 77: εἰ δ' ἐτύμως — μάτρωες ἄνδρες — ἐδώρησαν θεῶν κάρυκα λιταῖς θυσίαις.

εὖ (nusquam corripitur) adv. *bene* 1) recte, pulchre Is. III 59 (IV 41): εἴ τις εὖ εἴπῃ τι. Py. IX 93: τό γ' ἐν ξυνῷ πεπονημένον εὖ. IX 49: χὠπόθεν ἔσσεταί, εὖ καθορᾷς. IV 287: εὖ νιν ἔγνωκεν. Ne. IV 43: εὖ οἶδ' ὅτι χρόνος ἕρπων πεπρωμέναν τελέσει (sc. ἀρετάν). Py. I 99: εὖ δ' ἀκούειν δευτέρα μοῖρ', cf. Ne. I 32. — 2) feliciter Ol. XI 4: εἰ δὲ σὺν πόνῳ τις εὖ πράσσῃ, cf. Ol. IV 4. Py. II 73. Is. IV (V) 13: εἴ τις εὖ πάσχων λόγον ἐσλὸν ἀκούσῃ, cf. Py. I 99. III 104. Ne. I 32: εὖ τε παθεῖν καὶ ἀκοῦσαι. Ne. XI 3: εὖ μὲν Ἀρισταγόραν δέξαι τεὸν ἐς θάλαμον, εὖ δ' ἑταίρους ἀγλαῷ σκάπτῳ πέλας: „fauste" Boeckh.

εὖ v. **εὔζωα**.

εὐαγκής *pulchra valle insignis, leniter declivis* Ne. V 46: οἴκοι τ' ἐκράτει Νίσου τ' ἐν εὐαγκεῖ λόφῳ: τουτέστιν ἐν Μεγάροις. Schol.

εὐᾱγορέω *laudo* Is. I 51: ὃς δ' ἀμφ' ἀέθλοις ἢ πολεμίζων ἄρηται κῦδος ἁβρόν, εὐαγορηθεὶς κέρδος ὕψιστον δέκεται.

εὐάγων *bene certans* Ne. X 38: ἕπεται — εὐάγων τιμά: „gloria felicium certaminum" Dissen.

Εὐάδνα *Evadne*, Neptuni et Pitanae filia, mater Iami Ol. VI 30: ἅ τοι (Pitane) Ποσειδάωνι μιχθεῖσα Κρονίῳ λέγεται παῖδα ἰόπλοκον Εὐάδναν τεκέμεν. VI 49: εἴρετο παῖδα, τὸν Εὐάδνα τέκοι.

εὔᾱθλος *bene certans* Is. V (VI) 3: κρατῆρα Μοισαίων μελέων κίρναμεν Λάμπωνος εὐάθλου γενεᾶς ὕπερ (Christ. εὐαέθλου).

εὐαίνητος *laudibus clarus* Py. IV 177: ἔμολεν εὐαίνητος Ὀρφεύς.

εὐᾱμερία *felicitas* Is. I 40: νῦν δ' αὖτις ἀρχαίας ἐπέβασε πότμος συγγενὴς εὐαμερίας.

εὔαν fr. 303: τὸ Καρβὰν παρασύνθετον, Καριβόος, Καριβόαν καὶ Καρβάν, μόνον τὸ Εὔαν (Εὐὰν?) θηλυκὸν παρὰ Πινδάρῳ (Cram. An. Ox. IV p. 329, 17). „fort. huc pertinet Hesych.: Εὐάν· ὁ κισσὸς ὑπὸ Ἰνδῶν. Sed L. Dindorf. coni. Εὐνάν" Bergk.

εὔανδρος *viris florens* Py. I 40: ἐθελήσαις ταῦτα νόῳ τιθέμεν εὔανδρόν τε χώραν: Aetnam urbem. Ne. V 9: ἄρουραν, τάν ποτ' εὔανδρόν τε καὶ ναυσικλυτὰν θέσσαντο: Aeginam.

εὐάνθεμος *bene v. plene florens, floridus* Ol. I 69 (67): πρὸς εὐάνθεμον δ' ὅτε φυὰν λάχναι νιν μέλαν γένειον ἔρεφον: h. e. „circa adolescentiam" Dissen.

εὐανθής (m. f. εὐανθής, -εῖ, -έ(α)) *floridus* Is. VI (VII) 51: πόρε, Λοξία, τεαῖσιν ἁμίλλαις εὐανθέα καὶ Πυθόι στέφανον. met. Ol. VI 84: ματρομάτωρ ἐμὰ Στυμφαλίς, εὐανθὴς Μετώπα: „huius lacus ripae floridae fuisse videntur, unde etiam dea florida est s. pulchritudine florens" Dissen. Py. II 62: εὐανθέα δ' ἀναβάσομαι στόλον ἀμφ' ἀρετᾷ κελαδέων: „coronatis navibus, ominis causa ut in fausta et magnifica expeditione" Dissen.; rectius, quod affertur nuntius victoriae. Is. IV (V) 12: εὐανθεῖ σὺν ὄλβῳ. fr. 129 (95), 5: παρὰ δέ σφισιν εὐανθὴς ἅπας τέθαλεν ὄλβος. Py. I 89: εὐανθεῖ δ' ἐν ὀργᾷ παρμένων: h. e. „servans indolem, quae praeclare in te viget" Dissen. Is. VI (VII) 34: εὐανθέ' ἀπέπνευσας ἁλικίαν προμάχων ἀν' ὅμιλον.

εὐᾱνορία *fortium virorum copia* Ol. V 20: αἰτήσων πόλιν εὐανορίαισι

τάνδε κλυταῖς δαιδάλλειν: h. e. „viris eximiis, qualis nunc Psaumis" Dissen.

εὐάνωρ (sg. m. f. εὐάνορι, -α. pl. m. εὐάνορες) *fortibus viris praestans* Ol. VI 80: Ἀρκαδίαν τ' εὐάνορα τιμᾷ. I 24: ἐν εὐάνορι Λυδοῦ Πέλοπος ἀποικίᾳ: dicitur Pisa. Ol. X 99: κλυτὸν ἔθνος Λοκρῶν ἀμφέπεσον μέλιτι εὐάνορα πόλιν καταβρέχων. Ne. II 17: Ἀχάρναι δὲ παλαίφατοι εὐάνορες: „robusti enim Acharnenses, cf. Arist. Ach. 179 sqq." Dissen. Ne. X 36: καρπὸς ἐλαίας ἔμολεν Ἥρας τὸν εὐάνορα λαόν: „ornatius dictum pro Argivis, quum haec Argis in Heraeis canerentur" Dissen.

εὐάρματος *curribus insignis* Py. II 5: εὐάρματος Ἱέρων. Is. II 17: εὐάρματον ἄνδρα γεραίρων: Xenocratem. fr. 195 (207): εὐάρματε — Θήβα. Py. IV 7: εὐάρματον πόλιν: Cyrenas.

εὐᾱχής *canorus* Py. II 14: ἄλλοις δέ τις ἐτέλεσσεν ἄλλος ἀνὴρ εὐαχέα βασιλεῦσιν ὕμνον (var. et schol. εὐανχέα, unde Boeckh. εὐναχέα h. e. εὐϝαχέα primitivam lectionem fuisse coni.).

Εὔβοια *Euboea* Is. I 57: Ἐλευσῖνα καὶ Εὔβοιαν ἐν γναμπτοῖς δρόμοις (sc. κελαδῆσαι). Ol. XIII 112: ἅ τ' Εὔβοια (sc. μαρτυρήσει).

εὔβουλος *bene consulens, prudens* Py. III 92: Νηρέος εὐβούλου Θέτιν παῖδα: propter vaticinandi artem et summam sapientiam. Is. VII 32 (VIII 34): εἶπε δ' εὔβουλος ἐν μέσοισι Θέμις: „utpote dea vaticinans et quae sapientia consilia dat" Dissen., cf. Ol. XIII 8: παῖδες εὐβούλου Θέμιτος. fr. 30 (6), 1: εὔβουλον Θέμιν.

εὔγνωτος v. **πολύγνωτος.**

εὐδαιμονία *felicitas* Ne. VII 56: τυχεῖν δ' ἕν' ἀδύνατον εὐδαιμονίαν ἅπασαν ἀνελόμενον. Py. VII 21: φαντί γε μὰν οὕτω κεν ἀνδρὶ παρμονίμαν θάλλοισαν εὐδαιμονίαν τὰ καὶ τὰ φέρεσθαι. Py. III 84: τὶν δὲ μοῖρ' εὐδαιμονίας ἕπεται.

εὐδαίμων (sg. m. f. εὐδαίμων, -ονος, -ονι, -ον'. pl. m. εὐδαιμόνων) *beatus, felix* Is. V (VI) 25: Πηλέος —, εὐδαίμονος γαμβροῦ θεῶν. Py. X 22: εὐδαίμων δὲ καὶ ὑμνητὸς οὗτος ἀνὴρ γίνεται σοφοῖς. fr. 88 (58), 6: ἔνθα τεκοῖσ' εὐδαίμον' ἐπόψατο γένναν. fr. 134 (99): εὐδαιμόνων (var. εὐδαίμων) δραπέτας οὐκ ἔστιν ὄλβος. — Py. IV 276: τλᾶθι τᾶς εὐδαίμονος ἀμφὶ Κυράνας θέμεν σπουδὰν ἅπασαν. Ne. VII 100: βίοτον — διαπλέκειν εὐδαίμον' ἐόντα. Ol. II 20 (18): λάθα δὲ πότμῳ σὺν εὐδαίμονι γένοιτ' ἄν.

εὐδείελος *apricus* Ol. I 114 (111): παρ' εὐδείελον ἐλθὼν Κρόνιον. Py. IV 76: ἐς εὐδείελον χθόνα — Ἰωλκοῦ.

εὔδενδρος *arboribus consitus* Py. IV 74: πὰρ μέσον ὀμφαλὸν εὐδένδροιο ῥηθὲν ματέρος: Delphi dicuntur. Ol. VIII 9: ὦ Πίσας εὔδενδρον ἐπ' Ἀλφεῷ ἄλσος. Ne. XI 25: παρ' εὐδένδρῳ — ὄχθῳ Κρόνου.

εὐδία *serenitas*, met. pro tranquillitate Is. VI (VII), 38: ἀλλὰ νῦν μοι Γαιάοχος εὐδίαν ὄπασσεν ἐκ χειμῶνος. fr. 109 (228): τὸ κοινόν τις ἀστῶν ἐν εὐδίᾳ τιθείς. Ol. I 101 (98): ὁ νικῶν — ἔχει μελιτόεσσαν εὐδίαν ἀέθλων γ' ἕνεκεν. (de Py. V 10 v. εὐδιανός.)

εὐδιᾱνός *serenam reddens tempestatem* Ol. IX 97: καὶ ψυχρᾶν — εὐδιανὸν φάρμακον αὐρᾶν Πελλάνα φέρε: ἀντὶ τοῦ ἀνάπαυσιν τὴν ἀλεξάνεμον, ὅτι ἐν Πελλήνῃ χλαῖνα ἐδίδοτο τῷ νικῶντι. Schol. Py. V 10: εὐδιάν' ὡς μετὰ χειμέριον ὄμβρον τεὰν καταιθύσσει μάκαιραν ἑστίαν (εὐδιάν' ὡς h. e. εὐδιανὰ ὡς Bergk., libri εὐδίαν ὃς itemque scholia, Schneider. coni. εὐδιανὸς).

ἐύδμᾱτος *bene aedificatus* Py. XII 3: ναίεις Ἀκράγαντος ἐύδματον κολώναν: h. e. „tectum aedificiis pulcris" Dissen.

εὐδοξία 1) *gloria* Py. V 8: σὺν εὐδοξίᾳ μετανίσσεαι ἕκατι — Κάστορος. — 2) *virtus* Ne. III 40: συγγενεῖ δέ τις εὐδοξίᾳ μέγα βρίθει.

εὔδοξος (sg. m. f. εὔδοξος, -ου, -ῳ, -ον. n. εὔδοξον. pl. m. εὐδόξων, -οις) *illustris, clarus*, imprimis victoriae laude Ne. VII 8: ἀρετᾷ κριθεὶς εὔδοξος ἀείδεται Σωγένης μετὰ πενταέθλοις: „gloriam habens inter quinquertiones" Dissen. Py. XII 6: δέξαι στεφάνωμα τόδ' ἐκ Πυθῶνος εὐδόξῳ Μίδᾳ (var. εὐδόξου Μίδα). Is. II 34: εἴ τις εὐδόξων ἐς ἀνδρῶν ἄγοι τιμὰς Ἑλικωνιάδων. Ol. I 72 (70): εὔδοξον Ἱπποδάμειαν. — Ol. XIV 23: κόλποις παρ' εὐδόξοις Πίσας ἐστεφάνωσε — χαίταν (Boeckh., libri

εὐδόξοιο, Bergk. εὐδόξοις). Py. IV 17: εὔδοξον ἅρματι νίκαν Κρισαίαις ἐνὶ πτυχαῖς ἀπαγγελεῖ. Is. III 1: σὺν εὐδόξοις ἀέθλοις. Is. VII 2 (VIII 1): λύτρον εὔδοξον — καμάτων. fr. 172 (158), 4: τὸν Ἰάσονος εὔδοξον πλόον ἐκτελέσαις.

εὕδω *dormio* Ol. XIII 67: εὕδεις, Αἰολίδα βασιλεῦ; Py. I 6: εὕδει δ' ἀνὰ σκάπτῳ Διὸς αἰετός. fr. 131 (96): εὕδει δὲ πρασσόντων μελέων (εἴδωλον), ἀτὰρ εὑδόντεσσιν ἐν πολλοῖς ὀνείροις δείκνυσι τερπνῶν ἐφέρποισαν χαλεπῶν τε κρίσιν. — met. Is. VI (VII) 17: ἀλλ' ἁ παλαιὰ γὰρ εὕδει χάρις: h. e. „obscurata est oblivione“ Dissen.

εὐειδής *formosus* Is. VII 28 (VIII 31): ἄλοχον εὐειδέ' ἐθέλων ἑκάτερος ἑὰν ἔμμεν (Boeckh., libri εὐειδέα θέλων): sc. Thetin.

εὐεργεσία *beneficium* Is. V (VI) 70: ξένων εὐεργεσίαις ἀγαπᾶται: h. e. „liberalitate in hospites“ Dissen.

εὐεργέτας (sg. εὐεργέταν. pl. εὐεργέται) *benefactor, beneficus* Py. II 24: τὸν εὐεργέταν ἀγαναῖς ἀμοιβαῖς ἐποιχομένους τίνεσθαι. V 44: ἑκόντι τοίνυν πρέπει νόῳ τὸν εὐεργέταν ὑπαντιάσαι: Apollinem, ludorum praesidem. Py. IV 30: φιλίων δ' ἐπέων ἄρχετο, ξείνοις ἅ τ' ἐλθόντεσσιν εὐεργέται δεῖπν' ἐπαγγέλλοντι πρῶτον: benevoli homines, v. εὐεργεσία. c. gen. Is. I 53: ἄμμι δ' ἔοικε Κρόνου σεισίχθον' υἱὸν γείτον' ἀμειβομένοις εὐεργέταν ἁρμάτων ἱπποδρόμιον κελαδῆσαι. c. dat. Ol. II 104 (94): φίλοις ἄνδρα μᾶλλον εὐεργέταν — Θήρωνος, ubi est pro adiectivo.

εὐερκής *bene septus* Ol. XIII 109: Αἰακιδᾶν τ' εὐερκὲς ἄλσος (μαρτυρήσει): sc. mari.

εὐζωά *laetitia* Py. IV 131: ἀθρόαις πέντε δραπὼν νύκτεσσιν ἔν θ' ἁμέραις ἱερὸν εὐζωᾶς ἄωτον (var. εὖ ζωᾶς, Bergk. εὖ ζωᾶς).

εὐήρατος *amabilis, amoenus* Ol. VI 98: σὺν δὲ φιλοφροσύναις εὐηράτοις Ἁγησία δέξαιτο κῶμον. V 9: Πέλοπος παρ' εὐηράτων σταθμῶν (var. εὐηλάτων). Py. IX 8: ῥίζαν ἀπείρου τρίταν εὐήρατον θάλλοισαν οἰκεῖν: Libyam.

εὐθαλής *bene florens* Py. IX 72: ἐν Πυθῶνί νιν ἀγαθέᾳ Καρνειάδα υἱὸς εὐθαλεῖ συνέμιξε τύχᾳ.

εὔθρονος *pulchrae sellae insidens, pulchrithronus* Is. II 5: Ἀφροδίτας εὐθρόνου. Ne. III 83: εὐθρόνου Κλεοῦς ἐθελοίσας. Py. IX 60: εὐθρόνοις Ὥραισι. Ol. II 24 (22): ἕπεται δ' ὁ λόγος εὐθρόνοις Κάδμοιο κούραις: quum sint divinae. Ὁμηρικὸς ζῆλος τὸ εὐθρόνοις. Schol.

εὐθύ v. **εὐθύς.**

εὐθύγλωσσος *libere et sincere loquens* Py. II 86: ἐν πάντα δὲ νόμον εὐθύγλωσσος ἀνὴρ προφέρει: ὁ εὐθυρρήμων καὶ παρρησιαστικός, ὁ μὴ ἕτερα μὲν λέγων ἕτερα δὲ νοῶν. Schol.

εὐθυμάχας *recta pugnans* Ol. VII 15: εὐθυμάχαν ὄφρα πελώριον ἄνδρα — αἰνέσω: „idem est εὐθυμάχας: recta in adversarium tendens, sine metu vel ambagibus, Homero ἰθὺς μάχεσθαι“ Boeckh.

Εὐθυμένης *Euthymenes* Aegineta, Pytheae et Phylacidae avunculus (vel potius amitinus, v. Leutsch. Mus. Rhen. XVII 338 et Rauchenstein. Mus. Helvet. III 243) vicerat in Aeaceis Ne. V 41: τὺ δ' Αἰγίνᾳ θεοῦ, Εὐθύμενες, Νίκας ἐν ἀγκώνεσσι πίτνων ποικίλων ἔψαυσας ὕμνων: τοῦτο δέ φησι διὰ τὸ εἶναι αὐτὸν παγκρατιαστήν. Schol. Is. V (VI) 57: Φυλακίδᾳ γὰρ ἦλθον, ὦ Μοῖσα, ταμίας Πυθέᾳ τε κώμων Εὐθυμένει τε· — ἄραντο γὰρ νίκας ἀπὸ παγκρατίου τρεῖς, ἀπ' Ἰσθμοῦ, τὰς δ' ἀπ' εὐφύλλου Νεμέας: Nemae vicisse eum existimat Bergk., in Isthmo Mezger.; v. τρεῖς.

εὐθυμία 1) *gaudium, laetitia* Ol. II 38 (34): ῥοαὶ δ' ἄλλοτ' ἄλλαι εὐθυμιᾶν τε μετὰ καὶ πόνων ἐς ἄνδρας ἔβαν. Is. I 63: ἦ μὰν πολλάκι καὶ τὸ σεσωπαμένον εὐθυμίαν μείζω φέρει. — 2) **Εὐθυμία** *Laetitia* dea fr. 155 (127): φίλος δὲ Μοίσαις, Εὐθυμίᾳ τε μέλων εἴην.

εὔθυμος *placidus, hilaris*, de senectute Ol. V 22: σέ τ', Ὀλυμπιόνικε, — φέρειν γῆρας εὔθυμον ἐς τελευτάν.

εὐθύνω *dirigo*, met. Py. I 46: εἰ γὰρ ὁ πᾶς χρόνος ὄλβον μὲν οὕτω καὶ κτεάνων δόσιν εὐθύνοι: sc. ἐπ' αὐτόν, cf. Ne. VI 32 (28): εὔθυν' ἐπὶ τοῦτον, ἄγε, Μοῖσα, οὖρον ἐπέων εὐκλεᾶ (Schmid., libri εὐθὺν). Ol. XIII 28: τόνδε λαὸν ἀβλαβῆ νέμων Ξενοφῶντος εὔθυνε δαίμονος οὖρον: ποίει αὐτὸν εὐτυχῆ καὶ εὐδαίμονα. Schol.

Py. IV 153: ἱππόταις εὔθυνε λαοῖς δίκας: h. e. administrabat.

εὐθύπνοος *recta spirans* Ne. VII 29: ὃν — ἂν νασὶ πόρευσαν εὐθυπνόου Ζεφύροιο πομπαὶ πρὸς Ἴλου πόλιν.

εὐθυπομπός *recta deducens*, met. Ne. II 7: καθ' ὁδόν νιν εὐθυπομπὸς αἰὼν ταῖς μεγάλαις δέδωκε κόσμον Ἀθάναις.

εὐθυπορέω *recta incedo*, met. Ol. VII 91: ὕβριος ἐχθρὰν ὁδὸν εὐθυπορεῖ. c. dat. Is. IV (V), 60: αἰνέω καὶ Πυθέαν ἐν γυιοδάμαις Φυλακίδᾳ πλαγᾶν δρόμον εὐθυπορῆσαι χερσί: de institutione in arte gymnastica a Pythea curata cogitandum. Dissenius vero: „recta praeivisse; Pytheas enim, victor in Nemeis, certamina praeeundo fratrem vincere docuerat“ Dissen.

εὐθύς (sg. m. εὐθύν. f. εὐθεῖα, -εία. pl. f. εὐθείαις. — sup. εὐθυτάτῳ) *rectus* 1) directus Ol. VII 33: ναῶν πλόον εἶπε Λερναίας ἀπ' ἀκτᾶς εὐθὺν ἐς ἀμφιθάλασσον νομόν (var. εὐθὺς ἐς, εὔθυν' ἐς, εὐθύν' ἐς, εὐθῦν' ἐς, εὐθύναις). X 64: στάδιον μὲν ἀρίστευσεν, εὐθὺν τόνον ποσσὶ τρέχων (Thiersch., libri εὐθύτονον v. εὐθύπονον). fr. 108 (75): θεοῦ δὲ δείξαντος ἀρχὰν ἕκαστον ἐν πρᾶγος εὐθεῖα δὴ κέλευθος ἀρετὰν ἑλεῖν. Ol. XIII 93: ἐμὲ δ' εὐθὺν ἀκόντων ἱέντα ῥόμβον παρὰ σκοπὸν οὐ χρὴ τὰ πολλὰ βέλεα καρτύνειν χεροῖν. VI 103: δέσποτα ποντόμεδον, εὐθὺν δὲ πλόον καμάτων ἐκτὸς ἐόντα δίδοι: h. e. felicem. — 2) verus, iustus Ne. X 12: φρενῶν καρπὸν εὐθεία συνάρμοξεν δίκα. I 25: τέχναι δ' ἑτέρων ἕτεραι· χρὴ δ' ἐν εὐθείαις ὁδοῖς στείχοντα μάρνασθαι φυᾶ. Ol. XIII 12: ἔχω καλά τε φράσαι, τόλμα τέ μοι εὐθεῖα γλῶσσαν ὀρνύει λέγειν: „geradeausstrebende Zuversicht“ Mezger. ἀντὶ τοῦ δικαία. Schol. Py. III 28: Λοξίας κοινᾶνι παρ' εὐθυτάτῳ γνώμαν πιθὼν πάντα ἴσαντι νόῳ: „bei seinem untrüglichen Berater“ Mezger.

εὐθύς adv. 1) *recta* Is. VII 41 (VIII 45): ἰόντων δ' ἐς ἄφθιτον ἄντρον εὐθὺς Χείρωνος αὐτίκ' ἀγγελίαι (Bergk. sec. Herm. εὐθὺ). Py. IV 83: τάχα δ' εὐθὺς ἰών: „utpote sibi confidens“ Boeckh. — 2) *statim, protinus* Ol. VIII 41: ἔννεπε δ' ἀντίον ὁρμαίνων τέρας εὐθὺς Ἀπόλλων. XIII 86: ἀναβὰς δ' εὐθὺς ἐνόπλια χαλκωθεὶς ἔπαιζεν. Ol. XIII 82. Py. IV 34. IX 39. Ne. I 54. V 33.

εὐθύτομος *recta sectus* Py. V 90: εὐθύτομόν τε κατέθηκεν Ἀπολλωνίαις ἀλεξιμβρότοις πεδιάδα πομπαῖς ἔμμεν ἱππόκροτον σκυρωτὰν ὁδόν (Schmid. c. schol. εὐθύτονον).

εὔιππος *bonos equos habens* Py. IV 2: εὐίππου βασιλῆι Κυράνας. III 8: εὐίππου Φλεγύα θυγάτηρ. Ol. III 39: κῦδος εὐίππων διδόντων Τυνδαριδᾶν. VIII 47: Ἀμαζόνας εὐίππους.

εὔκαρπος *bene fructus ferens, fertilis* Py. I 30: τοῦτ' ἐφέπεις ὄρος, εὐκάρποιο γαίας μέτωπον: Siciliae. Ne. I 14: ἀριστεύοισαν εὐκάρπου χθονὸς Σικελίαν πίειραν ὀρθώσειν κορυφαῖς πολίων ἀφνεαῖς.

εὐκλεής (sg. m. f. εὐκλέι, εὐκλέ(ᾰ), εὐκλεᾶ. pl. m. εὐκλέᾰς. n. εὐκλέων) *bonam famam habens, clarus, illustris* Ol. X 85: παρ' εὐκλέι Δίρκᾳ (var. εὐκλεεῖ). Py. IX 56: δέξεται εὐκλέα νύμφαν. Ol. VI 76: οἷς — ποτιστάξῃ Χάρις εὐκλέα μορφάν (var. εὐκλεᾶ): οἱ νικῶντες δοκοῦσιν εὐειδεῖς εἶναι . . . ἡ γὰρ ἐν τῷ προσώπῳ ἐπιφαινομένη ἡδονὴ τεκμήριόν ἐστι τῆς ἐν τῇ ψυχῇ ἡδονῆς. Schol. Py. XII 24: νόμον, εὐκλεᾶ λαοσσόων μναστῆρ' ἀγώνων (Schmid., libri εὐκλέα). Ne. V 15: λίπον εὐκλέα νᾶσον. VI 53 (46): νᾶσον εὐκλέα τάνδε κοσμεῖν. fr. 75 (45), 5: πανδαίδαλόν τ' εὐκλέ' ἀγοράν: sc. Athenarum. Py. VIII 62: πάνδοκον ναὸν εὐκλέα διανέμων Πυθῶνος ἐν γυάλοις. Is. III 7: εὐκλέων δ' ἔργων ἄποινα, cf. III 41 (IV 23). Ne. II 24: κωμάξατε Τιμοδήμῳ σὺν εὐκλέι νόστῳ (ed. Rom., libri εὐκλεεῖ). III 68: τάνδε νᾶσον εὐκλέι προσέθηκε λόγῳ. VI 33 (29): εὔθυν' ἐπὶ τοῦτον ἐπέων, ὦ Μοῖσ', ἄγ' οὖρον εὐκλεϊα (Boeckh., libri ἄγε Μοῖσα οὖρον ἐπέων εὐκλέα, Bergk. εὐκλεᾶ). Ol. II 99 (90): τίνα βάλλομεν ἐκ μαλθακᾶς αὖτε φρενὸς εὐκλέας ὀιστοὺς ἱέντες;

εὐκλεΐζω *celebro* Py. IX 91: Αἰγίνᾳ τε γὰρ φαμὶ Νίσου τ' ἐν λόφῳ τρὶς δὴ πόλιν τάνδ' εὐκλεΐξαι σιγαλὸν ἀμαχανίαν ἔργῳ φυγών.

ἐυκτήμων *opulentus* Ne. VII 92: εὐτυχῶς ναίειν — προγόνων ἐυκτήμονα ζαθέαν ἀγυιάν: „ob domos opulentas Euxenidarum“ Dissen.

εὔκῡκλος *bene rotundus* Ne. IV 66: *εἶδεν δ' εὔκυκλον ἕδραν, τᾶς οὐρανοῦ βασιλῆες πόντου τ' ἐφεζόμενοι δῶρα καὶ κράτος ἐξέφαναν ἐγγενὲς αὐτῷ* (Bergk. coni. *ἕδραν ὡς οὐρ.* vel *εἶδεν δ', ἔγκυκλ' ἕδραν', ὡς γᾶς οὐρ.*, „ut tres partes mundi, terra, coelum, mare ordine recenseantur"). v *ἕδρα.*

εὐλογία *praedicatio*, *laus*, Ol. V 24: *ἐξαρκέων κτεάτεσσι καὶ εὐλογίαν προστιθείς.* Ne. IV 5: *εὐλογία φόρμιγγι συνάορος*: h. e. hymnus laudatorius. Is. III 3: *ἄξιος εὐλογίαις ἀστῶν μεμῖχθαι.* V (VI) 21: *τάνδ' ἐπιστείχοντα νᾶσον ῥαινέμεν εὐλογίαις.*

εὔμαλλος *ex bona lana factus*, *laneus*, *villosus* Is. IV (V) 62: *λάμβανέ οἱ στέφανον, φέρε δ' εὔμαλλον μίτραν.*

εὐμᾰρής *promptus*, *facilis* Ne. XI 33: *συμβαλεῖν μὰν εὐμαρὲς ἦν.* Py. III 105: *παύροις δὲ πράξασθ' εὐμαρές.* Ne. III 21: *οὐκέτι πρόσω ἀβάταν ἅλα κιόνων ὑπὲρ Ἡρακλέος περᾶν εὐμαρές.*

εὐμᾱχᾰνία *opportunitas* Is. III 20 (IV 2): *ὦ Μέλισσ', εὐμαχανίαν γὰρ ἔφανας Ἰσθμίοις ὑμετέρας ἀρετὰς ὕμνῳ διώκειν.*

εὐμενέω *sum benevolus*, c. acc. Py. IV 127: *ταχέως δ' Ἄδματος ἷκεν καὶ Μέλαμπος εὐμενέοντες ἀνεψιόν*: „*εὐμενεῖν τινα* notabile est ut *δυσχεραίνειν τινα*; qua analogia ita id defenditur, ut opus non sit construere *ἷκεν ἀνεψιόν*" Boeckh.

εὐμενής *benevolus*, *propitius* Py. II 25: *εὐμενέσσι γὰρ παρὰ Κρονίδαις γλυκὺν ἑλὼν βίοτον.* VIII 18: *ὃς* (h. e. Apollo) *εὐμενεῖ νόῳ Ξενάρκειον ἔδεκτο — υἱόν.* Ol. XIV 15: *ἰδοῖσα τόνδε κῶμον ἐπ' εὐμενεῖ τύχᾳ κοῦφα βιβῶντα*: h. e. propter victoriam.

εὐμενία *benevolentia* Py. XII 4: *ὦ ἄνα, ἵλαος ἀθανάτων ἀνδρῶν τε σὺν εὐμενίᾳ* (var. *εὐμενείᾳ*) *δέξαι στεφάνωμα.*

εὔμηλος *pulchros oves habens* Ol. VI 100: *ματέρ' εὐμήλοιο λεῖποντ' Ἀρκαδίας.*

εὐνά (sg. *εὐνᾶς*, *-άν*. pl. *εὐναί*, *-αῖς*) 1) *cubile* fr. 122 (87), 7: *ἐρατειναῖς ἐν εὐναῖς μαλθακᾶς ὥρας ἀπὸ καρπὸν δρέπεσθαι.* plur. pro sing. Py. II 27: *Ἥρας —, τὰν Διὸς εὐναὶ λάχον πολυγαθέες.* IX 12: *καί σφιν ἐπὶ γλυκεραῖς εὐναῖς ἐρατὸν βάλεν αἰδῶ.* — 2) *concubitus*, *coniugium* Ol. IX 44: *ἄτερ δ' εὐνᾶς ὁμόδαμον κτισσάσθαν λίθινον γόνον.* Py. IX 41: *ἀμφαδὸν ἀδείας τυχεῖν τοπρῶτον εὐνᾶς.* Ol. VII 6: *θῆκέ νιν ζαλωτὸν ὁμόφρονος εὐνᾶς.* Ne. V 31: *νυμφείας ἐπείρα κεῖνος ἐν λέκτροις Ἀκάστου εὐνᾶς.* Is. VII 30 (VIII 33): *ἀλλ' οὔ σφιν ἄμβροτοι τέλεσαν εὐνὰν θεῶν πραπίδες.* Py. II 35: *εὐναὶ δὲ παράτροποι ἐς κακότατ' ἀθρόαν ἔβαλον.*

εὐνάζω *in cubili colloco* fr. 193 (205): *πενταετηρὶς ἑορτὰ βουπομπός, ἐν ᾇ πρῶτον εὐνάσθην ἀγαπατὸς ὑπὸ σπαργάνοις.* Py. III 25: *ἐλθόντος γὰρ εὐνάσθη ξένου λέκτροισιν ἀπ' Ἀρκαδίας*: concubuit.

εὐνομία 1) *iustitia* Py. V 67: *ἀπόλεμον ἀγαγὼν ἐς πραπίδας εὐνομίαν.* — 2) ***Εὐνομία*** *Iustitia* dea Ol. XIII 6: *ἐν τᾷ γὰρ* (*Κορίνθῳ*) *Εὐνομία ναίει.* IX 16: *ἂν* (*Ὀπόεντα*) *Θέμις θυγάτηρ τέ οἱ σώτειρα λέλογχεν μεγαλόδοξος Εὐνομία.*

εὔνομος *bonis instructus legibus* Is. IV (V) 22: *ἔμολον Λάμπωνος υἱοῖς τάνδ' ἐς εὔνομον πόλιν*: sc. propter Doricas leges. Ne. IX 29: *μοῖραν δ' εὔνομον αἰτέω σε παισὶν δαρὸν Αἰτναίων ὀπάζειν*: h. e. *εὐνομίαν*, rem publicam bone constitutam legibus, qualem Aetnaei Hieroni debebant" Dissen. met. Ol. I 38 (37): *ὁπότ' ἐκάλεσε πατὴρ τὸν εὐνομώτατον ἐς ἔρανον φίλαν τε Σίπυλον ἀμοιβαῖα θεοῖσι δεῖπνα παρέχων*: h. e. *δικαιότατον*, non cruentum caede filii.

Εὔξεινος *Euxinus* pontus Ne. IV 49: *ἐν δ' Εὐξείνῳ πελάγει φαεννὰν Ἀχιλεὺς νᾶσον* (Tricl. *εὐξένῳ*): sc. *ἔχει.*

Εὐξενίδας *Euxenides* h. e. Euxeni proles Ne. VII 70: *Εὐξενίδᾶ πάτραθε Σώγενες*: *φρατρία ἐν Αἰγίνῃ ἀπὸ Εὐξένου, ἧς ἐστιν ὁ Σωγένης.* Schol. curam hospitum hac voce tecte designari existimat Mezger. *πανταχοῦ τοὺς Αἰγινήτας φιλοξένους προσαγορεύει.* Schol.

εὔοδμος *bene olens*, *odorus* fr. 75 (45), 15: *ὁπότ' οἰχθέντος Ὡρᾶν θαλάμου εὔοδμον ἐπάγωσιν ἔαρ* (sc. *ἄνεμοι*).

εὐορκία *iustum et fidum iusiurandum*, *iustitia* Ol. II 72 (66): *παρὰ μὲν τιμίοις θεῶν, οἵτινες ἔχαιρον*

εὐορκίαις, ἄδακρυν νέμονται αἰῶνα: οἵτινες δίκαιοι ἦσαν ζῶντες. Schol.

εὐπάρᾱος *pulchris genis insignis* Py. XII 16: εὐπαράου κρᾶτα συλάσαις Μεδοίσας υἱὸς Δανάας (Christ. εὐπαράου): „ob pulcritudinem faciei, qua certabat cum Minerva" Dissen.

εὐπρᾱγία *felix eventus* Py. VII 18 (16): νέᾳ δ' εὐπραγίᾳ χαίρω τι. Ol. VIII 14: πολλαὶ δ' ὁδοὶ σὺν θεοῖς εὐπραγίας (recc. εὐπραξίας).

εὑρησιεπής *inventor verborum v. carminum* Ol. IX 80: εἴην εὑρησιεπὴς ἀναγεῖσθαι πρόσφορος ἐν Μοισᾶν δίφρῳ (plerique vett. εὑρεσιεπής). v. ἀναγέομαι.

Εὔρῑπος *Euripus* Py. XI 22: Ἰφιγένει' ἐπ' Εὐρίπῳ σφαχθεῖσα.

εὑρίσκω (act. praes. εὑρίσκοντι; ptc. εὑρίσκων. fut. εὑρήσεις, -ει. aor. εὗρεν, -ον. εὕροις. εὑρέτω. εὑρεῖν. εὑρών, -όντος, -όντι, -όντα, -όντεσσιν; εὕροισ'. — med. ipf. εὑρίσκοντο. aor. εὕρετο. εὕρηται. εὑρέσθαι. εὑρόμενον) I) Act. *invenio* 1) incido in, nanciscor Ol. XIII 74: ἐπιχώριον μάντιν ἄσμενος εὗρεν. Is. V (VI) 33: τὸν βουβόταν οὔρει ἴσον Φλέγραισιν εὑρὼν Ἀλκυονῆ. fr. 44 (23): Ὠγυγίους δ' εὗρεν. Ol. XII 8: σύμβολον δ' οὔ πώ τις ἐπιχθονίων πιστὸν ἀμφὶ πράξιος ἐσσομένας εὗρεν θεόθεν. — adipiscor Py. IV 50: νῦν γε μὲν ἀλλοδαπᾶν κριτὸν εὑρήσει γυναικῶν ἐν λέχεσιν γένος (Euphemus). IX 113: εὗρεν — ὠκύτατον γάμον. II 64: ὅθεν φαμὶ καὶ σὲ τὰν ἀπείρονα δόξαν εὑρεῖν, cf. fr. 227 (250). Ol. VII 89: ἄνδρα τε πὺξ ἀρετὰν εὑρόντα, cf. Is. I 43; v. tamen χράω. — 2) quaerendo aut excogitando reperio Ol. XIII 113: πᾶσαν κατὰ Ἑλλάδ' εὑρήσεις ἐρευνῶν μάσσον' ἢ ὡς ἰδέμεν. Py. X 29: πλόον ναυσὶ δ' οὔτε πεζὸς ἰὼν τάχ' εὕροις ἐς Ὑπερβορέων ἀγῶνα, θαυματὰν ὁδόν. Py. XII 22: εὗρεν θεός (sc. αὐλῶν πάμφωνον μέλος)· ἀλλά νιν εὑροῖσ' ἄνδρασι θνατοῖς ἔχειν, ὠνόμασεν κεφαλᾶν πολλᾶν νόμον. fr. 125 (91): τόν ῥα (sc. βάρβιτον) Τέρπανδρός ποθ' ὁ Λέσβιος εὗρεν πρῶτος ἐν δείπνοισι Λυδῶν ψαλμὸν ἀντίφθογγον ὑψηλᾶς ἀκούων πηκτίδος. Ol. I 113 (110): ἔτι γλυκυτέραν κεν ἔλπομαι σὺν ἅρματι θοῷ κλεΐξειν ἐπίκουρον εὑρὼν ὁδὸν λόγων. Ne. VI 62 (54): καὶ ταύταν μὲν παλαιότεροι ὁδὸν ἀμαξιτὸν εὗρον. Ol. III 4: νεοσίγαλον εὑρόντι τρόπον. Py. IV 299: εὗρε παγὰν ἀμβροσίων ἐπέων. Ol. XIII 17: ἅπαν δ' εὑρόντος ἔργον. — 3) cognosco Ne. IV 86: κεῖνος ἀμφ' Ἀχέροντι ναιετάων ἐμὰν γλῶσσαν εὑρέτω κελαδῆτιν. Ol. VII 25: τοῦτο δ' ἀμάχανον εὑρεῖν, ὅ τι νῦν ἐν καὶ τελευτᾷ φέρτατον ἀνδρὶ τυχεῖν. Py. XI 52: τῶν γὰρ ἀνὰ πόλιν εὑρίσκων τὰ μέσα μακροτέρῳ ὄλβῳ τεθαλότα μέμφομ' αἶσαν τυραννίδων. — II) Med. *mihi invenio, comparo* Py. I 48: ἀνίχ' εὑρίσκοντο θεῶν παλάμαις τιμάν (var. εὑρίσκοιντο, εὑρίσκοιτο): sc. Hiero eiusque fratres. Py. III 111: ἐλπίδ' ἔχω κλέος εὑρέσθαι κεν ὑψηλὸν πρόσω. Ne. VII 16: εἰ — εὕρηται (sc. ἔργα καλὰ) ἄποινα μόχθων κλυταῖς ἐπέων ἀοιδαῖς. Py. IV 187: φάρμακον κάλλιστον ἑᾶς ἀρετᾶς ἅλιξιν εὑρέσθαι σὺν ἄλλοις. fr. 226 (248): οὔτις ἑκὼν κακὸν εὕρετο. fr. 122 (87), 11: τί με λεξοῦντι Ἰσθμοῦ δεσπόται τοιάνδε μελίφρονος ἀρχὰν εὑρόμενον σκολίου.

εὐρυαίχμας *late pugnans* fr. 173 (160): Σύριον εὐρυαίχμαν διεῖπον στρατόν (sc. Amazones).

Εὐρυάλα *Euryale* Gorgo, soror Medusae a Perseo necatae Py. XII 20: παρθένος (h. e. Minerva) αὐλῶν τεῦχε πάμφωνον μέλος, ὄφρα τὸν Εὐρυάλας ἐκ καρπαλιμᾶν γενύων χριμφθέντα σὺν ἔντεσι μιμήσαιτ' ἐρικλάγκταν γόον.

εὐρυβίας *late potens, valde viribus pollens* Ol. VI 58: ἐκάλεσσε Ποσειδᾶν' εὐρυβίαν. Py. II 12: ὀρσοτρίαιναν εὐρυβίαν καλέων θεόν. IV 175: Περικλύμεν' εὐρυβία. IX 13: κούρᾳ δ' Ὑψέος εὐρυβία. Is. V (VI) 53: ἐπώνυμον εὐρυβίαν Αἴαντα.

εὐρύζυγος fr. 14. 15: καὶ Δία εὐρύζυγον (καλεῖ) ἄλλως παρὰ τὸ ὑψίζυγον (Eust. Pr. 16).

εὐρύκολπος *latum sinum habens, sinuosus* Ne. VII 33: παρὰ μέγαν ὀμφαλὸν εὐρυκόλπου — χθονός.

εὐρυλείμων *lata prata habens* Py. IX 55: νῦν δ' εὐρυλείμων πότνιά σοι Λιβύα δέξεται εὐκλέα νύμφαν.

εὐρυμέδων *late imperans* Ol. VIII 31: παῖς ὁ Λατοῦς εὐρυμέδων τε Ποσειδᾶν. Py. III 4: Οὐρανίδα γόνον εὐρυμέδοντα Κρόνου: Chironem.

εὐρύοψ *late sonans* fr. 238 Boeckh.:

χορὸς εὐρύοπα κέλαδον — φθεγγόμενος.

Εὐρύπῠλος *Eurypylus*, Neptuni et Celaenus filius Py. IV 33: φάτο δ' (sc. οἰοπόλος δαίμων, v. 28) Εὐρύπυλος Γαιαόχου παῖς — ἔμμεναι: Triton erat humana Eurypyli specie indutus. τοῦτον δὲ Ἀπολλώνιος ποτὲ μὲν Εὐρύπυλον προσαγορεύει, ποτὲ δὲ Τρίτωνα. Ἀκέσανδρος δέ φησιν ἀδελφὸν εἶναι τὸν Εὐρύπυλον Τρίτωνος. Schol.

εὐρύς (sg. m. εὐρύν. f. εὐρείας, -εῖαν. n. εὐρύ) *latus, amplus* Py. IV 48: κείναν λάβε σὺν Δαναοῖς εὐρεῖαν ἄπειρον. fr. 87 (58), 3: χθονὸς εὐρείας ἀκίνητον τέρας. Ne. I 42: ἐς θαλάμου μυχὸν εὐρὺν ἔβαν. Ol. X 95: τρέφοντι δ' εὐρὺ κλέος κόραι Πιερίδες Διός. neutr. sing. pro adv. Ol. V 18: Ἀλφεὸν εὐρὺ ῥέοντ'. XIII 24: ὕπατ' εὐρὺ ἀνάσσων Ὀλυμπίας (Bergk. sec. cod. E εὐρυανάσσων).

εὐρυσθενής (sg. m. εὐρυσθενής. m. f. εὐρυσθενεῖ. f. εὐρυσθενέ'. pl. f. εὐρυσθενέων) *late v. valde potens, robustus* Ol. XIII 80: ὅταν δ' εὐρυσθενεῖ κραταίποδ' ἀναρύῃ Γαιαόχῳ. Is. II 18: εὐρυσθενὴς εἶδ' Ἀπόλλων. Ne. III 36: εὐρυσθενὴς Τελαμών. V 4: Λάμπωνος υἱὸς Πυθέας εὐρυσθενής. Ol. XII 2: λίσσομαι, παῖ Ζηνὸς Ἐλευθερίου, Ἱμέραν εὐρυσθενέ' ἀμφιπόλει, σώτειρα Τύχα (Herm. ex scholiis rest., libri plerique ἱμέρα εὐρυσθενέ' [v. εὐρυσθένει v. ἱμέρας εὐρυσθενέος] ἀμφὶ πόλει, Bergk. coni. εὐρυσθενὲς). Py. VII 2: Ἀλκμανιδᾶν εὐρυσθενεῖ γενεᾷ. Ol. VII 23: Ἡρακλέος εὐρυσθενεῖ γέννᾳ. Py. V 1: ὁ πλοῦτος εὐρυσθενής. Ol. IV 9 (12): φάος εὐρυσθενέων ἀρετᾶν.

Εὐρυσθεύς *Eurystheus*, rex Argivorum Ol. III 28: εὖτέ νιν ἀγγελίαις Εὐρυσθέος ἔντυ' ἀνάγκα πατρόθεν χρυσόκερων ἔλαφον θήλειαν ἄξονθ'. fr. 169 (151), 6: Γηρυόνα βόας Κυκλωπίων ἐπὶ προθύρων Εὐρυσθέος — ἤλασεν. Py. IX 80: Εὐρυσθῆος (vett. Εὐρυσθέος v. Εὐρυσθέως) ἐπεὶ κεφαλὰν ἔπραθε: sc. Iolaus.

εὐρύτῑμος *late honoratus* Ol. I 43 (42): ὕπατον εὐρυτίμου ποτὶ δῶμα Διὸς μεταβᾶσαι.

Εὐρυτίων v. **Πηλεύς**.

Εὔρῠτος *Eurytus* Molionides Ol. X 28: πέφνε δ' Εὔρυτον (sc. Hercules): Κτέατος καὶ Εὔρυτος ἀδελφοί, τῷ μὲν δοκεῖν Ἄκτορος καὶ Μολιόνης, τῇ δὲ ἀληθείᾳ Ποσειδῶνος καὶ Μολιόνης ... ὅτε δὲ Ἡρακλῆς μετὰ Τιρυνθίων κατ' Αὐγείου ἐστράτευσε, συμμαχοῦντες οὗτοι Αὐγείᾳ ἔν τινι τόπῳ τῆς Ἤλιδος λοχήσαντες τοῦ στρατοῦ τὸ πλεῖστον διέφθειραν, ἔπειθ' ὕστερον αὐτοὺς Ἡρακλῆς εἰς τὸν ἀγῶνα μέλλοντας ἀπιέναι λοχήσας καὶ αὐτὸς ἐν ταῖς λόχμαις τῶν Κλεωνῶν τούτους ἀπέκτεινε. μονωθέντος οὖν Αὐγείου πρῶτον μὲν τὴν πόλιν αὐτοῦ πορθεῖ, ἔπειτα καὶ αὐτὸν ἀναιρεῖ. Schol.

εὐρυφᾰρέτρας *lata v. ampla pharetra instructus* Py. IX 26: εὐρυφαρέτρας — ἑκάεργος Ἀπόλλων. fr. 148 (115): εὐρυφάρετρ' Ἄπολλον.

ευρυχαίτας *lato v. passo capillo insignis* Is. VI (VII) 4: ἀνίκ' εὐρυχαίταν ἄντειλας Διόνυσον.

εὐρύχορος *spatiosus* Ol. VII 18: Ἀσίας εὐρυχόρου τρίπολιν νᾶσον πέλας ἐμβόλῳ ναίοντας (var. εὐρυχόροιο, εὐρυχώρου). Py. IV 43: ἐν τᾷδ' ἄφθιτον νάσῳ κέχυται Λιβύας εὐρυχόρου σπέρμα (var. εὐρυχώρου). Ne. X 52: εὐρυχόρου ταμίαι Σπάρτας ἀγώνων. Py. VIII 55: Ἄβαντος εὐρυχόρους ἀγυιάς (var. εὐρυχώρους): h. e. Argos.

Εὐρώπα *Europa* 1) Tityi filia Py. IV 46: Εὔφαμος —, υἱὸς ἱππάρχου Ποσειδάωνος ἄναξ, τόν ποτ' Εὐρώπα Τιτυοῦ θυγάτηρ τίκτε Καφισοῦ παρ' ὄχθαις. — 2) terra Ne. IV 70: Γαδείρων τὸ πρὸς ζόφον οὐ περατόν· ἀπότρεπε αὖτις Εὐρώπαν ποτὶ χέρσον ἔντεα ναός (Bergk. εὐρωπὰν, Kayser. εὔπορον).

Εὐρώτας *Eurotas*, fluvius Laconiae Is. IV (V) 33: Κάστορος δ' αἰχμὰ Πολυδεύκεός τ' ἐπ' Εὐρώτα ῥεέθροις (sc. γέρας ἔχει). Ol. VI 28: παρ' Εὐρώτα πόρον. Is. I 29: ῥεέθροισί τε Δίρκας ἔφανεν καὶ παρ' Εὐρώτᾳ πέλας (Mingarell., libri Εὐρώτα v. εὐρώπα).

εὐσεβής *pius, religiosus* Is. VII 40 (VIII 44): Πηλέι —, ὄντ' εὐσεβέστατον φρασὶν Ἰωλκοῦ τράφεν πεδίον (Bergk., libri φασιν et τραφεῖν). Ol. III 41: εὐσεβεῖ γνώμᾳ φυλάσσοντες μακάρων τελετάς. pro subst. fr. 132 (97), 3: εὐσεβέων δ' ἐπουράνιοι ναίοισαι (sc. ψυχαί). — adv. εὐσεβέως *pie, religiose* Ol. VI 79: ἐδώρησαν

θεῶν κάρυκα λιταῖς θυσίαις πολλὰ δὴ πολλαῖσιν Ἑρμᾶν εὐσεβέως.

εὐσεβία *pietas* Ol. VIII 8: ἄνεται δὲ πρὸς χάριν εὐσεβίας ἀνδρῶν λιταῖς (Boeckh., libri εὐσεβείας v. εὐσεβέων).

εὔσκιος *opacus* Py. XI 21: Ἀχέροντος ἀκτὰν παρ' εὔσκιον.

εὐστέφανος *bene coronatus v. cinctus* munitionibus Py. II 58: πρύτανι κύριε πολλᾶν μὲν εὐστεφάνων ἀγυιᾶν καὶ στρατοῦ.

καταπαύω *finio, facio ut desinat* Ne. IX 15: *κρέσσων δὲ καππαύει δίκαν τὰν πρόσθεν ἀνήρ*: „h. e. Macht geht vor Recht" Mezger. — Med. *desino* fr. 89 (59): *τί κάλλιον ἀρχομένοισιν ἢ καταπαυομένοισιν, ἢ βαθύζωνόν τε Λατὼ καὶ θοᾶν ἵππων ἐλάτειραν ἀεῖσαι* (var. καταπαυομένοις);

καταπέσσω *concoquo*, met. Ol. I 56 (55): *ἀλλὰ γὰρ καταπέψαι μέγαν ὄλβον οὐκ ἐδυνάσθη*: h. e. ferre. *ἀντὶ τοῦ διοικῆσαι ἐπ᾽ ὠφελείᾳ ἑαυτοῦ, ἀπὸ μεταφορᾶς τῶν ἐν τῷ στομάχῳ σιτίων.* Schol.

καταπίπτω *decido* Ol. VIII 38: *δράκοντες — πύργον ἐσαλλόμενοι τρεῖς, οἱ δύο μὲν κάπετον, αὖθι δ᾽ ἀτυζομένω ψυχὰς βάλον* (var. κάππετον, Tricl. κάπτετον).

καταπνοά v. **κατά** et **πνοά.**

καταρρέω *obruo* fr. 177 (164): *οὐδὲ σιγᾷ κατερρύη*: „ignotus pressus est, ut σιγᾷ βρέχεσθαι" Boeckh.

κατάρχω *ordior, praeeo* fr. 79 (48): *σοὶ μὲν κατάρχειν, μᾶτερ μεγάλα, πάρα ῥόμβοι κυμβάλων* (Herm., vulg. κατάρχει): „ad sacra initia et ut praeeant ritus" Dissen.; ubi quum insolens apud antiquos scriptores usus formae activae offendat, Bergkius *σοὶ μὲν κατάρχειν μέλος* iubet scribi.

κατατέμνω *disseco*, v. **κατά** II) B) 1) b).

κατατίθημι *depono*, lege hin Py. V 90: *εὐθύτομόν τε κατέθηκεν Ἀπολ-*

λωνίαις ἀλεξιμβρότοις πεδιάδα πομπαῖς — ὁδόν (εὐθύτομόν θ', Ἑκατ', ἔθηκεν, Ἄπολλον, τεαῖς τ' coni. Bergk. in Add.): h. e. baute; κατεσκεύασεν. Schol. — 2) lege ab Ol. VI 39: ἁ δὲ φοινικόκροκον ζώναν καταθηκαμένα — τίκτε θεόφρονα κοῦρον. — 3) met. de debitis et promissis Ne. VII 76: νικῶντί γε χάριν — οὐ τραχύς εἰμι καταθέμεν: persolvere. (de Py. IX v. θαέομαι, de Is. I 41 v. κατάκειμαι).

κατατρέχω *decurro, percurro* Ne. IV 23: φίλοισι γὰρ φίλος ἐλθὼν ξένιον ἄστυ κατέδραμεν Ἡρακλέος ὀλβίαν πρὸς αὐλάν (vett. codd. κατέδρακεν, quod rec. Bergk.; idem coni. κατέδρασεν s. καθήδρασεν . . . παρ' αὐλάν, „h. e. κατέβαλεν, deiecit adversarium, aptum luctatori vocabulum"): „er lief durch die Stadt hinab" Mezger.

καταφαίνω *declaro* Ne. X 11: Ζεὺς ἐπ' Ἀλκμήναν Δανάαν τε μολὼν ἐτὸν κατέφᾱνε λόγον.

καταφᾱμίζω *faustum verbum pronuntio* Ol. VI 56: τὸ καὶ κατεφάμιξεν καλεῖσθαί νιν (Iamum) χρόνῳ σύμπαντι μάτηρ τοῦτ' ὄνυμ' ἀθάνατον: h. e. „faustum nomen dedit; nam veteribus nomina omen habere visa" Dissen.; alii: „divulgavit tanquam famam aliquam". Mezgerus: „sie bestimmte".

(καταφένω) *occido*, per tmesin fr. 171 (157): κατὰ μὲν φίλα τέκν' ἔπεφνεν — δυώδεκ'.

καταφθίνω *pereo* Is. VII 46 (VIII 51): ἐπέων δὲ καρπός οὐ κατέφθινε.

καταφράζω *declaro, indico* Ol. X 55: ὅ τ' ἐξελέγχων μόνος ἀλάθειαν ἐτήτυμον Χρόνος. τὸ δὲ σαφανὲς ἰὼν πόρσω κατέφρασεν, ὅπᾳ τὰν πολέμοιο δόσιν ἀκρόθινα διελὼν ἔθυε (Bergk. sec. Hartung. χρόνος τόδε).

καταφυλλοροέω *defluo*, met. Ol. XII 15: ἤτοι καὶ τεά κεν — ἀκλεὴς τιμὰ κατεφυλλορόησεν ποδῶν: ἀπεμαράνθη ἂν καὶ ἀπώλετο. Schol.; metaphora a floribus ducta.

καταχέω *offundo* Py. I 8: κελαινῶπιν δ' ἐπί οἱ νεφέλαν ἀγκύλῳ κρατί, γλεφάρων ἁδὺ κλάιστρον, κατέχευας (var. κατέχευσας).

κατελέγχω *dedecoro* Py. VIII 36: Θεόγνητον οὐ κατελέγχεις. Is. VII 65 (VIII 71): τὸν μὲν οὐ κατελέγχει κριτοῦ γενεὰ πατραδελφεοῦ: h. e. Cleander. Is. III 14: ἀνδρῶν δ' ἀρετὰν σύμφυτον οὐ κατελέγχει. per tmesin Ol. VIII 19: ἔργῳ τ' οὐ κατὰ εἶδος ἐλέγχων.

κατέχω (act. praes. κατέχει, -οντ'. κατέχων. aor. κατέσχε [κατέσχεθε]. κατασχοῖσα. — med. aor. κατασχόμενος) *teneo, premo* 1) halte zurück, retineo, cohibeo Ne. X 6: ἐν κουλεῷ κατασχοῖσα ξίφος. — met. Is. III 2: κατέχει φρασὶν αἰανῆ κόρον. — 2) halte fest, in potestate habeo, possideo fr. 101 (70), 4: καί ποτε τὸν τρικαράνου Πτωίου κευθμῶνα κατέσχε (vulg., Bergk. c. libris κατέσχεθε): occupavit. — met. Py. I 96: ἐχθρὰ Φάλαριν κατέχει παντᾷ φάτις. Ol. VII 10: ὁ δ' ὄλβιος, ὃν φᾶμαι κατέχοντ' ἀγαθαί: h. e. κατέχοντι. Ne. VIII 24: ἦ τιν' ἄγλωσσον μέν, ἦτορ δ' ἄλκιμον, λάθα κατέχει ἐν λυγρῷ νείκει (var. κατέχειν, Bergk. sec. schol. κάτεχεν). Med. passiva significatione Py. I 10: ὁ δὲ κνώσσων ὑγρὸν νῶτον αἰωρεῖ τεαῖς ῥιπαῖσι κατασχόμενος: vinctus. — 3) bewahre, servo Is. V 71: μέτρα μὲν γνώμᾳ διώκων, μέτρα δὲ καὶ κατέχων (de Py. I 72 v. ἔχω A) II)).

κατοικίζω *condo* Ne. X 5: πολλὰ δ' Αἰγύπτῳ τὰ κατῴκισεν ἄστη ταῖς Ἐπάφου παλάμαις (Boeckh., libri κατῴκισθεν contra metrum, Herm. ὅπα ἔκτιθεν, Bergk. παλάμαις κατένασθεν ἄστεα ταῖς Ἐπάφου): sc. Argos. — de hominibus fr. 119 (84): ἐν δὲ Ῥόδον κατῴκισθεν (Bergk. κατένασθεν): transmigrarunt, sc. maiores Theronis.

κάτω 1) *infra, subtus*, de inferis fr. 129 (95): τοῖσι λάμπει μὲν μένος ἀελίου τὰν ἐνθάδε νύκτα κάτω. de corpore Py. II 48: ἀμφοτέροις ὁμοῖοι τοκεῦσι (Centauri), τὰ ματρόθεν μὲν κάτω, τὰ δ' ὕπερθε πατρός. — 2) *deorsum*, met. Ol. XII 6: αἵ γε μὲν ἀνδρῶν πόλλ' ἄνω, τὰ δ' αὖ κάτω ψεύδη μεταμώνια τάμνοισαι κυλίνδοντ' ἐλπίδες: huc illuc.

κατωκάρα *capitibus deorsum pendentibus* fr. 161 (134): οἱ μὲν κατωκάρα δεσμοῖσι δέδενται: de Cercopibus dicta esse censet Bergk., de Titanibus Boeckh.

καυτήρ *ustor*, c. dat. Py. I 95: τὸν δὲ ταύρῳ χαλκέῳ καυτῆρα (var.

καυστῆρα) νηλέα νόον ἐχθρὰ Φάλαριν κατέχει παντᾷ φάτις.

καύχα *laus magnifica, praeconium* Ne. IX 7: θεσπεσία δ' ἐπέων καύχαις ἀοιδὰ πρόσφορος (Benedict., libri et schol. καύχας).

καυχάομαι *glorior* Ol. IX 38: τό γε λοιδορῆσαι θεοὺς ἐχθρὰ σοφία, καὶ τὸ καυχᾶσθαι παρὰ καιρὸν μανίαισιν ὑποκρέκει.

καύχημα *gloriatio* Is. IV (V) 51: ἀλλ' ὅμως καύχημα κατάβρεχε σιγᾷ.

Κᾱφῑσιος *Cephisius* Ol. XIV 1: Καφισίων ὑδάτων λαχοῖσαι — Χάριτες Ὀρχομενοῦ.

Κᾱφῑσίς *Cephisis* 1) nympha paludis Copaidis Py. XII 27: τοὶ παρὰ καλλιχόρῳ ναίοισι πόλει Χαρίτων Καφισίδος ἐν τεμένει. — 2) palus ipsa fr. 198 (211): Κηφισίδα καλεῖ ταύτην (Strabo IX 411). Πίνδαρος δὲ Κηφισίδα ταύτην (Steph. Byz. v. Τέλφουσα).

Κᾱφῑσός *Cephisus*, amnis per Boeotiam et Phocidem fluens Py. IV 46: τόν ποτε Εὐρώπα Τιτυοῦ θυγάτηρ τίκτε Καφισοῦ παρ' ὄχθαις.

κᾰχλάζω *strepo, resono* Ol. VII 2: φιάλαν — ἔνδον ἀμπέλου καχλάζοισαν δρόσῳ δωρήσεται: „aestuantem, spumantem" Dissen. πεπληρωμένην οἴνου Schol.

κὲ(ν) part. enclitica = ***ἄν***, q. v. I) c. *ind.* praeteriti, in apodosi sent. conditionalis 1) imperfecti Py. III 1: ἤθελον Χείρωνά κε Φιλυρίδαν, εἰ χρεὼν τοῦθ' ἁμετέρας ἀπὸ γλώσσας κοινὸν εὔξασθαι ἔπος, ζώειν τὸν ἀποιχόμενον. — 2) aoristi a) in protasi est imperf. Ne. IV 15: εἰ δ' ἔτι — ἀελίῳ σὸς πατὴρ ἐθάλπετο, ποικίλον κιθαρίζων ἅμα κε τῷδε μέλει κλιθεὶς ὕμνον κελάδησε καλλίνικον. Py. III 65. Ne. VII 25. — b) in protasi est aor. Ol. XII 13: ἤτοι καὶ τεά κεν — ἀκλεὴς τιμὰ κατεφυλλορόησεν ποδῶν, εἰ μὴ στάσις ἀντιάνειρα Κνωσίας σ' ἄμερσε πάτρας. Py. III 76. IV 47. — c) pro protasi est participium Ne. IX 34: Χρομίῳ κεν ὑπασπίζων παρὰ πεζοβόαις — ἔκρινας ἂν κίνδυνον ὀξείας ἀυτᾶς, οὕνεκεν κτλ., ubi ad ἔκρινας part. κὲν supplenda est. — d) suppletur protasis Py. III 68: καί κεν ἐν ναυσὶν μόλον — Ἀρέθουσαν ἐπὶ κράναν. — II) c. *coni.* 1) in sent. primaria de re futura Py. IV 51: οἵ κεν τάνδε σὺν τιμᾷ θεῶν νᾶσον ἐλθόντες τέκωνται φῶτα: ἀντὶ τοῦ τέξονται. Schol. — 2) in sent. relativa de iis quae fieri solent Ne. IV 7: ῥῆμα δ' ἐργμάτων χρονιώτερον βιοτεύει, ὅ τι κε (var. περ) σὺν Χαρίτων τύχα γλῶσσα φρενὸς ἐξέλῃ βαθείας. — III) c. *opt.* plerumque aoristi 1) in apodosi sent. conditionalis, cuius verbum est a) indicat. Ne. X 87: εἰ δὲ κασιγνήτου πέρι μάρνασαι, — ἥμισυ μέν κε πνέοις γαίας ὑπένερθεν ἐών, ἥμισυ δ' οὐρανοῦ ἐν χρυσέοις δόμοισιν. VII 87. — b) opt. Ol. VI 6: εἰ δ' εἴη μὲν Ὀλυμπιονίκας —, τίνα κεν φύγοι ὕμνον κεῖνος ἀνήρ, ἐπικύρσαις ἀφθόνων ἀστῶν ἐν ἱμερταῖς ἀοιδαῖς; Ne. VII 90. — c) part. Ne. X 39: ἀξιωθείην κεν, ἐὼν Θρασύκλου Ἀντία τε ξύγγονος, Ἄργεϊ μὴ κρύπτειν φάος ὀμμάτων. IV 93. Ol. X 20. praemissa sent. cond. Ol. VI 6. — 2) sine protasi Ne. IV 30: ἀπειρομάχας ἐών κε φανείη λόγον ὁ μὴ ξυνιείς. VI 72 (64): δελφῖνί κεν τάχος δι' ἅλμας εἰκάζοιμι Μελησίαν. Ol. I 84 (82). VIII 82. Py. I 47. 69. IV 298. Is. IV (V) 48. V (VI) 72. fr. 124 (89), 2. — IV) c. *infin.* praesentis Py. VII 20 (18): φαντί γε μὰν οὕτω κεν ἀνδρὶ παρμονίμαν θάλλοισαν εὐδαιμονίαν τὰ καὶ τὰ φέρεσθαι. aoristi Is. VII 33 (VIII 35): εἶπε δ' εὔβουλος ἐν μέσοισι Θέμις, εἵνεκεν πεπρωμένον ἦν, φέρτερόν κε γόνον ἄνακτα πατρὸς τεκεῖν ποντίαν θεόν (Bergk., libri om., γόνον ἂν praefert Christ.). Py. III 11: εἰ δέ μοι πότμον θεὸς ἁβρὸν ὀρέξαι, ἐλπίδ' ἔχω κλέος εὑρέσθαι κεν ὑψηλὸν πρόσω. futuri Ol. I 112 (110): εἰ δὲ μὴ ταχὺ λίποι, ἔτι γλυκυτέραν κεν ἔλπομαι σὺν ἅρματι θοῷ κλεΐξειν ἐπίκουρον εὑρὼν ὁδὸν λόγων (varii libri κεν om., pro κλεΐξειν multi κλεΐζειν). — V) c. *part.* Py. X 62: τῶν δ' ἕκαστος ὀρούει, τυχών κεν ἁρπαλέαν σχέθοι φροντίδα τὰν παρ' ποδός: „h. e. ὅτ' ἂν τύχῃ" Boeckh. Ne. IX 34: Χρομίῳ κεν ὑπασπίζων παρὰ πεζοβόαις ἵπποις τε ναῶν τ' ἐν μάχαις ἔκρινας ἂν κίνδυνον ὀξείας ἀυτᾶς: „si adstitisses armiger" Dissen.; quamquam de hoc loco ambigitur, v. ἄν I).

κέαρ *cor, animus* Py. X 22: θεὸς εἴη ἀπήμων κέαρ. fr. 278 (251): καὶ φέρειν ἀνάγκην ἔχοντες κατὰ Πίν-

δαρον ἀλλότρια μεριμνάματα καὶ κέαρ ἀλλοτρίας φύσεως (Theod. Metoch. 439): dicitur „de iis qui sub dominis sunt" Boeckh. pro homine ipso Ne. VII 102: τὸ δ' ἐμὸν οὔ ποτε φάσει κέαρ ἀτρόποισι Νεοπτόλεμον ἑλκύσαι ἔπεσι. Is. IV (V) 20: τὸ δ' ἐμὸν οὐκ ἄτερ Αἰακιδᾶν κέαρ ὕμνων γεύεται.

κεδνός (sg. f. κεδνάν. pl. m. κεδνῶν, -οί. f. κεδναί. superl. κεδνότατον. prioris syllabae vocalis semel non producitur Py. X 72) *cura atque aestimatione dignus, venerandus, probus, praeclarus*, de hominibus Is. I 5: τί φίλτερον κεδνῶν τοκέων ἀγαθοῖς; VII (VIII) 23: Αἰακὸν — κεδνότατον ἐπιχθονίων. Py. IX 122: παρθένον κεδνὰν χερὶ χειρὸς ἑλών. IV 117: δόμους πατέρων, κεδνοὶ πολῖται, φράσσατέ μοι σαφέως. — de rebus Ol. VIII 80: κατακρύπτει δ' οὐ κόνις συγγόνων κεδνὰν χάριν. Py. X 72: ἔνθ' ἀγαθοῖσι κεῖται πατρώιαι κεδναὶ πολίων κυβερνάσιες.

κεῖθι *ibi* Ne. IX 11: ὅς (Adrastus) τότε μὲν βασιλεύων κεῖθι νέαισί θ' ἑορταῖς ἰσχύος τ' ἀνδρῶν ἁμίλλαις — ἄμφαινε κυδαίνων πόλιν: ἐν Σικυῶνι. Schol.

κεῖμαι (praes. κεῖμαι, κεῖται, κεῖνται. ipf. κεῖτο) *iaceo* 1) de humi stratis Py. IV 244: κεῖτο γὰρ λόχμᾳ (sc. τὸ δέρμα). Py. I 15: ἐν αἰνᾷ Ταρτάρῳ κεῖται, θεῶν πολέμιος, Τυφώς. met. fr. 237 (261): ὄπισθε δὲ κεῖμαι θρασειᾶν ἀλωπέκων ξανθὸς λέων. — de mortuis Py. V 93: ἔνθα πρυμνοῖς ἀγορᾶς ἔπι δίχα κεῖται θανών. Py. IX 83. Ne. VII 35. — 2) de rebus quae sunt alicubi nec loco moventur a) de praemiis positis Is. I 27: οὐ γὰρ ἦν πεντάθλιον, ἀλλ' ἐφ' ἑκάστῳ ἔργματι κεῖτο τέλος. — b) met. Py. VIII 76: τὰ δ' οὐκ ἐπ' ἀνδράσι κεῖται: penes homines sunt. Py. X 71: ἐν δ' ἀγαθοῖσι κεῖνται πατρώιαι κεδναὶ πολίων κυβερνάσιες (Bergk. c. var. ἔνθ' ἀγαθοῖσι κεῖται). de iis quae reponuntur Is. IV (V) 18: τὶν δ' ἐν Ἰσθμῷ διπλόα θάλλοισ' ἀρετά, Φυλακίδα, κεῖται.

κεῖνος (sg. m. κεῖνος, -ου, -ῳ, -ον. f. κείνα, -ας, -αν. n. κεῖν(ο). — pl. m. κεῖνοι, -ων, -οις, -οισι(ν), -ους. f. κεῖναι. n. κεῖν(α). nonnunquam libri exhibent ἐκεῖνος) *ille* (*hic, is*) 1) de iis quae prius iam commemorata atque nota sunt a) sine subst. Ol. II 109 (99): καὶ κεῖνος ὅσα χάρματ' ἄλλοις ἔθηκεν, τίς ἂν φράσαι δύναιτο (Mommsen., vett. libri κἀκεῖνος, recc. ἐκεῖνος, ed. Rom. κεῖνος): Thero. Ol. I 104 (101) (Hiero) = Py. III 75. Ol. VI 80 (Mercurius). VII 49 (Heliadae Rhodii). VIII 62 (Melesias). IX 53 (Pyrrha et Deucalion sec. Boeckh., Lai sec. Dissen.). X 30 (Cteatus et Eurytus). X 41 (Augias). XIII 76 (Polyidus). Py. II 8 (Diana). III 55 (Aesculapius). IV 105 (Chiron eiusque domus). IV 125 (Iason). IV 134 (Iasonis consanguinei). IV 144 (Cretheus et Salmoneus). IV 281 = 289 (Damophilus). V 57 (Battus). IX 95 (Nereus). IX 123 (Libyes). Ne. I 68 (Hercules). III 11 (choreutae). IV 85 (Callicles). V 22 (Aeacidae h. e. Peleus et Thetis). V 30 (Peleus). V 43 (Neptunus). VIII 10 (Aeacus). X 14 (Iuppiter). X 62 (Lynceus). Is. I 17 (Castor et Iolaus). IV 47 (Aeacidae aut Aeginetae). V 31 (Telamo). VII 65 (Nicocles). fr. 35 (10) (Titanes). fr. 92 (93) (Typhoeus). fr. 143 (dei). Ol. XIII 87 (equus alatus). VI 25 (muli). Py. IX 68 (nuptiae). fr. 137 (102) (mysteria). opp. ὅδε Ol. VI 102: θεὸς τῶνδε κείνων τε κλυτὰν αἶσαν παρέχοι φιλέων (var. τῶνδ' ἐκείνων): Stymphaliorum et Syracusanorum. — interdum ad ea refertur quae proxime dicta sunt: *hic, is*, ut Ol. IX 28: ἐξαίρετον Χαρίτων νέμομαι κᾶπον· κεῖναι γὰρ ὤπασαν τὰ τέρπν'. Py. IV 69: νάκος κριοῦ· μετὰ γὰρ κεῖνο πλευσάντων Μινυᾶν, θεόπομποί σφισιν τιμαὶ φύτευθεν. fr. 222 (243): Διὸς παῖς ὁ χρυσός· κεῖνον οὐ σὴς οὐδὲ κὶς δάπτει. Ne. VIII 23 (invidia). Is. VII 65 (Nicocles). Ne. VI 19 (Praxidamas). — b) cum subst., cui α) praeponitur Ne. I 9: ἀρχαὶ δὲ βέβληνται θεῶν κείνου σὺν ἀνδρὸς δαιμονίαις ἀρεταῖς: Chromii. Ne. IX 36: κείνα θεός: αἰδώς. Py. I 25: κεῖνο — ἑρπετόν: Typhoeus. Py. IV 48: κείναν — εὐρειᾶν ἄπειρον: Libyam. Ol. III 31: ἴδε καὶ κείναν χθόνα πνοιαῖς ὄπιθεν Βορέα (Boeckh., libri κἀκείναν): terram Hyperboreorum. Py. IV 210: κεῖνος — πλόος. Is. III 61 (IV 43): κεῖνον ἅψαι πυρσὸν ὕμνων. Py. IV 243: κεῖνον — πόνον: hunc. Py. IX 68: κεῖνο κεῖν'

ἆμαρ διαίτασεν. Ol. X 102: κεῖνον κατὰ χρόνον: illo die victoriae Olympicae. — β) postponitur Py. I 42: ἄνδρα — κεῖνον: Hieronem. Py. V 107: ἄνδρα κεῖνον: Arcesilaum. Py. I 61: πόλιν κείναν: hanc urbem, Aetnam. — 2) demonstrantur ea quae sequuntur in sententiis secundariis vel etiam antecedunt Ol. VIII 62: κεῖνα δὲ κεῖνος ἂν εἴποι ἔργα περαίτερον ἄλλων, τίς τρόπος ἄνδρα προβάσει ἐξ ἱερῶν ἀέθλων μέλλοντα ποθεινοτάταν δόξαν φέρειν. Py. IV 19: κεῖνος ὄρνις ἐκτελευτάσει μεγαλᾶν πολίων ματρόπολιν Θήραν γενέσθαι, τόν ποτε Τριτωνίδος ἐν προχοαῖς λίμνας — πρῴραθεν Εὔφαμος καταβὰς δέξατ᾽. fr. 133 (98): οἷσι δὲ Φερσεφόνα ποινὰν παλαιοῦ πένθεος δέξεται, ἐς τὸν ὕπερθεν ἅλιον κείνων (var. ἐκείνων) ἐνάτῳ ἔτεϊ ἀνδιδοῖ ψυχὰς πάλιν. Ol. VI 7: εἰ δ᾽ εἴη μὲν Ὀλυμπιονίκας —, τίνα κεν φύγοι ὕμνον κεῖνος ἀνήρ; — 3) incerta significantur: *hic* Py. II 89: χρὴ δὲ πρὸς θεὸν οὐκ ἐρίζειν, ὃς ἀνέχει τοτὲ μὲν τὰ κείνων, τότ᾽ αὖθ᾽ ἑτέροις ἔδωκεν μέγα κῦδος: τὸν μὲν ὁ θεὸς ὑψοῖ, τὸν δὲ καταρριπτεῖ. Schol.

κεινός, κενεός (sg. m. κεινός. f. κεινάν. κενεάν. pl. f. κενεᾶν. n. κενεά) *inanis, vanus* 1) de rebus Ol. II 71 (65): οὐ χθόνα ταράσσοντες ἐν χερὸς ἀκμᾷ οὐδὲ πόντιον ὕδωρ κεινὰν παρὰ δίαιταν („κεινὰν Byzantini, legebatur κενεὰν, poeta scr. κενϝάν" Bergk.): h. e. tenuem. Ne. IV 40: φθονερὰ δ᾽ ἄλλος ἀνὴρ βλέπων γνώμαν κενεὰν σκότῳ κυλίνδει χαμαιπετοῖσαν. VIII 45: κενεᾶν δ᾽ ἐλπίδων χαῦνον τέλος. — neutr. pl. Py. II 61: χαύνᾳ πραπίδι παλαιμονεῖ κενεά (var. κενεᾷ): frustra. Ol. X 93: κενεὰ πνεύσαις ἔπορε μόχθῳ βραχύ τι τερπνόν. — 2) de personis Ol. III 45: τὸ πόρσω δ᾽ ἔστι σοφοῖς ἄβατον κἀσόφοις. οὔ νιν διώξω· κεινὸς εἴην (var. κεῖνος).

κείρω 1) *detondeo* Py. IV 82: οὐδὲ κομᾶν πλόκαμοι κερθέντες ᾤχοντ᾽ ἀγλαοί: τὰς πρώτας κόμας τοῖς ποταμοῖς οἱ ἀρχαῖοι ἀπεκείραντο, σύμβολον τοῦ ἐξ ὕδατος εἶναι πάντων τὴν αὔξησιν. Schol. — 2) *carpo, decerpo,* met. Py. IX 37: ἐκ λεχέων κεῖραι μελιαδέα ποίαν: h. e. frui; oraculorum sermonem imitari poetam monet Leop. Schmidt.

κελᾰδεννός *sonorus* Py. III 113: ἐξ ἐπέων κελαδεννῶν. Py. IX 89: Χαρίτων κελαδεννᾶν. — malo sensu Is. III 26 (IV 8): Θήβαισι τιμάεντες ἀρχᾶθεν λέγονται πρόξενοί τ᾽ ἀμφικτιόνων κελαδεννᾶς τ᾽ ὀρφανοὶ ὕβριος: clamosae et iactantis.

κελᾰδέω (act. praes. κελαδέοντι. κελαδεῖν. κελαδέων. fut. κελαδήσω, -ήσομεν, -ήσετ᾽ (?). aor. κελάδησε. κελαδῆσαι. — med. fut. κελαδησόμεθα) 1) trans. *sonum edo, cano* Py. II 63: εὐανθέα δ᾽ ἀναβάσομαι στόλον ἀμφ᾽ ἀρετᾷ κελαδέων. Ne. IV 16: ὕμνον κελάδησε καλλίνικον (Bergk. υἱὸν κελ.). Ol. XI 14: κόσμον (Bergk. κῶμον) ἐπὶ στεφάνῳ χρυσέας ἐλαίας ἁδυμελῆ κελαδήσω: sc. hoc ipso carmine; de futuro tempore non cogitandum, cf. Ol. X 79. Py. I 58: Μοῖσα, καὶ πὰρ Δεινομένει κελαδῆσαι πίθεό μοι ποινὰν τεθρίππων. Is. VII 63 (VIII 68): ἔσσυταί τε Μοισαῖον ἅρμα Νικοκλέος μνᾶμα πυγμάχου κελαδῆσαι: „h. e. monumentum cantu ponere" Mezger. transfertur ad hymnum Ne. III 66: ἀγών, τὸν ὕμνος ἔβαλεν ὀπὶ νέων ἐπιχώριον χάρμα κελαδέων. — *cantu celebro* Ne. IX 54: εὔχομαι ταύταν ἀρετὰν κελαδῆσαι σὺν Χαρίτεσσιν. Ol. II 2: τίνα θεόν, τίν᾽ ἥρωα, τίνα δ᾽ ἄνδρα κελαδήσομεν; ubi κελαδήσομεν non, ut Boeckhius censuit, coni. aor. sed futurum esse plerique consentiunt. Py. XI 10: ἡρωίδων στρατὸν ὁμαγερέα καλεῖ συνίμεν, ὄφρα Θέμιν ἱερὰν Πυθῶνά τε καὶ ὀρθοδίκαν γᾶς ὀμφαλὸν κελαδήσετ᾽ ἄκρᾳ σὺν ἑσπέρᾳ (Heynius, libri κελαδῆτε, Bergk. κελαδῆτον), ubi item futurum esse censet Dissenius, Boeckhius coni. aor. Ol. VI 88. I 9. Is. I 54. dupl. accus., ut Eur. Herc. f. 687, adiungi Mezgerus existimat Ol. X 79: ἀρχαῖς δὲ προτέραις ἑπόμενοι καί νυν ἐπωνυμίαν χάριν νίκας ἀγερώχου κελαδησόμεθα βροντὰν καὶ πυρπάλαμον βέλος ὀρσικτύπου Διός: v. tamen χάρις 3). — 2) intrans. *resono* Py. II 15: κελαδέοντι μὲν ἀμφὶ Κινύραν πολλάκις φᾶμαι Κυπρίων. (de Is. IV 48 v. κελαρύζω.)

κελᾰδῆτις *sonore cantans, vocalis* Ne. IV 86: κεῖνος ἀμφ᾽ Ἀχέροντι ναιετάων ἐμὰν γλῶσσαν εὑρέτω κελαδῆτιν.

κέλᾰδος *vox clara ac sonans*, de oraculo Py. IV 60: σὲ δ᾽ ἐν τούτῳ λόγῳ χρησμὸς ὤρθωσεν μελίσσας Δελ-

φίδος αὐτομάτῳ κελάδῳ. de cantu fr. 178 (169): νόμων ἀκούοντες θεόδματον κέλαδον (Boeckh., vulgo θεόδμητον, Bergk. θεοδμάτων). fr. 238 Boeckh.: χορὸς εὐρυόπα κέλαδον ἀκροσόφων ἀγνύμενον διὰ στομάτων φθεγγόμενος (Plut. adv. Epicur. c. 13): deest in ed. Bergk.

κελαινεγχής *atram (h. e. cruentam) hastam gerens* Ne. X 84: σύν τ' Ἀθαναίᾳ κελαινεγχεῖ τ' Ἄρει.

κελαινεφής *atris nubibus offusus v. insignis* Py. IV 52: φῶτα κελαινεφέων πεδίων δεσπόταν: h. e. fertilium. Ἀμμώνιός φησι διὰ τὸ περὶ τὴν Κυρήνην μόνην ἵστασθαι νέφος παρὰ τὴν ἄλλην Λιβύην. Schol. fr. 142 (106), 3: κελαινεφέι δὲ σκότει καλύψαι καθαρὸν ἁμέρας σέλας (Boeckh., libri κελαινεφεῖ, κελαινεφές, κελαινεφέει).

κελαινῶπις *nigricante vultu, atra* Py. I 7: κελαινῶπιν δ' ἐπί οἱ νεφέλαν ἀγκύλῳ κρατί, γλεφάρων ἁδὺ κλάιστρον, κατέχευας: h. e. somnum.

κελαινώψ *nigricante vultu, nigricolor* Py. IV 212: ἔνθα κελαινώπεσσι Κόλχοισιν βίαν μῖξαν (var. κελαινώπεσι, κελαινώποισι, Bergk. coni. κελαινώπαισι).

κελάρύζω *strepo*, met. de carminibus Is. IV 48: πολλὰ μὲν ἀρτιεπής γλῶσσά μοι τοξεύματ' ἔχει περὶ κείνων κελαρύσαι (Bergk., libri κελαδεῖν, Boeckh. κελαδέειν).

κέλευθος (sg. κέλευθος, -ου, -ῳ, -ον. pl. κέλευθοι, -οις, -ους) 1) *via* Ol. VII 52: ἔργα δὲ ζωοῖσιν ἑρπόντεσσί θ' ὁμοῖα κέλευθοι φέρον. Py. V 88: τοὺς Ἀριστοτέλης ἄγαγε ναυσὶ θοαῖς ἁλὸς βαθείας κέλευθον ἀνοίγων. met. via, ratio fr. 108 (75): θεοῦ δὲ δείξαντος ἀρχὰν ἕκαστον ἐν πρᾶγος εὐθεῖα δὴ κέλευθος ἀρετὰν ἑλεῖν τελευταί τε καλλίονες. Is. V (VI) 22: μυρίαι δ' ἔργων καλῶν τέτμηνθ' ἑκατόμπεδοι ἐν σχερῷ κέλευθοι, καὶ πέραν Νείλοιο παγᾶν καὶ δι' Ὑπερβορέους: „h. e. gloria factorum latissimis viis iisque continuis incedit ad terminos orbis" Dissen. Is. IV (V) 23: τέτραπται θεοδότων ἔργων κέλευθον ἂν καθαράν. Py. IX 45: κύριον ὃς πάντων τέλος οἶσθα καὶ πάσας κελεύθους: „vias, quomodo res perficiantur" Dissen. de ratione vivendi Ne. VIII 35: κελεύθοις ἁπλόαις ζωᾶς ἐφαπτοίμαν: v. ἁπλόος. de via ac ratione poetica Py. XI 39: ἦ ῥ', ὦ φίλοι, κατ' ἀμευσίπορον τρίοδον ἐδινάθην, ὀρθὰν κέλευθον ἰὼν τὸ πρίν. Is. II 33: οὐ γὰρ πάγος, οὐδὲ προσάντης ἁ κέλευθος γίνεται, εἴ τις εὐδόξων ἐς ἀνδρῶν ἄγοι τιμὰς Ἑλικωνιάδων. Ol. VI 23: ζεῦξον ἤδη μοι σθένος ἡμιόνων, ᾇ τάχος, ὄφρα κελεύθῳ τ' ἐν καθαρᾷ βάσομεν ὄκχον, ἵκωμαι δὲ πρὸς ἀνδρῶν καὶ γένος. fr. 191 (201): Αἰολεὺς ἔβαινε Δωρίαν κέλευθον ὕμνων. Is. III 19 (IV 1): ἔστι μοι θεῶν ἕκατι μυρία παντᾷ κέλευθος: h. e. „est mihi magna materia laudum" Dissen. — 2) *iter, profectio* Ne. IX 20: φείσασθαι κελεύθου (ἐπώτρυνε). Py. IV 195: νύκτας τε καὶ πόντου κελεύθους: v. καί 1) A) 1).

κελεύω (praes. κελεύεις. aor. (ἐ)κέλευσεν) *iubeo*, sequ. acc. c. inf. Ne. IV 80: εἰ δέ τοι μάτρῳ μ' ἔτι Καλλικλεῖ κελεύεις στάλαν θέμεν. Ol. VII 64: ἐκέλευσεν δ' αὐτίκα χρυσάμπυκα μὲν Λάχεσιν χεῖρας ἀντεῖναι (var. κέλευσεν). VI 32: κυρίῳ δ' ἐν μηνὶ πέμποισ' ἀμφιπόλους ἐκέλευσεν ἥρωι πορσαίνειν δόμεν Εἰλατίδᾳ βρέφος. suppl. acc. Ol. VI 70: χρηστήριον θέσθαι κέλευσεν (var. κέλευσέ νιν). Py. IX 115: σὺν δ' ἀέθλοις ἐκέλευσεν διακρῖναι ποδῶν.

κέλομαι (praes. κέλεται. ipf. κέλοντο. aor. κελήσατο. κέκλεν) 1) *hortor, iubeo*, sequ. acc. c. inf. Ol. XIII 80: ἐνυπνίῳ δ' ᾇ τάχιστα πιθέσθαι κελήσατό νιν. Is. V (VI) 37: τὸν μὲν ἐν ῥινῷ λέοντος στάντα κελήσατο νεκταρέαις σπονδαῖσιν ἄρξαι καρτεραίχμαν Ἀμφιτρυωνιάδαν. fr. 5 (1): Αἰολίδαν δὲ Σίσυφον κέλοντο (sc. Nereides) ᾧ παιδὶ τηλέφαντον ὄρσαι γέρας ἀποφθιμένῳ Μελικέρτᾳ (var. κέκλοντο). Py. IV 159: κέλεται γὰρ ἑὰν ψυχὰν κομίξαι Φρίξος ἐλθόντας πρὸς Αἰήτα θαλάμους. — 2) *nomino* Is. V (VI) 53: καί νιν ὄρνιχος φανέντος κέκλεν ἐπώνυμον εὐρυβίαν Αἴαντα (Phil. Melanchthon., libri κέκλετ' h. e. κέκλετο, Bergk. coni. κέκλετε h. e. „vocate").

κενεός v. **κεινός.**

κενεόφρων *vana sentiens* Ne. XI 29: ἀλλὰ βροτῶν τὸν μὲν κενεόφρονες αὖχαι ἐξ ἀγαθῶν ἔβαλον. fr. 212 (233): φθόνον κενεοφρόνων ἑταῖρον

ἀνδρῶν, ὥς φησι Πίνδαρος (Plut. de cap. ex host. util. c. 10).

κενέωσις *eluvies* fr. 107 (74), 12: *ἢ πόντου κενέωσιν ἀνὰ πέδον χθονός.*

Κένταυρος (*Κένταυρος, -ου, -ῳ, -ον*) *Centaurus*, Ixionis et Nephelae filius Py. II 44: *ἄνευ οἱ Χαρίτων τέκεν γόνον ὑπερφίαλον μόνα καὶ μόνον οὔτ᾽ ἐν ἀνδράσι γερασφόρον οὔτ᾽ ἐν θεῶν νόμοις, τὸν ὀνύμαξε τράφοισα Κένταυρον.* imprimis *Chiron*, Saturni et Philyrae filius, qui educavit erudivitque Iasonem, Achillem, Aesculapium Py. IX 38: *τὸν δὲ Κένταυρος ζαμενής, ἀγανᾷ χλαρὸν γελάσσαις ὀφρύι, μῆτιν ἑὰν εὐθὺς ἀμείβετο.* IV 103: *ἄντροθε γὰρ νέομαι πὰρ Χαρικλοῦς καὶ Φιλύρας, ἵνα Κενταύρου με κοῦραι θρέψαν ἁγναί*: Iason loquitur. Ne. III 48: *σώματα δὲ παρὰ Κρονίδαν Κένταυρον ἀσθμαίνοντα κόμιζεν, ἑξέτης τὸ πρῶτον* (sc. Achilles). Py. III 45: *καί ῥά νιν* (Aesculapium) *Μάγνητι φέρων πόρε Κενταύρῳ διδάξαι πολυπήμονας ἀνθρώποισιν ἰᾶσθαι νόσους.*

κεντέω *pungo* Py. I 28: *στρωμνὰ δὲ χαράσσοισ᾽ ἅπαν νῶτον ποτικεκλιμένον κεντεῖ*: sc. Typhoei sub Aetna iacentis.

κέντρον *stimulus* Py. IV 236: *ἐμβάλλων τ᾽ ἐριπλεύρῳ φυᾷ* (boum) *κέντρον αἰανὲς βιατὰς ἐξεπόνησ᾽ ἐπιτακτὸν ἀνὴρ μέτρον.* — met. fr. 180 (172): *ἔσθ᾽ ὅτε πιστοτάτα σιγᾶς ὁδός· κέντρον δὲ μάχας ὁ κρατιστεύων λόγος.* 124 (89), 3: *ἐν ξυνῷ κεν εἴη συμπόταισίν τε γλυκερὸν καὶ Διωνύσοιο καρπῷ καὶ κυλίκεσσιν Ἀθαναίαισι κέντρον*: sc. scolium. Py. II 94: *ποτὶ κέντρον δέ τοι λακτισδέμεν τελέθει ὀλισθηρὸς οἶμος: τουτέστιν, οὐ συμφέρει τῇ τύχῃ ἄνθρωπον ὄντα διαμάχεσθαι. ἡ δὲ τροπὴ ἀπὸ τῶν βοῶν· τῶν γὰρ βοῶν οἱ ἄτακτοι κατὰ τὴν γεωργίαν κεντριζόμενοι ὑπὸ τοῦ ἀροῦντος λακτίζουσι τὸ κέντρον καὶ μᾶλλον πλήττονται.* Schol.

κεραΐζω *conficio, domo* Py. IX 21: *ἀκόντεσσίν τε χαλκέοις φασγάνῳ τε μαρναμένα κεράιζεν ἀγρίους θῆρας.* fr. 93: *ἀλλ᾽ οἶος ἄπλατον κεράιζες θεῶν Τυφῶν᾽ — ἀνάγκᾳ, Ζεῦ πάτερ.*

κεράννυμι, κίρνημι (act. praes. *κίρναμεν. κιρνάμεν.* pass. praes. *κίρναται. κιρναμένα.* perf. *κέκρᾶται. κεκραμένον* (m. n.), *κεκραμέν᾽*; augmentum perf. semel producitur Ne. XI 36) *misceo, admisceo* fr. 111 (77): *ἐνέπισε κεκραμέν᾽ ἐν αἵματι* (var. *κεκραμένα* v. *καὶ κράμμενα*, Bergk. coni. *νεκροῦ μέλε᾽ αἱ.*). met. Is. V (VI) 3: *θάλλοντος ἀνδρῶν ὡς ὅτε συμποσίου δεύτερον κρατῆρα Μοισαίων μελέων κίρναμεν Λάμπωνος εὐάθλου γενεᾶς ὕπερ.* Ne. III 78: *τόδε τοι πέμπω μεμιγμένον μέλι λευκῷ σὺν γάλακτι, κιρναμένα δ᾽ ἔερσ᾽ ἀμφέπει, πόμ᾽ ἀοίδιμον.* XI 36: *τό τε Πεισάνδρου πάλαι αἷμ᾽ ἀπὸ Σπάρτας — καὶ παρ᾽ Ἰσμηνοῦ ῥοᾶν κεκραμένον ἐκ Μελανίπποιο μάτρωος.* fr. 181 (174): *ὁ γὰρ ἐξ οἴκου ποτὶ μῶμον ἔπαινος κίρναται.* — c. dat. Is. IV (V) 25: *μὴ φθόνει κόμπον τὸν ἐοικότ᾽ ἀοιδᾷ κιρνάμεν ἀντὶ πόνων*, ubi Mezgerus *ἀοιδᾷ* dativum loci ducit carmen cum cratera comparari contendens. Py. X 41: *νόσοι δ᾽ οὔτε γῆρας οὐλόμενον κέκραται ἱερᾷ γενεᾷ.* met. Py. V 2: *ὁ πλοῦτος εὐρυσθενής, ὅταν τις ἀρετᾷ κεκραμένον καθαρᾷ βροτήσιος ἀνὴρ — αὐτὸν ἀνάγῃ*: virtute temperatas. de persona Ol. X 104: *τὸν εἶδον — ἰδέᾳ τε καλόν ὥρᾳ τε κεκραμένον*: affectum, praeditum.

κέρας *cornu* fr. 166 (147): *αὐτόματοι δ᾽ ἐξ ἀργυρέων κεράτων πίνοντες ἐπλάζοντο.* met. fr. 201 (215): *Αἰγυπτίαν Μένδητα, πὰρ κρημνὸν θαλάσσας, ἔσχατον Νείλου κέρας.*

κεραυνός (sg. *κεραυνός, -οῦ, -ῷ, -όν.* pl. *κεραυνῶν*) *fulmen cum tonitru iunctum*, telum Iovis Py. VI 24: *Κρονίδαν, βαρυόπαν στεροπᾶν κεραυνῶν τε πρύτανιν.* I 5: *τὸν αἰχματὰν κεραυνὸν σβεννύεις ἀενάου πυρός.* fr. 146 (112): *πῦρ πνέοντος — κεραυνοῦ.* Ol. X 83: *κελαδησόμεθα βροντὰν καὶ πυρπάλαμον βέλος ὀρσικτύπου Διός, ἐν ἅπαντι κράτει αἴθωνα κεραυνὸν ἀραρότα.* Is. VII 34 (VIII 36): *ὃς κεραυνοῦ τε κρέσσον ἄλλο βέλος διώξει χερὶ τριόδοντός τ᾽ ἀμαιμακέτου.* quo domat necatque adversarios Py. VIII 17: *δμᾶθεν δὲ κεραυνῷ τόξοισί τ᾽ Ἀπόλλωνος*: sc. Typhoeus a Iove, Porphyrio ab Apolline. Py. III 58: *αἴθων δὲ κεραυνὸς ἐνέσκιμψεν μόρον*: sc. Aesculapio. Ol. II 28 (26): *ἀποθανοῖσα βρόμῳ κεραυνοῦ τανυέθειρα Σεμέλα.* Ne. IX 24: *ὁ δ᾽ Ἀμφιάρῃ σχίσσεν κεραυνῷ παμβίᾳ Ζεὺς τὰν βαθύστερνον χθόνα, κρύ-*

ψεν δ' ἅμ' ἵπποις. X 71: Ζεὺς δ' ἐπ' Ἴδᾳ πυρφόρον πλᾶξε ψολόεντα κεραυνόν.

κεραυνόω *fulmine percutio* Ne. X 8: γαῖα δ' ἐν Θήβαις ὑπέδεκτο κεραυνωθεῖσα Διὸς βέλεσιν μάντιν Οἰκλείδαν.

Κέρβερος *Cerberus* fr. 249 (153), v. Ἡρακλέης.

κερδαίνω *lucror* Is. IV (V) 26: καὶ γὰρ ἡρώων ἀγαθοὶ πολεμισταὶ λόγον ἐκέρδαναν.

κερδᾰλέος *lucrosus* Py. II 78: κερδοῖ δὲ τί μάλα τοῦτο κερδαλέον τελέθει (var. κερδαλέου);

κερδίων *utilior* Ne. V 16: στάσομαι· οὔ τοι ἅπασα κερδίων φαίνοισα πρόσωπον ἀλάθει' ἀτρεκής.

κέρδος (sg. κέρδος, -ει, -ος. pl. κερδέων, κέρδεσσ') 1) *lucrum* Is. I 51: εὐαγορηθεὶς κέρδος ὕψιστον δέκεται, πολιατᾶν καὶ ξένων γλώσσας ἄωτον. Ne. IX 33: αἰδὼς γὰρ ὑπὸ κρύφα κέρδει κλέπτεται, ἃ φέρει δόξαν. XI 47: κερδέων δὲ χρὴ μέτρον θηρευέμεν. Py. IV 140: ἐντὶ μὲν θνατῶν φρένες ὠκύτεραι κέρδος αἰνῆσαι πρὸ δίκας δόλιον. VIII 13: κέρδος δὲ φίλτατον, ἑκόντος εἴ τις ἐκ δόμων φέροι. — *lucri cupiditas* Py. III 54: κέρδει καὶ σοφία δέδεται. Ne. VII 18: σοφοὶ δὲ μέλλοντα τριταῖον ἄνεμον ἔμαθον, οὐδ' ὑπὸ κέρδει βλάβεν. (de Py. II 78 v. κερδώ.) — 2) pl. *artes, astutiae* Py. I 92: μὴ δολωθῇς, ὦ φίλος, εὐτραπέλοις κέρδεσσ' (Mosch., libri vett. ὦ φίλε κέρδεσιν εὐτραπέλοις): sc. aulicorum adulatorum.

κερδώ *vulpecula, homo vafer et calumniator* Py. II 78: κερδοῖ δὲ τί μάλα τοῦτο κερδαλέον τελέθει; ubi κερδοῖ Huschkii coni. est nunc a plerisque editoribus recepta pro librorum κέρδει, quam retinens lectionem Boeckhius explicat: „astutiae vero (id est astutis istis hominibus) quidnam inde lucri redit"; alii, ut Friederichs. et Mezgerus, seiunctim legentes sec. libros κέρδει δέ — τί: „hinsichtlich des Gewinns aber — was gibt es dabei denn viel Gewinnbringendes".

κευθμών *recessus, vallis* Py. IX 34: ὀρέων κευθμῶνας ἔχει σκιοέντων. fr. 101 (70), 4: καί ποτε τὸν τρικαράνου Πτωΐου κευθμῶνα κατέσχεθε.

κεῦθος *recessus, latebrae* Ne. X 56: μεταμειβόμενοι δ' ἐναλλὰξ ἁμέραν τὰν μὲν παρὰ πατρὶ φίλῳ Δὶ νέμονται, τὰν δ' ὑπὸ κεύθεσι γαίας ἐν γυάλοις Θεράπνας.

κεφᾰλά (sg. κεφαλᾶς, -ᾷ, άν. pl. κεφαλᾶν, -αῖς, -άς) *caput* hominis aut bestiae Ol. I 60 (58): λίθον, τὸν αἰεὶ μενοινῶν κεφαλᾶς βαλεῖν εὐφροσύνας ἀλᾶται. II 82 (74): ὕδωρ δ' ἄλλα (sc. ἄνθεμα) φέρβει, ὅρμοισι τῶν χέρας ἀναπλέκοντι καὶ κεφαλάς (Pauw., libri στεφάνους v. στεφάνοις), ubi Bergk. coni. ὅρμοις ἑ τῶν χέρες ἀναπλέκοντι καὶ στεφάνοις, accus. aeolicos ὅρμοις et στεφάνοις esse contendens. Py. XII 9: τὸν (sc. θρῆνον) παρθενίοις ὑπό τ' ἀπλάτοις ὀφίων κεφαλαῖς ἄιε λειβόμενον. fr. 203 (217), 3: κρυφᾷ δὲ σκολιοὺς γέννσιν ἀνδέροισιν πόδας ἠδὲ κεφαλάς: sc. equi mortui; „fort. κεφαλάν" Bergk. — met. Py. XII 23: ἀλλά νιν (h. e. μέλος) εὑροῖσ' ἀνδράσι θνατοῖς ἔχειν, ὠνόμασεν κεφαλᾶν πολλᾶν νόμον: „poeta *Πολυκέφαλον νόμον* a Minerva ex Gorgonum imitatione inventum et a multis serpentium capitibus denominatum perhibet; verius illi, qui Olympi nomum, quem putabant, ob multa capita partesque cantici *Πολυκέφαλον* dictum esse contenderunt" Boeckh. Is. VII 9 (VIII 10): ἐπειδὴ τὸν ὑπὲρ κεφαλᾶς γε (Bergk. ἅτε) Ταντάλου λίθον παρά τις ἔτρεψεν ἄμμι θεός. pro homine ipso Py. XI 35: ὁ δ' ἄρα γέροντα ξένον Στρόφιον ἐξίκετο, νέα κεφαλά (Heyn. c. schol., libri νέᾳ κεφαλᾷ, quod tenet Mezgerus vertens: „iungen Blutes"). IX 80: Εὐρυσθῆος ἐπεὶ κεφαλὰν ἔπραθε φασγάνου ἀκμᾷ. Ol. VI 60: αἰτέων λαοτρόφον τιμάν τιν' ἑᾷ κεφαλᾷ. VII 67: ἐς αἰθέρα νιν (insulam) πεμφθεῖσαν ἑᾷ κεφαλᾷ ἐξοπίσω γέρας ἔσσεσθαι. (de Py. IX 31 v. καρδία.)

κεφάλαιον *caput, summa rerum* Py. IV 116: ἀλλὰ τούτων μὲν κεφάλαια λόγων ἴστε: opp. πάντα λόγον v. 132.

κεχλαδώς v. **(χλάδω).**

Κέως *Ceos* insula Is. I 8: τὸν ἀπειρεκόμαν Φοῖβον χορεύων ἐν Κέῳ ἀμφιρύτᾳ σὺν ποντίοις ἀνδράσιν.

κηκίω *effundor, undo* fr. 185 (184): ἔτι δὲ τειχέων κηκίει καπνός (Bergk., libri κακίει v. ἀκύει, Boeckh. ex Schneideri coni. ἀνακικύει).

Κηληδόνες *Celedones, Flexanimae* fr. 53 (25): *χρύσεαι δ' ἐξύπερθ' αἰετοῦ ἄειδον Κηληδόνες* (var. *Κηλήμονες*): „feminae aureis imaginibus expressae„ *χρυσαῖ ᾠδοί*, ut ait Pausanias (X 5, 12), cantrices dulci voce insignes, ut Sirenes, quae sub tecto tertii templi Delphici suspensae fuisse dicebantur" Boeckh. et Dissen.

κῆλον *telum*, met. de sonis citharae Py. I 12: *κῆλα δὲ καὶ δαιμόνων θέλγει φρένας.*

Κῆρες *Parcae* fr. 277 (245): *Κῆρες ὀλβοθρέμμονες, φησὶ Πίνδαρος, μεριμναμάτων ἀλεγεινῶν* (Theod. Metoch. p. 282).

κηρίον *favus* fr. 152 (266): *μελισσοτεύκτων κηρίων ἐμὰ γλυκερώτερος ὀμφά.*

κηρός *cera* fr. 123 (88), 8: *ἀλλ' ἐγὼ πᾶς δέατι κηρὸς ὥς δαχθεὶς ἕλᾳ ἱρᾶν μελισσᾶν τάκομαι.*

κίβδᾱλος *pravus* fr. 79 (47): *καὶ τὸ σὰν κίβδαλον ἀνθρώποισιν ἀπὸ στομάτων* (sc. *εἷρπε*): „Dorum San paulo rudius pronuntiatum videtur nec plane convenisse ceterorum Graecorum litterae Sigma" Boeckh.

κίβισις *pera* fr. 254 (144): *αὗται δὲ αἱ νύμφαι* (*Γοργόνες*) *πτηνὰ εἶχον πέδιλα καὶ τὴν κίβισιν, ἥν φασιν εἶναι πήραν* (Apollod. Bibl. II 4, 2). quibus vulgo et in libris adduntur haec: *Πίνδαρος δὲ καὶ Ἡσίοδος ἐν Ἀσπίδι ἐπὶ τοῦ Περσέως· πᾶν δὲ μετάφρενον εἶχε κάρα δεινοῖο πελώρου Γοργοῦς, ἀμφὶ δέ μιν κίβισις θέε. εἴρηται δὲ παρὰ τὸ κεῖσθαι ἐκεῖ ἐσθῆτα καὶ τὴν τροφήν.*

Κιδαλία v. **Ἀκιδαλία**.

κίδναμαι *spargor* fr. 129 (95), 6: *ὀδμὰ δ' ἐρατὸν κατὰ χῶρον κίδναται.*

Κῐθαιρών *Cithaeron* mons Py. I 77: *ἐν Σπάρτᾳ δ' ἐρέω πρὸ Κιθαιρῶνος μάχαν*: dicit pugnam Plataeensem.

κῐθᾰρίζω *citharam pulso, cithara cano* Ne. IV 14: *ποικίλον κιθαρίζων ἅμα κε τῷδε μέλει κλιθεὶς ὕμνον κελάδησε καλλίνικον.*

κῐθᾰρις *cithara* Py. V 65: *πόρεν τε κίθαριν δίδωσί τε Μοῖσαν οἷς ἂν ἐθέλῃ*: *τὴν κιθαριστικὴν ἐμπειρίαν.* Schol.

κικλήσκω *nomino, voco* Py. IV 119: *Φὴρ δέ με θεῖος Ἰάσονα κικλήσκων προσηύδα.* fr. 87 (58), 4: *πόντου θύγατερ —, ἅντε βροτοὶ Δᾶλον κίκλήσκοισιν* (Bergk. et Boeckh. in Add., vulgo *κικλήσκουσιν*).

Κῐλίκιος *Cilicius* Py. I 17: *τόν ποτε* (sc. Typhoeum) *Κιλίκιον θρέψεν πολυώνυμον ἄντρον.*

Κῐλιξ *Cilix* Py. VIII 16: *Τυφὼς Κίλιξ ἑκατόγκρανος.*

κινδῡνεύω *cum periculo suscipio, periculum adeo v. facio* Ne. V 14: *αἰδέομαι μέγα εἰπεῖν ἐν δίκα τε μὴ κεκινδυνευμένον*: „wenn etwas die Probe des Rechts nicht bestanden hat" Mezger.

κίνδῡνος (*κίνδυνος, -ῳ, -ον*) *periculum, discrimen* Ol. I 83 (81): *ὁ μέγας δὲ κίνδυνος ἄναλκιν οὐ φῶτα λαμβάνει.* Py. IV 71: *τίς δὲ κίνδυνος κρατεροῖς ἀδάμαντος δῆσεν ἅλοις;*: dicitur periculosa Argonautarum navigatio. Ol. V 16: *ἔργον κινδύνῳ κεκαλυμμένον.* Py. IV 207: *ἐς δὲ κίνδυνον βαθὺν ἱέμενοι.* Ne. IX 35: *χρομίῳ κεν ὑπασπίζων — ἔκρινας ἂν κίνδυνον ὀξείας ἀυτᾶς.* VIII 21: *νεαρὰ δ' ἐξευρόντα δόμεν βασάνῳ ἐς ἔλεγχον, ἅπας κίνδυνος*: maxime periculosum est.

κῑνέω *moveo*, met. fr. 235 (259): *τὸν μὲν* (delphinum) *ἀκύμονος ἐν πόντου πελάγει αὐλῶν ἐκίνησ' ἐρατὸν μέλος.* (de fr. 101 (70) v. *περιδινέω.*)

κινηθμός *motus* Py. IV 208: *συνδρόμων κινηθμὸν ἀμαιμάκετον ἐκφυγεῖν πετρᾶν.*

κινητήρ *quassator* Is. III 37 (IV 19): *ὁ κινητὴρ δὲ γᾶς Ὀγχηστὸν οἰκέων καὶ γέφυραν ποντιάδα πρὸ Κορίνθου τειχέων*: Neptunus.

Κῐνῠρας *Cinyras*, rex Cypri nobilissimus Py. II 15: *κελαδέοντι μὲν ἀμφὶ Κινύραν πολλάκις φᾶμαι Κυπρίων, τὸν ὁ χρυσοχαῖτα προφρόνως ἐφίλησ' Ἀπόλλων, ἱερέα κτίλον Ἀφροδίτας.* Ne. VIII 18: *ὅσπερ* (sc. *ὄλβος*) *καὶ Κινυραν ἔβρισε πλούτῳ ποντίᾳ ἔν ποτε Κύπρῳ.*

κίρνημι v. **κεράννυμι**.

Κίρρα *Cirrha*, urbs Phocensium, „Delphorum navale, sexaginta a Delphis stadiis, ubi hippodromus in campo arboribus non consito" Boeckh. Py. III 74: *στεφάνοις, τοὺς ἀριστεύων Φερένικος ἕλεν* (Pauw. *ἕλ' ἐν*) *Κίρρᾳ ποτέ*: „in hippodromo Delphico prope Cirrham" Dissen. Py. X 15: *θῆκεν δὲ*

καὶ βαθυλείμων᾽ ὑπὸ Κίρρας ἀγὼν πέτραν κρατησίποδα Φρικίαν. XI 12: ἑπταπύλοισι Θήβαις χάριν ἀγῶνί τε Κίρρας: „Pythiis ad Cirrham actis, ubi et hippodromus et stadium fuit" Dissen. Py. VII 16 (14): δύο δ᾽ ἀπὸ Κίρρας (νῖκαι). — adv. **Κίρρᾱθεν** *e Cirrha* Py. VIII 19: Ξενάρκειον ἔδεκτο Κίρραθεν ἐστεφανωμένον υἱὸν ποίᾳ Παρνασίδι Δωριεῖ τε κώμῳ. v. Κρίσα.

κῖς *vermiculus* fr. 222 (243): Διὸς παῖς ὁ χρυσός· κεῖνον οὐ σὴς οὐδὲ κὶς δάπτει.

κισσοδέτας *hedera redimitus* fr. 75 (45), 9: ἐπὶ κισσοδέταν θεόν (var. κισσοδαῆ, κισσουδέταν, κισσοδόταν, Bergk. κισσοκόμαν): Bacchum.

κισσοκόμας v. **κισσοδέτας.**

κισσοφόρος *hederiger* Ol. II 30 (27): φιλεῖ δέ νιν (Semelen) Παλλὰς αἰεὶ καὶ Ζεὺς πατήρ, μάλα φιλεῖ δὲ παῖς ὁ κισσοφόρος: Bacchus.

κιχάνω *deprehendo* 1) assequor Py. II 50: θεός, ὃ καὶ πτερόεντ᾽ αἰετὸν κίχε καὶ θαλασσαῖον παραμείβεται δελφῖνα. III 43: βάματι δ᾽ ἐν πρώτῳ κιχὼν παῖδ᾽ ἐκ νεκροῦ ἅρπασε. — 2) invenio, c. part. Py. IX 26: κίχε νιν λέοντί ποτ᾽ εὐρυφαρέτρας ὀβρίμῳ μούναν παλαίοισαν. Ne. X 74: καί νιν οὔπω τεθναότ᾽, ἄσθματι δὲ φρίσσοντα πνοὰς ἔκιχεν.

κῑων (sg. κίων, -ονα. pl. κίονες, -όνων, -όνεσσι, -ονας) *columna*, in aedificiis Py. IV 267: σὺν ὀρθαῖς κιόνεσσιν δεσποσύναισιν ἐρειδομένα (δρῦς). Ol. VI 2: χρυσέαις ὑποστάσαντες εὐτειχεῖ προθύρῳ θαλάμου κίονας, ὡς ὅτε θαητὸν μέγαρον, πάξομεν. transfertur ad montem Py. I 19: κίων δ᾽ οὐρανία συνέχει, νιφόεσσ᾽ Αἴτνα. Ne. III 21: οὐκέτι πρόσω ἀβάταν ἅλα κιόνων ὑπὲρ Ἡρακλέος περᾶν εὐμαρές. de Delo insula fr. 88 (58), 6: δὴ τότε τέσσαρες ὀρθαὶ πρέμνων ἀπώρουσαν χθονίων, ἂν δ᾽ ἐπικράνοις σχέθον πέτραν ἀδαμαντοπέδιλοι κίονες. — met. columen et praesidium Ol. VIII 27: τάνδ᾽ ἁλιερκέα χώραν (Aeginam) παντοδαποῖσιν ὑπέστασε ξένοις κίονα δαιμονίαν. Ol. II 90 (82): Ἕκτορ᾽ ἔσφαλε, Τροίας ἄμαχον ἀστραβῆ κίονα.

κλάζω v. **ἐπικλάζω.**

κλᾱΐς *clavis*, met. Py. IX 39: κρυπταὶ κλαΐδες (plerique κλαΐ̃δες) ἐντὶ σοφᾶς Πειθοῦς ἱερᾶν φιλοτάτων: h. e. „occultis clavibus sapiens Suada aperit aditum ad sacros amores" Dissen.; uterque enim genetivus pendet a v. κλαΐδες. Py. VIII 4: Ἁσυχία —, βουλᾶν τε καὶ πολέμων ἔχοισᾰ κλαΐ̃δας ὑπερτάτας (Schmid. c. Moschop., κληΐδας Tricl., κλαῖδας, κλαΐδας, κλᾶδας vett.): h. e. „summum regimen" Dissen.

κλᾱ̆ιστρον *claustrum*, met. Py. I 8: κελαινῶπιν δ᾽ ἐπί οἱ νεφέλαν ἀγκύλῳ κρατί, γλεφάρων ἁδὺ κλάιστρον, κατέχευας (Bergk. c. Tricl., κλαῖστρον vett., κλαΐστρον vulg.).

κλᾶρος 1) *sors* Ne. VI 71 (63): δύο μὲν Κρονίου πὰρ τεμένει, παῖ, σέ τ᾽ ἐνόσφισε καὶ Πολυτιμίδαν κλᾶρος προπετὴς ἄνθε᾽ Ὀλυμπιάδος. adhibita in vaticinationibus Py. IV 190: μάντις ὀρνίχεσσι καὶ κλάροισι θεοπροπέων ἱεροῖς: ἰστέον ὅτι κλήροις τοπρὶν ἐμαντεύοντο, καὶ ἦσαν ἐπὶ τῶν ἱερῶν τραπεζῶν ἀστράγαλοι, οὓς ῥίπτοντες ἐμαντεύοντο. Schol. — 2) *hereditas* Ol. XIII 62: τοῖσι μὲν ἐξεύχετ᾽ ἐν ἄστει Πειράνας σφετέρου πατρὸς ἀρχὰν καὶ βαθὺν κλᾶρον ἔμμεν καὶ μέγαρον.

κλᾱρόω *sorte attribuo*, met. Ol. VIII 15: Τιμόσθενες, ὔμμε δ᾽ ἐκλάρωσεν πότμος Ζηνὶ γενεθλίῳ: „Timosthenem et fratrem Alcimedontem, quos fatum Iovi quasi sortito dedit, ut is eorum patronum esset" Boeckh.

Κλέανδρος *Cleander*, Telesarchi filius, Aegineta, pancratio in Isthmo victor Ol. 75, 2, paulo ante item pancratio Nemeae, cui carmen Is. VII (VIII) scriptum est fort. Ol. 75, 2, sec. Mezgerum statim post pugnam Salaminiam; Is. VII (VIII) 1: Κλεάνδρῳ τις ἁλικίᾳ τε λύτρον εὔδοξον, ὦ νέοι, καμάτων πατρὸς ἀγλαὸν Τελεσάρχου παρὰ πρόθυρον ἰὼν ἀνεγειρέτω κῶμον. VII 66 (VIII 73): ἁλίκων τῷ τις ἁβρὸν ἀμφὶ παγκρατίου Κλεάνδρῳ πλεκέτω μυρσίνας στέφανον.

κλεεννός v. **κλεινός.**

κλεΐζω *celebro* Ol. I 113 (110): ἔτι γλυκυτέραν (sc. μέριμναν) κεν ἔλπομαι σὺν ἅρματι θοῷ κλεΐξειν ἐπίκουρον εὑρὼν ὁδὸν λόγων (var. κλειξεῖν v. κλεΐζειν).

κλεινός, κλεεννός (sg. m. κλεινός. f. κλεινά, κλεινᾶς, κλεεννᾶς, κλεινᾷ, -άν. pl. f. κλεινᾶν, κλειναῖς, -αῖσιν, κλεενναῖς, κλειναί. comp. κλεινότερον. superl. κλεεννότατον. brevis vocalis bis antecedens semel producitur Is.

II 19) *clarus, illustris, celeber*, de hominibus Py. I 31: *κλεινὸς οἰκιστὴρ ἐκύδανεν πόλιν*: Hiero. de regionibus urbibusque Ne. I 2: *κλεινᾶν Συρακοσσᾶν.* Ol. VI 6: *τᾶν κλεινᾶν Συρακοσσᾶν.* III 2: *κλεινὰν Ἀκράγαντα.* fr. 76 (46), 2: *κλειναὶ Ἀθᾶναι.* Ol. IX 14: *κλεινᾶς ἐξ Ὀπόεντος.* VII 81: *κλεινᾷ τ' ἐν Ἰσθμῷ.* fr. 1 (4): *κλεινὰ δὲ καὶ ναυσικλυτὸς Αἴγινα.* Py. IX 15: *Πίνδου κλεενναῖς ἐν πτυχαῖς.* IV 280: *τὸ κλεεννότατον μέγαρον Βάττου.* add. dat. Py. IX 70: *καλλίσταν πόλιν ἀμφέπει κλεινάν τ' ἀέθλοις.* — de aliis rebus Py. IX 112: *θυγατρὶ φυτεύων κλεινότερον γάμον.* V 20: *κλεεννᾶς — παρὰ Πυθιάδος* (var. *κλεννᾶς*). fr. 1 (4): *κλεινὸς Αἰακοῦ λόγος.* Py. III 114: *ἁ δ' ἀρετὰ κλειναῖς ἀοιδαῖς χρονία τελέθει.* VIII 23: *ἁ δικαιόπολις ἀρεταῖς κλειναῖσιν Αἰακιδᾶν θιγοῖσα νᾶσος.* Is. II 19: *κλειναῖς δ' Ἐρεχθειδᾶν χαρίτεσσιν ἀραρώς.*

Κλειτόμαχος *Clitomachus* Aegineta, avunculus Aristomenis, in Isthmo lucta victor Py. VIII 36: *οὐδὲ Κλειτομάχοιο νίκαν Ἰσθμοῖ θρασύγυιον* (sc. *κατελέγχεις*).

κλειτός *clarus, inclutus,* de hominibus Ne. VI 69 (61): *Ἀλκιμίδα τό γ' ἐπάρκεσεν κλειτᾷ γενεᾷ.* de regionibus Ne. V 37: *ποτὶ κλειτὰν θαμὰ νίσσεται Ἰσθμὸν Δωρίαν.* Py. IV 77: *κλειτᾶς Ἰωλκοῦ* (var. *κλυτᾶς*). de sacris Py. X 33: *κλειτὰς ὄνων ἑκατόμβας.*

Κλείτωρ *Clitor*, urbs Arcadiae Ne. X 47: *ὄντε* (sc. *χαλκὸν*) *Κλείτωρ καὶ Τεγέα καὶ Ἀχαιῶν ὑψίβατοι πόλιες καὶ Λύκαιον πὰρ Διὸς θῆκε δρόμῳ*: „Clitore *Κόρεια* acta esse probabile in Proserpinae honorem" Dissen.

Κλεόδᾱμος *Cleodamus* Orchomenius, pater Asopichi Ol. XIV 22: *δόμον Φερσεφόνας ἔλθ', Ἀχοῖ, πατρὶ κλυτὰν φέροισ' ἀγγελίαν Κλεόδαμον ὄφρ' ἰδοῖσ', υἱὸν εἴπῃς ὅτι οἱ νέαν — ἐστεφάνωσε κυδίμων ἀέθλων πτεροῖσι χαίταν.*

Κλεόνῑκος *Cleonicus,* Lamponis pater, Aegineta Is. V (VI) 16: *ὁ Κλεονίκου παῖς*: Lampo. Is. IV (V) 55: *μαρνάσθω τις ἔρδων ἀμφ' ἀέθλοισιν γενεὰν Κλεονίκου ἐκμαθών*: „Cleonicus suaviter hic nominatus propter significationem victoriarum, quae in nomine inest" Dissen.

κλέος (n. a. *κλέος.* brevis vocalis antecedens producitur ter Ol. I 96. X 95. Py. IV 125) *fama* 1) sermo vulgatus, Kunde Py. IV 125: *καὶ κασίγνητοί σφισιν ἀμφότεροι ἦλθον κείνου γε κατὰ κλέος.* — 2) Ruf, existimatio a) bona: gloria Ol. I 24: *λάμπει δέ οἱ κλέος.* Ne. IX 39: *λέγεται μὰν Ἕκτορι μὲν κλέος ἀνθῆσαι.* Ol. VII 53: *ἦν δὲ κλέος βαθύ.* VIII 10: *μέγα τοι κλέος αἰεί, ᾧτινι σὸν γέρας ἕσπητ' ἀγλαόν.* Is. VI (VII) 29: *ἀστῶν γενεᾷ μέγιστον κλέος αὔξων.* Ol. X 21: *ποτὶ πελώριον ὁρμάσαι κλέος.* X 95: *τρέφοντι δ' εὐρὺ κλέος κόραι Πιερίδες Διός.* Is. IV (V) 8: *ἔν τ' ἀγωνίοις ἀέθλοισι ποθεινὸν κλέος ἔπραξεν.* Py. V 73: *τὸ δ' ἐμόν, γαρύεν ἀπὸ* (Christ. *τἀπὸ*) *Σπάρτας ἐπήρατον κλέος.* Ne. VII 63: *ὕδατος ὥτε ῥοὰς φίλον ἐς ἄνδρ' ἄγων κλέος ἐτήτυμον αἰνέσω.* Ol. IX 101: *πολλοὶ δὲ διδακταῖς ἀνθρώπων ἀρεταῖς κλέος ὤρουσαν ἀρέσθαι.* Py. III 111: *ἐλπίδ' ἔχω κλέος εὑρέσθαι κεν ὑψηλὸν πρόσω.* add. gen. rei Ol. I 96 (93): *τὸ δὲ κλέος τηλόθεν δέδορκε τᾶν Ὀλυμπιάδων ἐν δρόμοις Πέλοπος.* personae Py. IV 174: *τῶν μὲν κλέος ἐσλὸν Εὐφάμου τ' ἐκράνθη σόν τε, Περικλύμεν' εὐρυβία.* Is. V (VI) 25: *Πηλέος ἀίει κλέος ἥρωος.* Ne. VI 56 (49): *πέταται δ' ἐπί τε χθόνα καὶ διὰ θαλάσσας τηλόθεν κλέος αὐτῶν* (Bergk. sec. schol., libri *ὄνομ'*, Boeckh. *ὄνυμ'*). rei et personae Py. I 66: *ὧν κλέος ἄνθησεν αἰχμᾶς.* — b) mala Ne. VIII 36: *κελεύθοις ἁπλόαις ζωᾶς ἐφαπτοίμαν, θανὼν ὡς παισὶ κλέος* (Tricl. *κλέα*) *μὴ τὸ δύσφαμον προσάψω.*

κλέπτω (act. praes. *κλέπτει. κλέπτων, -οισα.* aor. *κλέψεν. κλέψαις.* pass. praes. *κλεπτόμενον.* brevis vocalis quater antecedens producitur semel Py. IV 96) 1) *furto aufero, clam abduco* Ol. I 62 (60): *ἀθανάτων ὅτι κλέψαις ἁλίκεσσι συμπόταις νέκταρ ἀμβροσίαν τε δῶκεν.* Py. IV 250: *κλέψεν τε Μήδειαν σὺν αὐτᾷ.* met. fr. 107 (74), 2: *ἄστρον ὑπέρτατον ἐν ἁμέρᾳ κλεπτόμενον*: dicit solem deficientem. fr. 217 (237): *γλυκύ τι κλεπτόμενον μέλημα Κύπριδος.* — 2) *fallo, decipio* Py. III 29: *ψευδέων δ' οὐχ ἅπτεται, κλέπτει τέ νιν οὐ θεὸς οὐ βροτὸς ἔργοις οὔτε βουλαῖς.* Ne. VII 23: *σοφία δὲ κλέπτει παράγοισα μύθοις.* — 3) *celo, occulto* Ol.

VI 36: *κλέπτοισα θεοῖο γόνον.* Py. IV 96: *κλέπτων δὲ θυμῷ δεῖμα προσέννεπε.*

κλέω *celebro* Is. IV (V) 27: *ἡρώων ἀγαθοὶ πολεμισταὶ λόγον ἐκέρδαναν, κλέονται δ᾽ ἔν τε φορμίγγεσσιν ἐν αὐλῶν τε παμφώνοις ὁμοκλαῖς.* (de Py. I 77 v. *ἐρέω*.)

Κλεώ *Clio* Musa Ne. III 83: *τίν γε μέν, εὐθρόνου Κλεοῦς* (var. *Κλεὸς, Κλέος, Κλειοῦς*) *ἐθελοίσας, ἀεθλοφόρου λήματος ἕνεκεν Νεμέας Ἐπιδαυρόθεν τ᾽ ἀπὸ καὶ Μεγάρων δέδορκεν φάος*: „Clio est Musa fautrix Aristoclidae, qui a *κλέος* nomen habet. Clio quae canit *τὰ κλέα ἀνδρῶν*, Aristoclidae destinavit praeclarum *κλέος* deditque ut priores victorias sic Nemeaeam servavitque earum memoriam, et nunc Aeginam profecta ipsa carmen praeit“ Dissen. ad v. 16. fr. 308 (275): *ὀρειᾶν Πελειάδων . . . ἔνιοι διὰ τὸ ἐπὶ τῆς οὐρᾶς τοῦ Ταύρου κεῖσθαι, κατὰ ὕφεσιν τοῦ ῡ, ὡς καὶ τὸ Κλεὸς ἕκατι, ἀντὶ τοῦ Κλειοῦς* (Schol. Pind. Ne. II 17).

Κλεωναί *Cleonae*, urbs Argolica inter Argos et Corinthum sita Ol. X 30: *λόχμαισι δὲ δοκεύσαις ὑπὸ Κλεωνᾶν δάμασε καὶ κείνους Ἡρακλέης ἐφ᾽ ὁδῷ*: „esse urbem *ἐπὶ λόφου περιοικουμένου πανταχόθεν* dicit Strabo VIII 6“ Dissen.

Κλεωναῖος *Cleonaeus* Ne. IV 17: *ὕμνον κελάδησε καλλίνικον Κλεωναίου τ᾽ ἀπ᾽ ἀγῶνος ὅρμον στεφάνων πέμψαντος καὶ κτλ.*: „dicit Nemea; nam Cleonaei, a quorum urbe non ita longe aberat lucus Nemeaeus, diu fuerunt praesides horum ludorum“ Dissen. Ne. X 42: *καὶ Κλεωναίων πρὸς ἀνδρῶν τετράκις* (sc. *θάλησαν*).

Κλεωνῠμίδαι *Cleonymidae*, nobilis gens Thebana Labdacidis cognata Is. III 22 (IV 4): *ἀρετὰς ὕμνῳ διώκειν, αἶσι Κλεωνυμίδαι θάλλοντες αἰεὶ σὺν θεῷ θνατὸν διέρχονται βιότου τέλος.*

Κλεώνυμος *Cleonymus* Thebanus, auctor gentis Cleonymidarum Is. III 17: *ἴστε μὰν Κλεωνύμου δόξαν παλαιὰν ἅρμασιν.*

κλῖμαξ *scala, ascensus* fr. 30 (6), 3: *Θέμιν — Μοῖραι ποτὶ κλίμακα σεμνὰν ἆγον Οὐλύμπου λιπαρὰν καθ᾽ ὁδόν*: „ad scalam, qua adscenditur mons a diis et descenditur“ Dissen. fr. 162: *πίτναντες θοὰν κλίμακ᾽ ἐς οὐρανὸν αἰπύν.*

κλίνω *inclino* Ol. I 95 (92): *Ἀλφεοῦ πόρῳ κλιθείς*: h. e. iacens, sepultus ad. — met. Ne. IV 15: *τῷδε μέλει κλιθείς*: „animum applicans“ Dissen. „an dieses Lied sich anschliefsend = mein Lied mit der Kithara begleitend“ Mezger.

κλισία *sella, sedes* Py. IV 133: *αἶψα δ᾽ ἀπὸ κλισιᾶν ὦρτο σὺν κείνοισι.*

κλονέω *agito* Py. IX 48: *ἐν θαλάσσᾳ καὶ ποταμοῖς ψάμαθοι κύμασιν ῥιπαῖς τ᾽ ἀνέμων κλονέονται.* de pugilatu Is. VII 65 (VIII 70): *ἐνίκασε — ἄνδρας ἀφύκτῳ χερὶ κλονέων.*

κλόνος *iactatio* fr. 208 (224): *μανίαις τ᾽ ἀλαλαῖς τ᾽ ὀρινόμενοι ῥιψαύχενι σὺν κλόνῳ.*

Κλῠμενος *Clymenus*, pater Ergini Ol. IV 17 (21): *διάπειρά τοι βροτῶν ἔλεγχος· ἅπερ Κλυμένοιο παῖδα Λαμνιάδων γυναικῶν ἔλυσεν ἐξ ἀτιμίας*: „Erginus Orchomenius ex Minyeia gente cum Argonautis in Lemno in Thoantis funebribus ludis ab eius filia Hypsipyla institutis decurrens, quamquam a mulieribus propter canitiem derisus erat, vicit Hypsipylaeque qualis esset probavit“ Boeckh.

Κλῠταιμνήστρα *Clytaemnestra*, uxor Agamemnonis Py. XI 17: *τὸν δὴ φονευομένου πατρὸς Ἀρσινόα Κλυταιμνήστρας χειρῶν ὕπο κρατερᾶν ἐκ δόλου τροφὸς ἄνελε δυσπενθέος.*

κλυτόκαρπος *inclutos fructus ferens* Ne. IV 76: *ἔνθα πεῖραν ἔχοντες οἴκαδε κλυτοκάρπων οὐ νέοντ᾽ ἄνευ στεφάνων*: h. e. cum coronis gloriam ferentibus vel gignentibus.

κλυτόμαντις *vaticinio inclutus* fr. 90 (60), 2: *χρυσέα κλυτόμαντι Πυθοῖ.*

κλυτόπωλος *inclutos equos habens* fr. 243: *φὰν δ᾽ ἔμμεναι Ζηνὸς υἱοὶ καὶ κλυτοπώλου Ποσειδάωνος.*

κλῠτός (sg. n. *κλυτός*. f. *κλυτᾶς, -ᾷ, -άν, -ά.* n. *κλυτόν*. pl. f. *κλυταί, -αῖς, -αῖσι, -άς.* brevis vocalis antecedens ubique producitur) *inclutus, clarus, illustris*, imprimis de deis rebusque divinis 1) de personis Py. IX 59: *κλυτὸς Ἑρμᾶς.* III 92: *Νηρέος εὐβούλου Θέτιν παῖδα κλυτάν.* fr. 117 (82): *ἄγοις ὦ κλυτὰ θεράποντα Λατοῖ.* Ol. X 97: *κλυτὸν ἔθνος Λοκρῶν.* — Py. IX 36: *ὁσία κλυτὰν χέρα οἱ προσενεγκεῖν* (var. *κλειτὰν*): loquitur

Apollo. — 2) de locis urbibusque Is. I 57: τὸ Δάματρος κλυτὸν ἄλσος Ἐλευσῖνα. Py. XI 32: κλυταῖς ἐν Ἀμύκλαις (var. κλειταῖς). fr. 198: κλυταὶ Θῆβαι. Ol. IX 19: κλυτὰν Λοκρῶν ἐπαείροντι ματέρ᾽ ἀγλαόδενδρον (var. κλειτὰν, κλεινὰν): Opuntem. — add. dat. Py. I 37: ἔσσεσθαι στεφάνοισί νιν ἵπποις τε κλυτὰν καὶ σὺν εὐφώναις θαλίαις ὀνυμαστάν: Aetnam urbem. — de columnis Herculis Ne. III 23: ἥρως θεὸς ἃς ἔθηκε ναυτιλίας ἐσχάτας μάρτυρας κλυτάς (var. κλυτᾶς, quod probarunt Mommsen. et Mezger.). — 3) de aliis rebus Is. II 2: φῶτες — κλυτᾷ φόρμιγγι συναντόμενοι. Ol. VIII 82: ἐποψόμενος δαῖτα κλυτάν: v. δαίς. — Ol. XIV 21: ἐλθ᾽, Ἀχοῖ, πατρὶ κλυτὰν φέροισ᾽ ἀγγελίαν. Py. X 6: Ἱπποκλέᾳ θέλοντες ἀγαγεῖν ἐπικωμίαν ἀνδρῶν κλυτὰν ὄπα. Ne. VII 16: εὕρηται ἄποινα μόχθων κλυταῖς ἐπέων ἀοιδαῖς. Is. VI (VII) 19: ὅ τι μὴ σοφίας ἄωτον ἄκρον κλυταῖς ἐπέων ῥοαῖσιν ἐξίκηται ζυγέν. Ol. I 108 (105): κλυταῖσι δαιδαλωσέμεν ὕμνων πτυχαῖς. fr. 75 (45), 2: ἴδετ᾽ ἐν χορόν, Ὀλύμπιοι, ἔπι τε κλυτὰν πέμπετε χάριν, θεοί. Ol. V 20: αἰτήσων πόλιν εὐανορίαισι τάνδε κλυταῖς δαιδάλλειν. Ne. IX 10: ἐπασκήσω κλυταῖς ἥρωα τιμαῖς. Is. V (VI) 17: ἕσπεσθαι κλυταῖς ἀνδρὸς φίλου Μοίρας ἐφετμαῖς (Tricl. κλυταῖσιν, Bergk. coni. κλυταὶς). Ol. VI 102: θεὸς τῶνδε κείνων τε κλυτὰν αἶσαν παρέχοι φιλέων. Py. V 6: κλυτᾶς αἰῶνος ἀκρᾶν ἀπὸ βαθμίδων.

κλύω (praes. κλύειν. κλύοντες. aor. κλῦθ᾽; κλῦτ᾽, κέκλυτε) 1) *audio* Py. IV 58: ἥρωες ἀντίθεοι πυκινὰν μῆτιν κλύοντες. I 90: εἴπερ τε φιλεῖς ἀκοὰν ἁδεῖαν αἰεὶ κλύειν. — 2) *exaudio*, abs. fr. 78 (225): κλῦθ᾽, Ἀλαλά. Ol. XIV 5: κλῦτ᾽, ἐπεὶ εὔχομαι. Py. IV 13: κέκλυτε, παῖδες ὑπερθύμων τε φωτῶν καὶ θεῶν.

Κλωθώ *Clotho, Parca* Ol. I 26: ἐπεί νιν (Pelopem) καθαροῦ λέβητος ἔξελε Κλωθώ: „sunt Parcae λόχιαι θεαί" Rauchenstein. Is. V (VI) 17: ἐγὼ δ᾽ ὑψίθρονον Κλωθὼ κασιγνήτας τε προσεννέπω ἕσπεσθαι κλυταῖς ἀνδρὸς φίλου Μοίρας ἐφετμαῖς.

κνίζω (act. ipf. κνίζον. aor. ἔκνιξεν. ἔκνιξ᾽, ἔκνισεν, ἔκνισ᾽. κνίσῃ. pass. praes. κνιζομένα. brevis vocalis antecedens ubique producitur) 1) *attero*, met. Is. IV (V) 58: οὐδ᾽ ὁπόσαι δαπάναι, ἐλπίδων ἔκνισ᾽ ὄπιν (Ceporinus, libri ἔκνιξ᾽ v. ἔκνιζ᾽): h. e. imminuit, nocuit. — 2) *pungo, irrito, stimulo*, de affectibus animi Ne. V 32: τοῦ δ᾽ ἄρ᾽ ὀργὰν κνίζον αἰπεινοὶ λόγοι (Rauchenst., libri τοῦ δὲ, Boeckh. τοῦ μὲν, Bergk. dubitanter τοῦ δ᾽ ὑπ᾽): ἐλύπουν. Schol. Py. VIII 32: μὴ κόρος ἐλθὼν κνίσῃ. Ol. VI 44: τὸν μὲν (infantem) κνιζομένα λεῖπε χαμαί: „anxia et sollicita materno affectu, quod recens natum puerum non liceret in patris domum secum auferre" Boeckh. Py. XI 23: πότερόν νιν ἄρ᾽ Ἰφιγένει᾽ ἐπ᾽ Εὐρίπῳ σφαχθεῖσα τῆλε πάτρας ἔκνισεν βαρυπάλαμον ὄρσαι χόλον; X 60: καὶ γὰρ ἑτέροις ἑτερωνίων ἔκνιξ᾽ ἔρως φρένας (Bergk., libri ἑτέροισιν v. ἑτέροις ἑτέρων ἔρως ἔκνιξε v. ἔκνιζε φρένας, Boeckh. ἑτέροις ἑτέρων ἔρως ὑπέκνισε sec. schol.): pungit, urit. Is. V (VI) 50: ἀδεῖα δ᾽ ἔνδον νιν ἔκνιξεν χάρις: titillavit.

κνῖσα *nidor* Ne. XI 7: πολλὰ μὲν λοιβαῖσιν ἀγαζόμενοι πρώταν θεῶν, πολλὰ δὲ κνίσᾳ (Tricl. κνίσσᾳ): sc. iuvencarum.

κνισᾰεις *nidorosus* Is. III 84 (IV 66): φλὸξ — αἰθέρᾱ κνισᾰ́εντι λακτίζοισα καπνῷ (Mommsen., libri κνισάντι). Ol. VII 80: μήλων τε κνισάεσσα πομπὰ καὶ κρίσις ἀμφ᾽ ἀέθλοις (var. κνισσάεσσα).

κνώδᾰλον *belua immanis et monstruosa*, de asinis Py. X 36: γελᾷ θ᾽ ὁρῶν ὕβριν ὀρθίαν κνωδάλων. de serpentibus Ne. I 50: αὐτὰ παισίν, ἄπεπλος ὀρούσαισ᾽ ἀπὸ στρωμνᾶς, ὅμως ἄμυνεν ὕβριν κνωδάλων: κνώδαλα κυρίως τὰ ἐν τῇ θαλάσσῃ θηρία, καταχρηστικῶς δὲ καὶ πᾶν θηρίον. Schol.

Κνώσιος *Cnosius*, ad Cretensem urbem Cnosum pertinens Ol. XII 16: στάσις ἀντιάνειρα Κνωσίας σ᾽ ἄμερσε πάτρας (var. Κνωσσίας).

κνώσσω *dormio* Py. I 8: ὁ δὲ (aquila) κνώσσων ὑγρὸν νῶτον αἰωρεῖ. de incubatione Ol. XIII 71: ἐν ὄρφνᾳ κνώσσοντί οἱ παρθένος τόσα εἰπεῖν ἔδοξεν.

κοιλόπεδος *concavus* Py. V 38: ἀλλὰ κρέμαται — ἐν κοιλόπεδον νάπος θεοῦ (sc. δαίδαλα).

κοῖλος (sg. f. κοίλα, -αν. pl. κοίλαις [superl. κοιλότατον]) *cavus* Ol.

VI 10: ἐν ναυσὶ κοίλαις. Is. III 11: τὰ δὲ κοίλᾳ λέοντος ἐν βαθυστέρνου νάπᾳ κάρυξε Θήβαν ἱπποδρομίᾳ κρατέων: in Nemeaea valle. Ol. IX 34: ῥάβδον, βρότεα σώμαθ' ᾇ κατάγει κοίλαν πρὸς ἀγυιὰν θνασκόντων. fr. 137 (102): ὄλβιος ὅστις ἰδὼν ἐκεῖνα κοίλαν εἶσιν ὑπὸ χθόνα (Boeckh., legebatur ἐκεῖνα κοινὰ εἰς ὑ. χθ., Bergk. κεῖν' εἶσ' ὑπὸ χθόν'). denique κοιλότατον Boeckhius fr. 198 (211) poetae attribuit e verbis Strabonis IX 411: ὕστερον δὲ πᾶσα ἡ λίμνη Κωπαῒς ἐλέχθη κατ' ἐπικράτειαν· κοιλότατον γὰρ τοῦτο τὸ χωρίον, φησὶ Πίνδαρος.

κοιμάομαι *concubo* Is. VII 22 (VIII 23): σὲ δ' ἐς νᾶσον Οἰνοπίαν φέρων ἐκοιμᾶτο.

κοιμίζω *facio ut cubet quis* fr. 139, 3: τὸ δὲ κοίμισαν τρ . . . . σώματ' ἀποφθιμένων (cod. κοιμίσαν).

κοῖνάν *consiliarius, interpres* Py. III 28: ἄιεν ναοῦ βασιλεὺς Λοξίας κοινᾶνι παρ' εὐθυτάτῳ γνώμαν πιθὼν πάντα ἴσαντι νόῳ (var. κοινῶνι).

κοινάω *communico* Py. IV 115: νυκτὶ κοινάσαντες ὁδόν: h. e. „noctem consciam facientes itineris" Dissen. Ne. III 12: ἐγὼ δὲ κείνων τέ νιν ὀάροις λύρᾳ τε κοινάσομαι (Boeckh., libri κοινώσομαι, Bergk. sec. schol. κοίν' ἀείσομαι): tradam, committam.

κοινός (sg. m. κοινόν. f. κοινάν. n. κοινόν, -ᾷ, -όν. pl. f. κοιναί) *communis*, opp. ἴδιος 1) de rebus a) pariter ad plures v. omnes pertinens Py. IV 222: καταίνησάν τε κοινὸν γάμον γλυκὺν ἐν ἀλλάλοισι μῖξαι: Iason et Medea. Is. VI (VII) 24: μάτρωί θ' ὁμωνύμῳ δέδωκε κοινὸν θάλος. Ne. I 32: κοιναὶ γὰρ ἔρχοντ' ἐλπίδες πολυπόνων ἀνδρῶν: ad omnes veniunt; cf. Ne. VII 30: ἀλλὰ κοινὸν γὰρ ἔρχεται κῦμ' Ἀίδα. IV 12: Αἰακιδᾶν ἠύπυργον ἕδος, δίκᾳ ξεναρκέι κοινὸν φέγγος. Ol. X 11: ὄπᾳ τε κοινὸν λόγον φίλαν τίσομεν ἐς χάριν: „die gesamte Rechnung (Zins und Kapital)" Mezger. „carmen commune victori cum comissantibus, familia, patria" Boeckh. „communem laudem (cum tria canenda sint)" Dissen. add. dat. Py. VI 15: πατρὶ τεῷ, Θρασύβουλε, κοινάν τε γενεᾷ — νίκαν. V 102: σφὸν ὄλβον υἱῷ τε κοινὰν χάριν: „ipsis et filio communem" Mezger. (de Ne. III 12 v. κοινάω.) — itaque de re publica Ol. XIII 49: ἴδιος ἐν κοινῷ σταλείς: cum privata merce in publica navi vectus h. e. privatas laudes victoris eiusque generis in publica causa tractans; victorias enim Olympicas minime ἰδίαν, sed κοινὴν εὐτυχίαν esse vere monet Kayserus. fr. 109 (228): τὸ κοινόν τις ἀστῶν ἐν εὐδίᾳ τιθείς: rem publicam. — b) omnibus notus, usitatus Ol. VII 92: μὴ κρύπτε κοινὸν σπέρμ' ἀπὸ Καλλιάνακτος: διάδηλον τοῖς πολλοῖς. Schol.; at Boeckhius: „familiam Callianactis, ab eadem stirpe eodemque patre oriundam". Py. III 2: εἰ χρεὼν τοῦθ' ἁμετέρας ἀπὸ γλώσσας κοινὸν εὔξασθαι ἔπος: „diesen trivialen Wunsch" Mezger. ἤτοι κοινῶς λεγόμενον ἐν τῷ βίῳ. Schol. — 2) de personis: aequus, impartial Ol. IV 55 (50): Πυθῶνι δ' ὁμόκλαρον ἐς ἀδελφεὸν Ἰσθμοῖ τε κοιναὶ Χάριτες ἄνθεα τεθρίππων — ἄγαγον: „utrique fratri faventes" Dissen.

κοινωνία *consortium*, c. dat. Py. I 97: οὐδέ νιν φόρμιγγες ὑπωρόφιαι κοινωνίαν μαλθακὰν παίδων ὀάροισι δέκονται, ubi κοινωνίαν accusativus interioris obiecti vel figurae q. v. etymologicae: „zu holder Gemeinschaft" Mezger.

Κοιογενής *Coeo gnata* h. e. Latona fr. 88 (58), 2: ἀλλ' ἁ Κοιογενὴς ὁπότ' ὠδίνεσσι θύοισ' ἀγχιτόκοις ἐπέβα νιν.

κοιρᾰνέω *moderor* Ol. XIV 9: οὐδὲ γὰρ θεοὶ ἁγνᾶν Χαρίτων ἄτερ κοιρανέοντι χοροὺς οὔτε δαῖτας: διακοσμοῦσι. Schol.

Κοιρᾰνίδας *Coeranides* h. e. Coerani filius Ol. XIII 75: δεῖξέν τε Κοιρανίδᾳ πᾶσαν τελευτὰν πράγματος: „est Polyidus Euchenoris pater, qui a Melampo Argivo genus deducit nobilis ex nobili vatum familia vates" Boeckh.

κοίρᾰνος *dominus* Ne. III 62: σφίσι (Aethiopibus) μὴ κοίρανος ὀπίσω πάλιν οἴκαδ' ἀνεψιὸς ζαμενὴς Ἑλένοιο Μέμνων μόλοι.

κοίτα *concubitus* Py. III 32: γνοὺς Ἴσχυος Εἰλατίδα ξεινίαν κοίταν. XI 25: ἢ ἑτέρῳ λέχεϊ δαμαζομέναν ἔννυχοι πάραγον κοῖται: sc. Aegisthi.

κοιτάζομαι *incubo* Ol. XIII 76: ἀνὰ βωμῷ θεᾶς κοιτάξατο νύκτ' ἀπὸ κείνου χρήσιος.

κοῖτος *lectus* Py. II 36: *εὐναὶ δὲ παράτροποι ἐς κακότατ᾽ ἀθρόαν ἔβαλον ποτὶ κοῖτον ἰόντ᾽* (Boeckh., libri *ἔβαλον· ποτὶ καὶ τὸν ἵκοντ᾽*).

κολεός, κουλεὸς *vagina* Ne. I 52: *ἐν χερὶ δ᾽ Ἀμφιτρύων κολεοῦ γυμνὸν τινάσσων φάσγανον.* X 6: *οὐδ᾽ Ὑπερμνήστρα παρεπλάγχθη μονόψαφος ἐν κουλεῷ κατασχοῖσα ξίφος* (Herm., libri *κολεῷ*).

κολλάω *conglutino, compingo, firmiter coniungo*, met. Ne. VII 78: *Μοῖσά τοι κολλᾷ χρυσὸν ἔν τε λευκὸν ἐλέφανθ᾽ ἁμᾷ καὶ λείριον ἄνθεμον ποντίας ὑφελοῖσ᾽ ἐέρσας.* Ol. V 13: *σεμνοὺς ὀχετοὺς, Ἵππαρις οἷσιν ἄρδει στρατόν, κολλᾷ τε σταδίων θαλάμων ταχέως ὑψίγυιον ἄλσος, ἀπ᾽ ἀμαχανίας ἄγων ἐς φάος τόνδε δᾶμον ἀστῶν: ὁ οὖν Ἵππαρις κολλᾷ καὶ προστίθησιν ἐπὶ τῇ πόλει τοὺς θαλάμους, καθὸ δι᾽ αὐτοῦ εἰσκομίζεται τὰ πρὸς κατασκευὴν ὑπουργήματα καὶ διὰ τοῦτο αἴτιος τοῦ τὰς οἰκίας κατασκευάζεσθαι.* Schol. contra Bergkius *κολλᾷ δὲ* scribens cum Hermanno ad Psaumidem refert verba Hartungii assensus interpretationi: „qui opibus suis liberaliter adiuvit cives in condenda urbe et exstruendis aedificiis".

κολοιός *graculus* Ne. III 82: *κραγέται δὲ κολοιοὶ ταπεινὰ νέμονται*: „intelligit poeta ceteros temporis sui lyricos omnino, non solum Simonidem et Bacchylidem, ut vult schol." Dissen.

Κολοφώνιος *Colophonius* fr. 188 (190): *φθέγμα μὲν πάγκοινον ἔγνωκας Πολυμνάστου Κολοφωνίου ἀνδρός.*

κόλπος (sg. *κόλπου, -ον.* pl. *κόλπων, -οις*) *sinus* 1) gremium, uterus Ol. VI 31: *κρύψε δὲ παρθενίαν ὠδῖνα κόλποις*, ubi pluralis est pro singulari. — 2) sinus maritimus Py. IV 49: *ἐξανίστανται Λακεδαίμονος Ἀργείου τε κόλπου καὶ Μυκηνᾶν*: „e sedibus ad sinum Argolicum" Dissen. — 3) recessus, saltus Ol. IX 87: *Νεμέας — κατὰ κόλπον.* XIV 23: *κόλποις παρ᾽ εὐδόξου Πίσας* (Bergk. *εὐδόξοις*): h. e. in valle Olympica. Py. IX 5: *ἀνεμοσφαράγων ἐκ Παλίου κόλπων.* — 4) cavum Ol. XIII 88: *Ἀμαζονίδων αἰθέρος ψυχρᾶς ἀπὸ κόλπων ἐρήμων τοξόταν βάλλων γυναικεῖον στρατόν* (Herm., libri *ἐρήμου*, Bergk. *ἄπο κόλπων τ᾽ ἐρήμου*).

Κόλχοι *Colchi* Py. IV 11: *δέσποινα Κόλχων*: Medea. fr. 172 (158), 5: *ἐξεῖλε Μήδειαν ἐκ Κόλχων δόμων.* Py. IV 212: *ἐς Φᾶσιν δ᾽ ἔπειτεν ἤλυθον, ἔνθα κελαινώπεσσι Κόλχοισιν βίαν μῖξαν Αἰήτᾳ παρ᾽ αὐτῷ.*

κολώνα *collis* Py. XII 3: *ἅ τ᾽ ὄχθαις ἔπι μηλοβότου ναίεις Ἀκράγαντος ἐύδματον κολώναν.* fr. 200 (214): *οἵτ᾽ ἀργείλοφον πὰρ Ζεφυρίου κολώναν* (Boeckh. *Ζεφύριον*).

κόμα (sg. *κόμα, -αν.* pl. *κομᾶν, -αις, -αισι, -ας*) *coma* Py. IV 82: *οὐδὲ κομᾶν πλόκαμοι κερθέντες ᾤχοντ᾽ ἀγλαοί, ἀλλ᾽ ἅπαν νῶτον καταίθυσσον* (var. *κόμαν*). Is. VI (VII 49): *ὦ χρυσέᾳ κόμᾳ θάλλων — Λοξία.* Ol. III 13: *ᾧ τινι — γλεφάρων Αἰτωλὸς ἀνὴρ ὑψόθεν ἀμφὶ κόμαισι βάλῃ γλαυκόχροα κόσμον ἐλαίας.* XIII 39: *τρία ἔργα ποδαρκὴς ἁμέρα θῆκε κάλλιστ᾽ ἀμφὶ κόμαις.* Py. V 31: *ἀρισθάρματον — γέρας ἀμφέβαλε τεαῖσιν κόμαις.* X 40: *δάφνᾳ τε χρυσέᾳ κόμας ἀναδήσαντες.* Ne. XI 28: *ἀνδησάμενός τε κόμαν ἐν πορφυρέοις ἔρνεσιν.* Is. II 15: *Δωρίων αὐτῷ στεφάνωμα κόμᾳ πέμπεν ἀναδεῖσθαι σελίνων.* fr. 75 (45), 18: *ῥόδα τε κόμαισι μίγνυται.* — met. de herba et fronde Ne. I 68: *βελέων ὑπὸ ῥιπαῖσι κείνου φαιδίμαν γαίᾳ πεφύρσεσθαι κόμαν ἔνεπεν*, ubi plerique *πεφύρσεσθαι* cum schol. ad deos referunt, Bergkius vero *σφε* (v. *σφι*) *φύρσεσθαι* restituit, „quod quamvis ambiguum sit, tamen quorsum spectet facile apparet".

κομιδά *cura, salus* Py. VI 39: *πρίατο μὲν θανάτοιο κομιδὰν πατρός.*

κομίζω (act. praes. *κόμιζε. κομίζων, -οντες.* ipf. *κόμιζεν.* aor. *ἐκόμισαν, ἐκόμιξαν. κόμισον. κομίσαι, κομίξαι. κομίξαις*) 1) *curo, foveo, servo* Ne. VI 35 (30): *παροιχομένων γὰρ ἀνέρων ἀοιδαὶ καὶ λόγοι τὰ καλά σφιν ἔργ᾽ ἐκόμισαν* (Tricl., vett. *ἔργα ἐκόμιξαν* v. *ἐκόμιζαν*): „foverunt, servarunt, ne interirent" Dissen. Ol. II 16 (14): *εὔφρων ἄρουραν ἔτι πατρίαν σφίσιν κόμισον λοιπῷ γένει.* Py. VIII 99: *ἐλευθέρῳ στόλῳ πόλιν τάνδε κόμιζε Δὶ καὶ κρέοντι σὺν Αἰακῷ.* — 2) *reporto, reduco* rem v. personam, proprie servandi causa Py. V 51: *ὅλον δίφρον κομίξαις ἀταρβεῖ φρενί.* Ne. III 48: *σώματα δὲ παρὰ Κρονίδαν Κένταυρον ἀσθμαίνοντα κόμιζεν.* VII 28: *Μενέλᾳ δάμαρτα κομίσαι.* Py. III

56: ἔτραπεν καὶ κεῖνον — ἄνδρ᾽ ἐκ θανάτου κομίσαι ἤδη ἁλωκότα. Ne. VIII 44: ὦ Μέγα, τὸ δ᾽ αὖτις τεὰν ψυχὰν κομίξαι οὔ μοι δυνατόν: sc. ab inferis. Py. IV 159: κέλεται γὰρ ἑὰν ψυχὰν κομίξαι Φρίξος ἐλθόντας πρὸς Αἰήτα θαλάμους: „intelligenda est ἀνάκλησις etiam alias Graecis adhibita, quum in penegrina terra aut in mari aliquis mortuus esset; vocabant ter animam, ut in patriam veniret, haec tunc comitabatur euntes, et post reditum cenotaphium exstructum, circa quod postea anima versari credebatur, ut sunt manes cum sepulcris coniuncti, licet in Orco morantes" Dissen. praes. de conatu Ol. XIII 59: τοὶ μὲν γένει φίλῳ σὺν Ἀτρέος Ἑλέναν κομίζοντες, οἱ δ᾽ ἀπὸ πάμπαν εἴργοντες (Bergk. c. Heckero κομίξοντες): repetentes; in quibus fuit Euchenor, Polyidi vatis filius, cf. Hom. Il. XIII 663. Py. IV 106: ἱκόμαν οἴκαδ᾽ ἀρχαίαν κομίζων πατρὸς ἐμοῦ — τιμάν (var. καινίζων, Bergk. sec. Chaeridem ἀρχὰν ἀγκομίξων). Ne. II 19: ἐξ ἀέθλων νίκας ἐκόμιξαν: reportarunt.

κομπέω *iacto* Py. X 2: τί κομπέω παρὰ καιρόν; (Mommsen. τί; κομπέω π. κ.; Bergk. τί κομπέω; κατὰ καιρὸν . . .).

κόμπος *praedicatio* Ne. VIII 49: χαίρω δὲ πρόσφορον ἐν μὲν ἔργῳ κόμπον ἱείς. Is. I 43: χρή νιν εὑρόντεσσιν ἀγάνορα κόμπον μὴ φθονεραῖσι φέρειν γνώμαις. IV (V) 24: μὴ φθόνει κόμπον τὸν ἐοικότ᾽ ἀοιδᾷ κιρνάμεν ἀντὶ πόνων.

κόνιος *pulverulentus* Ne. IX 43: ἐν κονίᾳ χέρσῳ.

κόνις *pulvis*, de terra tegente mortuos Ol. VIII 79: κατακρύπτει δ᾽ οὐ κόνις συγγόνων κεδνὰν χάριν.

κόρα, κούρα (sg. κούρα, -ας, -ᾳ; κόρᾳ, κούραν, κόραν. pl. κοῦραι, κόραι, -ᾶν, -αισι, κούραις) 1) *virgo, puella* Ol. XIII 65: κούρα — Παλλάς. Ne. VII 96: κόραν τε γλαυκώπιδα: Minervam. Py. IX 43: κούρας δ᾽ ὁπόθεν γενεὰν ἐξερωτᾷς: Cyrenae. Py. IX 106: μετὰ καλλίκομον — ἀγακλέα κούραν (var. κοῦραν): Baccam s. Alceidem. Py. XI 33: μάντιν τ᾽ ὄλεσσε κόραν: Cassandram. Py. III 39: τείχει θέσαν ἐν ξυλίνῳ σύγγονοι κούραν: Coronidem mortuam. Py. III 78: Ματρί, τὰν κοῦραι παρ᾽ ἐμὸν πρόθυρον σὺν Πανὶ μέλπονται θαμὰ σεμνὰν θεὸν ἐννύχιαι: virgines Thebanae, inter quas Pindari filiae Eumetis et Protomache. fr. 122 (87), 15: φορβάδων κορᾶν ἀγέλαν ἑκατόγγυιον (var. κόραν, Boeckh. κουρᾶν): meretricularum Corinthiae Veneris ἱεροδούλων. — 2) *filia* Ol. IX 56: κείνων δ᾽ ἔσσαν χαλκάσπιδες ὑμέτεροι πρόγονοι, ἀρχᾶθεν Ἰαπετιονίδος φύτλας κοῦροι κορᾶν καὶ φερτάτων Κρονιδᾶν: „Iapetioniden von Anfang an, nämlich von Seiten der Töchter d. h. in weiblicher Linie" Mezger., ubi plur. κορᾶν est pro sing., dicitur enim Protogenia altera, Deucalionis et Pyrrhae filia, ut Κρονιδᾶν significat Iovem. Ol. VII 43: πατρί τε θυμὸν ἰάναιεν κόρᾳ τ᾽ ἐγχειβρόμῳ: Minervae. Py. IX 117: οὕτω δ᾽ ἐδίδου Λίβυς ἁρμόζων κόρᾳ νυμφίον ἄνδρα: Baccae s. Alceidi. Ne. X 1: Δαναοῦ πόλιν ἀγλαοθρόνων τε πεντήκοντα κορᾶν. add. gen. Py. IX 13: κούρᾳ θ᾽ Ὑψέος: Cyrenae. Py. IV 14: Ἐπάφοιο κόραν: Libyam, coniuncta deae et terrae notione. Py. IV 103: Κενταύρου με κοῦραι θρέψαν ἁγναί (var. κόραι). Ol. II 25 (23): εὐθρόνοις Κάδμοιο κούραις. Py. XI 1: Κάδμου κόραι, Σεμέλα μὲν — Ἰνὼ δέ. XI 19: Δαρδανίδα κόραν Πριάμου Κασσάνδραν. Ol. II 32 (29): μετὰ κόραισι Νηρῆος ἁλίαις. Is. V (VI) 74: βαθύζωνοι κόραι — Μναμοσύνας: Musae. Ol. X 96: κόραι Πιερίδες Διός.

κόραξ *corvus* Ol. II 96 (87): σοφὸς ὁ πολλὰ εἰδὼς φυᾷ· μαθόντες δὲ λάβροι παγγλωσσίᾳ κόρακες ὣς ἄκραντα γαρύετον Διὸς πρὸς ὄρνιχα θεῖον: malos irrideri poetas, non, ut plerique cum scholiis interpretantur, Simonidem et Bacchylidem recte monet de Iongh.

Κορίνθιος *Corinthius* Ne. IV 88: θάλησε Κορινθίοις σελίνοις: ἐν τῷ τοῦ Ποσειδῶνος ἀγῶνι τῷ Ἰσθμικῷ ἐστέφθη παρὰ τῶν Κορινθίων Καλλικλῆς. Schol. Corinthii autem praesides erant Isthmiorum. Ne. II 20: Κορινθίων ὑπὸ φωτῶν ἐν ἐσλοῦ Πέλοπος πτυχαῖς ὀκτὼ στεφάνοις ἔμιχθεν ἤδη.

Κόρινθος (Κόρινθος, -ου, -ῳ, -ον) *Corinthus* 1) urbs Ol. XIII 4: γνώσομαι τὰν ὀλβίαν Κόρινθον, Ἰσθμίου πρόθυρον Ποτειδᾶνος, ἀγλαόκουρον. Is. III 38 (IV 20): ὁ κινητὴρ δὲ γᾶς

Ὀγχηστὸν οἰκέων καὶ γέφυραν ποντιάδα πρὸ Κορίνθου τειχέων. Ol. VIII 52: Κορίνθου δειράδ' ἐποψόμενος δαιτικλυτάν: v. δαίς. fr. 122 (87), 2: ἐν ἀφνειῷ Κορίνθῳ. Ol. XIII 52: οὐ ψεύσομ' ἀμφὶ Κορίνθῳ Σίσυφον — καὶ — Μήδειαν. de Isthmiis Ol. IX 86: ἄλλαι δὲ δύ' ἐν Κορίνθου πύλαις ἐγένοντ' ἔπειτα χάρμαι. Ne. X 42: Κορίνθου τ' ἐν μυχοῖς (θάλησαν νικαφορίαις). — 2) Iovis filius, heros Ne. VII 105: ταὐτὰ δὲ τρὶς τετράκι τ' ἀμπολεῖν ἀπορία τελέθει, τέκνοισιν ἅτε μαψυλάκας, Διὸς Κόρινθος: παροιμία ἐστὶν ἐπὶ τῶν τὰ αὐτὰ λεγόντων. Schol. „Megara, colonia olim Corinthiorum, — impatiens iugi Bacchiadarum defectionem ausa est et proelio se liberavit, remissis cum contemtu legatis Corinthiorum, qui Iovis filium Corinthum identidem repetebant poenas sumturum" Dissen. sec schol.

κόρος (κόρος, -ου, -ῳ, -ον) *satietas*, met. 1) fastidium Ne. VII 52: κόρον δ' ἔχει καὶ μέλι καὶ τὰ τέρπν' ἄνθε' Ἀφροδίσια. X 20: ἔστι δὲ καὶ κόρος ἀνθρώπων βαρὺς ἀντιάσαι. Py. VIII 32: εἰμὶ δ' ἄσχολος ἀναθέμεν πᾶσαν μακραγορίαν λύρᾳ τε καὶ φθέγματι μαλθακῷ, μὴ κόρος ἐλθὼν κνίσῃ. I 82: ἀπὸ γὰρ κόρος ἀμβλύνει αἰανὴς ταχείας ἐλπίδας. Ol. XIII 10: ἐθέλοντι δ' (sc. Ὧραι) ἀλέξειν ὕβριν, κόρου ματέρα θρασύμυθον (Boeckh. et Bergk. Ὕβριν, Κόρου). — 2) fastus, superbia, insolentia Ol. I 57 (56): καταπέψαι μέγαν ὄλβον οὐκ ἐδυνάσθη, κόρῳ δ' ἕλεν ἄταν ὑπέροπλον. II 105 (95): ἀλλ' αἶνον ἐπέβα κόρος οὐ δίκᾳ συναντόμενος: ἡ ὕβρις μετὰ ἀδικίας. . . . Κάπυς καὶ Ἱπποκράτης Θήρωνος ἦσαν ἀνεψιοί. οὗτοι πολλὰ ὑπ' αὐτοῦ εὐεργετηθέντες, ὡς ἑώρων ηὐξημένην αὐτοῦ τὴν τυραννίδα, φθονοῦντες πόλεμον ἤραντο πρὸς αὐτόν. ὁ δὲ συμβαλὼν αὐτοῖς παρὰ Ἱμέραν ἐνίκησεν. Schol. Is. III 2: κατέχει φρασὶν αἰανῆ κόρον. Ne. I 65: καί τινα σὺν πλαγίῳ ἀνδρῶν κόρῳ στείχοντα τῷ ἐχθροτάτῳ φᾶσέ νιν δώσειν μόρῳ (Bergk. κεῖ τινα . . . κυροῖ).

κορύσσω *armo*, *instruo*, met. Py. VIII 75: βίον κορυσσέμεν (var. κηρυσσέμεν) ὀρθοβούλοισι μαχαναῖς: h. e. „firmare adversus mala et pericula" Dissen. Is. VII 54 (VIII 58): ταί νιν ῥύοντό ποτε μάχας ἐναριμβρότου ἔργον ἐν πεδίῳ κορύσσοντα (var. κορύσσοντε): exercentem, administrantem.

κορυφά (sg. κορυφάν. pl. κορυφαί, -αῖς, -άς) *vertex*, *fastigium* montis Py. I 27: Αἴτνας ἐν μελαμφύλλοις δέδεται κορυφαῖς καὶ πέδῳ. urbium Ne. I 15: Σικελίαν πίειραν ὀρθώσειν κορυφαῖς πολίων ἀφνεαῖς: quum urbes Siciliae pleraeque sitae essent in rupibus; Dissenius vero intellegit „eximias urbes". — personae: caput Ol. VII 36: πατέρος Ἀθαναία κορυφὰν κατ' ἄκραν ἀνορούσαισ' ἀλάλαξεν. — — met. fastigium, apex, summa Ol. VII 4: φιάλαν — πάγχρυσον, κορυφὰν κτεάνων: τὸ κεφάλαιον καὶ ἄκρον. Schol. Ol. II 14 (13): ἕδος Ὀλύμπου νέμων ἀέθλων τε κορυφάν: Ὀλυμπιακὸν ἀγῶνα, καθὰ ἐξέχει τῶν ἄλλων ἀγώνων. Schol. Ne. IX 9: ἀνὰ δ' αὐλὸν ἐπ' αὐτὰν ὄρσομεν ἱππίων ἀέθλων κορυφάν: „Pythiorum certamen dicit paulo magnificentius, quum Chromii currus ibi certasset" Dissen. Ne. X 32: ὅστις ἁμιλλᾶται περὶ ἐσχάτων ἀέθλων κορυφαῖς: h. e. de summis praemiis. Ol. I 13: δρέπων μὲν κορυφὰς ἀρετᾶν ἄπο πασᾶν: „principes omnium virtutum s. decora summa" Dissen.; aliter Friesius et Mezger.: „omnium virtutum apices v. flores decerpens h. e. in omnibus virtutibus excellens." Ne. I 34: Ἡρακλέος ἀντέχομαι προφρόνως ἐν κορυφαῖς ἀρετᾶν μεγάλαις: „ubi magnas et singulares virtutes video, quales nunc sunt Chromii" Dissen. Ol. VII 68: τελεύταθεν δὲ λόγων κορυφαὶ ἐν ἀλαθείᾳ πετοῖσαι: „verborum s. iurisiurandi summa" Dissen. „worin die Rede gipfelte" Mezger. Py. III 80: εἰ δὲ λόγων συνέμεν κορυφάν, Ἱέρων, ὀρθὰν ἐπίστᾳ: „interiorem sensum fabularum, altiora quae insunt ethica et religiosa" Dissen. „praeclaram doctrinam, λόγους κορυφαίους" Boeckh. Py. IX 79: ὁ δὲ καιρὸς ὁμοίως παντὸς ἔχει κορυφάν: summum tenet locum, caput est.

κορυφόω *attollo in altitudinem*, met. Ol. I 116 (113): ἐπ' ἄλλοισι δ' ἄλλοι μεγάλοι· τὸ δ' ἔσχατον κορυφοῦται βασιλεῦσι: τὸ τελευταῖον καὶ τὸ πλῆρες, οὗπερ οὐκ ἔστιν ὑπερβολὴν τοῖς ἀνθρώποις εὑρεῖν, κορυφοῦται καὶ ὑψοῦται καὶ ἔστι τοῖς βασιλεῦσιν. Schol.

Κορωνίς *Coronis*, Phlegyae filia, amata ab Apolline, ex quo parit Ae-

sculapium Py. III 25: ἔσχε τοιαύταν μεγάλαν ἀνάταν καλλιπέπλου λῆμα Κορωνίδος.

κοσμέω 1) *adorno, exstruo* Ne. I 22: ἔνθα μοι ἁρμόδιον δεῖπνον κεκόσμηται. — 2) *orno* Py. IX 118: ποτὶ γραμμᾷ μὲν αὐτὰν στᾶσε κοσμήσαις. Is. I 19: τριπόδεσσιν ἐκόσμησαν δόμον. met. Ne. VI 53 (46): πλατεῖαι πάντοθεν λογίοισιν ἐντὶ πρόσοδοι νᾶσον εὐκλέα τάνδε κοσμεῖν.

κόσμος (sg. κόσμῳ, -ον) *ornamentum, decus* Ol. III 13: ἀμφὶ κόμαισι βάλῃ γλαυκόχροα κόσμον ἐλαίας. Py. II 10: ἐπὶ γὰρ ἰοχέαιρα παρθένος — αἰγλάεντα τίθησι κόσμον: „equorum ornamenta, quales phalerae sunt" Boeckh. — met. de cantu Ol. XI 13: κόσμον ἐπὶ στεφάνῳ χρυσέας ἐλαίας ἁδυμελῆ κελαδήσω (Bergk. κῶμον). fr. 194 (206): τειχίζωμεν ἤδη ποικίλων κόσμον αὐδάεντα λόγων. de victoria Ol. VIII 83: ἐνέποι κεν Καλλιμάχῳ λιπαρὸν κόσμον Ὀλυμπίᾳ. de quovis laudis atque honoris ornamento Is. V (VI) 69: ξυνὸν ἄστει κόσμον ἑῷ προσάγων. Ne. II 8: εἴπερ — νιν εὐθυπομπὸς αἰὼν ταῖς μεγάλαις δέδωκε κόσμον Ἀθάναις. materiam laudum dicit Ne. III 31: ποτίφορον δὲ κόσμον ἔλαβες, γλυκύ τι γαρυέμεν. — dat. pro adv. Py. III 82: τὰ μὲν ὦν οὐ δύναιται νήπιοι κόσμῳ φέρειν: decenter; κοσμίως καὶ ἀνθρωπίνως. Schol.

κότος *ira* Py. VIII 9: ὁπόταν τις ἀμείλιχον καρδίᾳ κότον ἐνελάσῃ.

κόττᾰβος *cottabus* fr. 128 (90): Χαριτάς τ' Ἀφροδισίων ἐρώτων, ὄφρα σὺν Χιμάρῳ μεθύων Ἀγάθωνί τε καλῷ κότταβον: „cottabus amatis praebebatur" Boeckh.

κουλεός v. ***κολεός.***

κούρα v. ***κόρα.***

κοῦρος 1) *puer* Ol. VI 41: τίκτε θεόφρονα κοῦρον: Iamum. — 2) *filius* Ol. IX 56: ἀρχᾶθεν Ἰαπετιονίδος φύτλας κοῦροι κορᾶν καὶ φερτάτων Κρονιδᾶν.

κουρŏτρόφος *iuventutis nutrix* fr. 109 (228): στάσιν ἀπὸ πραπίδος ἐπίκοτον ἀνελών, πενίας δότειραν, ἐχθρὰν κουροτρόφον: „quoniam evertens fortunam familiarum non robustam alit civitati iuventutem, sed invalidam egestate" Dissen.

κοῦφος (sg. f. κούφα, -ᾳ, -αν. pl. m. κούφοισιν, κούφοις. n. κοῦφα. comp. κουφότεραι) *levis* 1) de membris corporis nullo negotio motis Py. IX 11: Ἀφροδίτα — ὀχέων ἐφαπτομένα χερὶ κούφᾳ: „um die Anmut auszudrücken" Mezger.; activam vim habere adi. pro κουφιζούσῃ dictum existimat Dissen. Ne. VIII 19: ἵσταμαι δὴ ποσσὶ κούφοις ἀμπνέων τε πρίν τι φάμεν: h. e. paratus ad currendum. Ol. XIII 114: ἄνα, κούφοισιν ἐκνεῦσαι ποσίν: „translatione ab argumento carminis, a cursu, petita, quo Xenophontis praestabat familia" Boeckh. neutr. pro adv. Ol. XIV 17: ἰδοῖσα τόνδε κῶμον ἐπ' εὐμενεῖ τύχᾳ κοῦφα βιβῶντα: h. e. „alacri motu incedentem, laete saltantem" Dissen. — 2) exiguus, nullius momenti Is. I 45: κούφα δόσις ἀνδρὶ σοφῷ ἀντὶ μόχθων παντοδαπῶν ἔπος εἰπόντ' ἀγαθὸν ξυνὸν ὀρθῶσαι καλόν: ῥαδία καὶ ἀνεπαχθής. Schol. Ol. XIII 83: τελεῖ θεῶν δύναμις καὶ τὰν παρ' ὅρκον καὶ παρὰ ἐλπίδα κούφαν κτίσιν: οἷον εὐχερές. Schol. — 3) inanis, temerarius Ol. VIII 61: κουφότεραι γὰρ ἀπειράτων φρένες: „leichtfertig, luftig" Mezger.

κρᾱγέτας *clamosus* Ne. III 82: κραγέται δὲ κολοιοὶ ταπεινὰ νέμονται: „nescio an κραυγέται sit corrigendum, quemadmodum κραυγή dicitur" Bergk.

κραδία v. ***καρδία.***

κραίνω (brevis vocalis antecedens semel non producitur Py. IV 175) *exsequor, perficio* Ol. III 11: ᾧτινι κραίνων ἐφετμὰς Ἡρακλέος προτέρας ἀτρεκὴς Ἑλλανοδίκας — ἀμφὶ κόμαισι βάλῃ γλαυκόχροα κόσμον ἐλαίας. VI 81: κεῖνος (Mercurius) — σὺν βαρυγδούπῳ πατρὶ κραίνει σέθεν εὐτυχίαν. Py. IX 66: ἔντυεν τερπνὰν γάμου κραίνειν τελευτάν. IV 175: τῶν μὲν κλέος ἐσλὸν Εὐφάμου τ' ἐκράνθη σόν τε, Περικλύμεν' εὐρυβία: „consummata est et perfecta hac expeditione" Dissen.

κραιπνός *rapidus, vehemens, velox* Py. IV 90: Τιτυὸν βέλος Ἀρτέμιδος θήρευσε κραιπνόν (var. τερπνόν). IV 209: κυλινδέσκοντό τε (πέτραι) κραιπνότεραι ἢ βαρυγδούπων ἀνέμων στίχες (var. κραιπνότερον). fr. 133 (98), 4: σθένει κραιπνοί: robore prompti.

κρᾱνα (brevis vocalis antecedens semel producitur Py. III 69) *fons* Py. I

39: Παρνασοῦ τε κράναν Κασταλίαν φιλέων. III 69: Ἀρέθουσαν ἐπὶ κράναν. IV 125: Φέρης κράναν Ὑπερῇδα λιπών. IV 294: ἐπ' Ἀπόλλωνός τε κράνᾳ συμποσίας ἐφέπων (var. κυράνᾳ): „quae Cyre dicta, unde urbis Cyrenarum nomen, cuius antiquior pars circa hunc fontem sita erat" Dissen.

κρᾰνᾰός *asper*, *saxosus* Is. I 4: μή μοι κραναὰ νεμεσάσαι Δᾶλος. Ne. VIII 11: οἵ τε κρανααῖς ἐν Ἀθάναισιν ἅρμοζον στρατόν. cf. Ol. VII 82. XIII 38.

κρᾱνίον *cranium*, *calva* Is. III 72 (IV 54): ἦλθ' ἀνὴρ τὰν πυροφόρον Λιβύαν, κρανίοις ὄφρα ξένων ναὸν Ποσειδάωνος ἐρέφοντα (sc. Antaeum) σχέθοι, υἱὸς Ἀλκμήνας.

(κράς) *caput* animantium Py. I 8: ἐπί οἱ νεφέλαν ἀγκύλῳ κρᾶτὶ — κατέχευας: sermo est de aquila. Py. XII 16: εὐπαράου κρᾶτα συλάσαις Μεδοίσας υἱὸς Δανάας. fr. 8 (3): ἐμφαίνει Πίνδαρος ἐν Ἰσθμιονίκαις εἰπὼν τρία κρᾶτα ἤτοι κράατα (Eustath. Od. μ p. 1715, 63).

κρᾰταιός *validus* Ne. IV 25: κραταιὸς Τελαμών (E. Schmid., libri καρτερός). Py. VI 34: ἔφεπεν κραταιὸν ἔγχος. met. Py. II 81: ἀδύνατα δ' ἔπος ἐκβαλεῖν κραταιὸν ἐν ἀγαθοῖς δόλιον ἀστόν: „quod vim habeat" Dissen.

κρατερός v. **καρτερός.**

κρᾰτέω (praes. κρατεῖ. κρατεῖν. κρατέων, -έοντα. ipf. ἐκράτει, κράτει, κράτεσκε. aor. ἐκράτησε, κράτησεν, -αν. κρατήσαις. brevis vocalis antecedens ter producitur, ter non producitur) 1) *dominor* Ne. IV 50: Θέτις δὲ κρατεῖ Φθίᾳ. — 2) *superior sum*, *supero*, *vinco*, de victoriis ludicris Ne. VI 40 (35): ἐν ἀγαθέᾳ χεῖρας ἱμάντι δεθεὶς Πυθῶνι κράτησεν. Is. III 13: ἱπποδρομίᾳ κρατέων. Ne. III 52: ποσσὶ γὰρ κράτεσκε (var. κρατέεσκε). Py. X 23: χερσὶν ἢ ποδῶν ἀρετᾷ κρατήσαις. Ol. X 100: τὸν εἶδον κρατέοντα χερὸς ἀλκᾷ. Ol. VIII 20: ἐξένεπε κρατέων πάλᾳ δολιχήρετμον Αἴγιναν πάτραν. Py. II 5: τετραορίας ἐλελίχθονος, εὐάρματος Ἱέρων ἐν ᾇ κρατέων τηλαυγέσιν ἀνέδησεν Ὀρτυγίαν στεφάνοις. Ol. IX 84: ἀμφότεροι κράτησαν μίαν ἔργον (var. ἔργου) ἀν' ἁμέραν. c. acc. pers. Ne. V 45: ἅλικας δ' ἐλθόντας οἴκοι τ' ἐκράτει Νίσου τ' ἐν εὐαγκεῖ λόφῳ (Beck., libri τε κρατεῖ v. κράτει, Kayser. τ' ἐκράτεις): sc. Pytheas. Ne. X 25: ἐκράτησε δὲ καί ποθ' Ἕλλανα στρατὸν Πυθῶνι. — met. c. acc. Py. IV 245: πάχει μάκει τε πεντηκόντορον ναῦν κράτει (sc. δράκων). c. gen. Ol. VII 51: αὐτὰ δέ σφισιν ὤπασε τέχναν πᾶσαν ἐπιχθονίων Γλαυκῶπις ἀριστοπόνοις χερσὶ κρατεῖν. fr. 279 (249): τὰ δεύτερα τῶν προτέρων πεφυκέναι κρατεῖν, ὡς ἔφη Πίνδαρος (Liban. Or. I 432 ed. Reisk.).

κρᾱτήρ *crater* Ne. IX 49: θαρσαλέα δὲ παρὰ κρατῆρα φωνὰ γίνεται (Tricl. κρητῆρα, schol. κρητῆρι)· ἐγκιρνάτω τίς νιν, γλυκὺν κώμου προφάταν. met. de hymno Is. V (VI) 2: θάλλοντος ἀνδρῶν ὡς ὅτε συμποσίου δεύτερον κρατῆρα Μοισαίων μελέων κίρναμεν. de homine Ol. VI 91: ἐσσὶ γὰρ ἄγγελος ὀρθός, ἠυκόμων σκυτάλα Μοισᾶν, γλυκὺς κρατὴρ ἀγαφθέγκτων ἀοιδᾶν (var. κρητὴρ): „ut vinum in cratere temperatur, sic Aeneas carmina modis musicis admiscendis temperare debet, ut suavis potus sit" Dissen.

κρᾰτησιβίας fr. 16: κρατησιβίαν χερσὶ τὸν ῥωμαλέον (Eust. Pr. 16).

κρατησίμαχος *pugna vincens*, *invictus* Py. IX 86: τέκε — Ἀλκμήνα διδύμων κρατησίμαχον σθένος υἱῶν.

κρατησίπους *pedibus victor* Py. X 16: θῆκεν δὲ καὶ βαθυλείμων' ὑπὸ Κίρρας ἀγὼν πέτραν κρατησίποδα Φρικίαν. fr. 13: ἵππον κρατησίποδα, τὸν δρόμῳ νικήσαντα (Eust. Pr. 16).

κρατήσιππος *equis victor* Ne. IX 4: τὸ κρατήσιππον γὰρ ἐς ἅρμ' ἀναβαίνων.

κρατιστεύω *praevaleo* fr. 180 (172): κέντρον δὲ μάχας ὁ κρατιστεύων λόγος: „quum quis plus loquitur ceteris et maiore voce, ut molestus fiat" Dissen.

κράτιστος v. **κρέσσων.**

κράτος (κράτει, -ος. brevis vocalis antecedens semel producitur Is. VII 5) 1) *potentia* Ol. VI 96: Ζηνὸς Αἰτναίου κράτος. Ne. IV 68: δῶρα καὶ κράτος ἐξέφαναν ἐγγενὲς αὐτῷ: „die seinem (des Peleus) Geschlecht innewohnende Macht" Mezger. Ol. X 82: ἐν ἅπαντι κράτει αἴθωνα κεραυνὸν ἀραρότα: „summae potentiae iniunctum h. e. cum summa potentia coniunctum" Friese. malo sensu Py. VIII 11: δυσμενέων ὑπαντιάξαισα κράτει:

violentiae. — 2) *principatus, victoria* Is. VII (VIII) 5: *ἀέθλων ὅτι κράτος ἐξεῦρε.* Ol. I 23 (22): *κράτει δὲ προσέμιξε δεσπόταν.* I 80 (78): *κράτει δὲ πέλασον* (sc. *ἐμέ*).

κρέας *caro*, pl. *carnes*, Fleischstücke Ol. I 51 (50): *τραπέζαισί τ' ἀμφὶ δεύτατᾰ κρεῶν σέθεν διεδάσαντο καὶ φάγον*: sermo est de Pelope, quem vicini dixerunt in convivio coctum et a deis comesum; est autem *κρεῶν* gen. partitivus pendens a v. *διεδάσαντο.* Ne. VII 42: *ἵνᾰ κρεῶν νιν ὕπερ μάχας ἔλασεν ἀντιτυχόντ' ἀνὴρ μαχαίρᾳ*: *φασὶ τοῦ Νεοπτολέμου θύοντος τοὺς Δελφοὺς ἁρπάζειν τὰ θύματα, ὡς ἔθος αὐτοῖς· τὸν δὲ Νεοπτόλεμον δυσανασχέτως ἔχοντα διακωλύειν· αὐτοὺς δὲ διαχρήσασθαι αὐτὸν ξίφη ἔχοντας.* Schol.

Κρείοισα *Creusa* nympha Py. IX 16: *ὃν* (Hypseum) *ποτε — Ναῒς εὐφρανθεῖσα Πηνειοῦ λέχει Κρείοισ' ἔτικτεν, Γαίας θυγάτηρ* (var. *Κρέοισ'*).

Κρειοντίς *Creontis filia* Is. III 82 (IV 64): *τοὺς Μεγάρα τέκε οἱ* (Herculi) *Κρειοντὶς υἱούς* (Schmid., libri *Κρεοντὶς*).

κρεμάννυμι 1) Act. *suspendo* Py. IV 192: *ἐμβόλου κρέμασαν ἀγκύρας ὕπερθεν.* (de Ol. I 57 v. *ὑπέρ*) — 2) Med. *pendeo*, de donis dedicatis Py. V 34: *ἀλλᾰ κρέμαται, ὁπόσα χεριαρᾶν τεκτόνων δαίδαλ' ἄγων Κρισαῖον λόφον ἄμειψεν ἐν κοιλόπεδον νάπος θεοῦ*, ubi Bergkius post *ἄμειψεν* stigme posita et gen. *θεοῦ* in dativum mutato verba *ἐν κοιλόπεδον νάπος θεῷ* ad *κρέμαται* refert. — met. Ol. VII 25: *ἀμφὶ δ' ἀνθρώπων φρασὶν ἀμπλακίαι ἀναρίθμητοι κρέμανται.* VI 74: *μῶμος ἐξ ἄλλων κρέμαται φθονεόντων τοῖς, οἷς κτλ.*: impendet; *ἀντὶ τοῦ ἐπιφέρεται.* Schol.

Κρεοντίδας *Creontidas* Aegineta e gente Bassidarum, pugil nobilis, qui in Nemeis et Isthmiis vicerat Ne. VI 45 (40): *πόντου τε γέφυρ' ἀκάμαντος ἐν ἀμφικτιόνων ταυροφόνῳ τριετηρίδῐ Κρεοντίδαν τίμασε Ποσειδάνιον ἂν τέμενος*: „*Κρευντίδαν* est pronuntiandum vel *Κροντίδαν*, cf. Hesych. *Κροντίδαι, μάντεων γένος*“ Bergk.

κρέσσων, κρᾰτιστος (comp. sg. m. *κρέσσων, κρέσσον(α).* f. *κρέσσονα.* n. *κρέσσον.* pl. m. *κρέσσονες, -όνων.* f. *κρέσσονας.* n. *κρεσσόνων.* superl. sg. m. *κρατίστου, -ον.* n. *κράτιστον.* pl. m. *κράτιστοι.* brevis vocalis antecedens non producitur) I) Comp. 1) *fortior, potentior* Is. III 52 (IV 34): *καὶ κρέσσον' ἀνδρῶν χειρόνων ἔσφαλε τέχνα καταμάρψαισ'.* Ne. IX 15: *κρέσσων δὲ καππαύει δίκαν τὰν πρόσθεν ἀνήρ*: *ὁ ἰσχυρὸς ἀνήρ.* Schol. c. gen. Is. VII 34 (VIII 36): *κεραυνοῦ τε κρέσσον ἄλλο βέλος διώξει χερί.* sine subst. Ol. X 39: *νεῖκος δὲ κρεσσόνων ἀποθέσθ' ἄπορον.* Ne. X 72: *χαλεπὰ δ' ἔρις ἀνθρώποις ὁμιλεῖν κρεσσόνων*: h. e. deorum. — *superior, maior*, c. gen. Ne. IX 32: *κτεάνων ψυχὰς ἔχοντες κρέσσονας.* Py. VIII 92: *ἔχων κρέσσονα πλούτου μέριμναν*: „h. e. non parcentem divitiis, posthabentem eas gloriae et erogantem in laudes ludicras“ Dissen. et Boeckh. Py. V 109: *κρέσσονα μὲν ἁλικίας νόον φέρβεται γλῶσσάν τε*: *ὑπὲρ τὴν ἡλικίαν δὲ τὸν νοῦν ἔχει καὶ τὴν φρόνησιν.* Schol. sine gen. Ol. II 26 (24): *πένθος δ' ἔπιτνεν βαρὺ κρεσσόνων πρὸς ἀγαθῶν.* — 2) *melior* Ne. III 30: *οὐδ' ἀλλοτρίων ἔρωτες ἀνδρὶ φέρειν κρέσσονες.* c. gen. Py. I 85: *κρέσσων γὰρ οἰκτιρμοῦ φθόνος.* — II) Superl. 1) *fortissimus, potentissimus* Ol. XIV 14: *θεῶν κρατίστου παῖδες*: Iovis. Ne. VII 27: *ὃν κράτιστον Ἀχιλέος ἄτερ μάχᾳ*: Aiacem. — 2) *praestantissimus, optimus* Is. I 17: *κεῖνοι γὰρ ἡρώων διφρηλάται Λακεδαίμονι καὶ Θήβαις ἐτέκνωθεν κράτιστοι.* Py. XI 59: *γενεᾶ εὐώνυμον, κτεάνων κράτιστον, χάριν πορών* (Bergk., libri *κρατίσταν*). Ol. IX 100: *τὸ δὲ φυᾶ κράτιστον ἅπαν.*

κρέων *rex* Py. VIII 99: *κρέοντι σὺν Αἰακῷ.* Ne. V 12: *βία Φώκου κρέοντος.* VII 45: *Αἰακιδᾶν κρεόντων.* c. gen. Ne. III 10: *ἄρχε δ', οὐρανοῦ πολυνεφέλα κρέοντι θύγατερ, δόκιμον ὕμνον* (libri *οὐρανῷ* v. *οὐρανῷ*, Bergk. *Οὐρανοῖ, πολυνεφέλα*): Iovi.

Κρηθεΐδας *Crethides* h. e. Crethei filius Aeson Py. IV 152: *θρόνος, ᾧ ποτε Κρηθεΐδας ἐγκαθίζων ἱππόταις εὔθυνε λαοῖς δίκας.*

Κρηθεΐς *Cretheis* h. e. Crethei filia Ne. V 26: *ἁβρὰ Κρηθεῒς Ἱππολύτα* (Heynius, libri *Κρηθηὶς*).

Κρηθεύς *Cretheus*, Aeoli et Enareae filius Py. IV 142: *μία βοῦς Κρηθεῖ τε μάτηρ καὶ θρασυμήδεϊ Σαλμωνεῖ.*

κρήμνημι *suspendo* Py. IV 25: *ἀνίκ' ἄγκυραν ποτὶ χαλκόγενυν ναΐ κρημνάντων ἐπέτοσσε*, ubi *ποτικρημνάντων* iunctim intellegit Boeckh.

κρημνός *praecipitium, praerupta ripa* fr. 201 (215): *πὰρ κρημνὸν θαλάσσας.* Py. III 34: *παρὰ Βοιβιάδος κρημνοῖσιν ᾤκει.* Ol. III 22: *ἐπὶ κρημνοῖς Ἀλφεοῦ.*

κρηπίς *fundamentum* fr. 101 (70): *βαλλόμενος κρηπῖδας ἀλσέων.* — met. fr. 194 (206): *κεκρότηται χρυσέα κρηπὶς ἱεραῖσιν ἀοιδαῖς*: h. e. „initium, dictione ab aedibus magnifice exstructis translata; designatur autem hac voce non fundamentum sub solo latens, sed graduum moles, quibus reliquum aedificium superstructum est" Boeckh. c. gen. fr. 77 (196): *ὅθι παῖδες Ἀθαναίων ἐβάλοντο φαεννὰν κρηπῖδ' ἐλευθερίας.* Py. IV 138: *βάλλετο κρηπῖδα σοφῶν ἐπέων.* VII 3: *κρηπῖδ' ἀοιδᾶν ἵπποισι βαλέσθαι*: „fundamento quasi posito initium facere equorum canendorum" Boeckh.

Κρής *Cretensis* Py. V 41: *ἀμφ' ἀνδριάντι σχεδόν, Κρῆτες ὃν τοξοφόροι τέγεϊ Παρνασίῳ καθέσσανθ' ᾧ, μονόδροπον φυτόν.*

Κρηστωναῖος fr. 309 (212): Steph. Byz. v. *Κρήστων, πόλις Θρᾴκης . . . ὁ πολίτης Κρηστωναῖος παρὰ Πινδάρῳ*: „Meineke probabiliter coni. *Πεισάνδρῳ*" Bergk.

Κρήτα *Creta* insula fr. 154 (126): *ἐλαφρὰν κυπαρίσσινον φιλέειν, ἐᾶν δὲ νομὸν Κρήτας περιδαῖον*: „ibi haec arbor sponte nascebatur maxima et pulcherrima inprimisque Idae magnam partem cingebat" Dissen.

κρίνω (act. praes. *κρίνει.* aor. *ἔκρινας.* — pass. praes. *κρίνεται.* aor. *κρίθη, -εν. κριθείς.* perf. *κέκριται. κεκριμένᾱ, -ων*) *cerno* 1) secerno Py. IV 168: *σύνθεσιν ταύταν ἐπαινήσαντες οἱ μὲν κρίθεν*: h. e. *διεκρίθησαν*, discesserunt. Ne. VI 3: *διείργει δὲ πᾶσα κεκριμένα δύναμις*: diversa. — 2) decerno, iudico Is. IV (V) 11: *κρίνεται δ' ἀλκὰ διὰ δαίμονας ἀνδρῶν.* Py. VIII 84: *τοῖς οὔτε νόστος ὁμῶς ἔπαλπνος ἐν Πυθιάδι κρίθη* (Bergk. *ἐπ' ἀλπνὸς*): sc. „ab iudicibus" Mezger. et Dissen. „non ab iudicibus, sed opinor certamine, *κρίσει ἀέθλων*" Boeckh. Ol. II 33 (30): *ἤτοι βροτῶν γε κέκριται πεῖρας οὔ τι θανάτου*: non certum est. Ne. IV 1: *ἄριστος εὐφροσύνα πόνων κεκριμένων ἰατρός*: iudicatorum, peractorum; *κρίσιν λαβόντων καὶ συντελεσθέντων.* Schol. Ne. V 40: *πότμος δὲ κρίνει συγγενὴς ἔργων περὶ πάντων.* IX 35: *Χρομίῳ κεν ὑπασπίζων — ἔκρινας ἂν κίνδυνον ὀξείας ἀυτᾶς*: iudicavisses, cognovisses. c. dat. Ne. VII 7: *ἀρετᾷ κριθεὶς εὔδοξος ἀείδεται Σωγένης μετὰ πενταέθλοις*: virtuti destinatus, natus.

κριός *aries* Py. IV 161: *κέλεται γὰρ ἑὰν ψυχὰν κομίξαι Φρίξος ἐλθόντας πρὸς Αἰήτα θαλάμους δέρμα τε κριοῦ βαθύμαλλον ἄγειν, τῷ ποτ' ἐκ πόντου σαώθη ἔκ τε ματρυιᾶς ἀθέων βελέων.* IV 68: *τὸ πάγχρυσον νάκος κριοῦ.*

Κρίσα *Crisa*, urbs Phocensium haud procul a Delphis sita Is. II 18: *ἐν Κρίσᾳ δ' εὐρυσθενὴς εἶδ' Ἀπόλλων νιν πόρε τ' ἀγλαΐαν*: *τοῦτό φησιν ὡς τὰ Πύθια νενικηκότος αὐτοῦ* (sc. Xenocratis, cf. Py. VI). Schol.

Κρισαῖος *Crisaeus*, ad Crisam pertinens Py. VI 18: *εὔδοξον ἅρματι νίκαν Κρισαίαις ἐνὶ πτυχαῖς ἀπαγγελεῖ* (Mosch., libri *Κρισαίαισιν*). V 36: *τεκτόνων δαίδαλ' ἄγων Κρισαῖον λόφον ἄμειψεν ἐν κοιλόπεδον νάπος θεοῦ*: collis Crisaeus inter Crisam et hippodromum videtur fuisse. „Crisa est minimo supra Cirrham intervallo, Cirrham enim et Crisam geographorum plurimi distinguunt; Pausanias tamen non distinguit, nec Pindarus ipse" Boeckh. v. *Κίρρα.*

κρίσις (*κρίσις, -ιν.* brevis vocalis antecedens non producitur) 1) *contentio* Ol. VII 80: *μήλων τε κνισάεσσα πομπὰ καὶ κρίσις ἀμφ' ἀέθλοις.* Py. IV 253: *ἔνθα καὶ γυίων ἀέθλοις ἐπεδείξαντο κρίσιν ἐσθᾶτος ἀμφίς* (Boeckh. *ἐπεδείξαντ' ἀγῶν'*, Kayser. *ἐπεδείξαντο ϝῖν'*, quod recepit Christ.). Ol. III 21: *μεγάλων ἀέθλων ἁγνὰν κρίσιν.* Ne. X 23: *ποτὶ βουθυσίαν Ἥρας ἀέθλων τε κρίσιν.* — 2) *iudicium* fr. 131 (96), 5: *εὑδόντεσσιν ἐν πολλοῖς ὀνείροις δείκνυσι τερπνῶν ἐφέρποισαν χαλεπῶν τε κρίσιν.*

κριτός *selectus, egregius* Py. IV 50: *ἀλλοδαπᾶν κριτὸν εὑρήσει γυναικῶν ἐν λέχεσιν γένος.* Is. VII 65 (VIII 71): *τὸν μὲν οὐ κατελέγχει κριτοῦ γενεὰ πατραδελφεοῦ.*

Κροῖσος *Croesus,* rex Lydorum Py. I 94: *οὐ φθίνει Κροίσου φιλόφρων ἀρετά.*

κρόκα *laena* Ne. X 44: *ἐκ δὲ Πελλάνας* (sc. *ἀπέβαν*) *ἐπιεσσάμενοι νῶτον μαλακαῖσι κρόκαις: τίθεται δὲ παχέα ἱμάτια ἐν Πελλήνῃ ἄγναφα.* Schol. „dederunt Pellanenses quod habuere optimum, quia laenae apud ipsos pulcherrimae fabricatae sunt; ut Lemniae mulieres Argonautis certaminum praemium vestem proposuerunt (Py. IV 253), quippe quam mulieres conficiunt" Boeckh. ad. Ol. IX 104.

κρόκεος *croceus* Py. IV 232: *ἀπὸ κρόκεον ῥίψαις Ἰάσων εἷμα* (Bergk. c. var. *κροκόεν*).

κροκωτός *croceus* Ne. I 38: *κροκωτὸν σπάργανον ἐγκατέβα* (sc. *παῖς Διός*): „nam hic et purpureus color sunt regum et heroum" Dissen.

Κρονίδας (sg. *Κρονίδαο, -ᾱ, -ᾳ, -αν, -α.* plur. *Κρονιδᾶν, -αις, -αι.* brevis vocalis antecedens bis non producitur Py. II 25. V 118) *Saturnius* 1) sing. Saturni filius: Iuppiter Ol. VIII 43: *φάσμα λέγει Κρονίδα πεμφθὲν βαρυγδούπου Διός.* Is. II 23: *σπονδοφόροι Κρονίδα Ζηνός.* Py. IV 171: *Κρονίδαο Ζηνὸς υἱοί.* Ne. IV 9: *Κρονίδᾳ τε Δί.* I 72: *πὰρ Δὶ Κρονίδᾳ.* Py. VI 23: *μάλιστα μὲν Κρονίδαν, βαρυόπαν στεροπᾶν κεραυνῶν τε πρύτανιν, σέβεσθαι.* fr. 155 (127): *καρτερόβροντα Κρονίδα.* Nilus Py. IV 56: *Νείλοιο πρὸς πῖον τέμενος Κρονίδα: τὴν Λιβύην φησίν, τὸν δὲ Νεῖλον ἀντὶ τοῦ Διός φησιν, ἐπειδὴ παρὰ τοῖς Αἰγυπτίοις τιμᾶται ὡς θεός.* Schol. Chiron Py. IV 115: *Κρονίδᾳ δὲ τράφεν Χείρωνι δῶκαν.* Ne. III 47: *παρὰ Κρονίδαν Κένταυρον.* — 2) plur. Saturnii h. e. Superi Py. V 118: *Κρονίδαι μάκαρες.* Is. VII 45 (VIII 48): *ὣς φάτο Κρονίδαις ἐννέποισα θεά.* pro sing. Py. II 25: *εὐμενέσσι γὰρ παρὰ Κρονίδαις γλυκὺν ἑλὼν βίοτον:* „maxime Iovem significat Ixionis benefactorem, ita tamen ut familia eius et soror simul respiciantur, in quarum consortionem a Iove receptus Ixion erat" Boeckh. Ol. IX 56: *ἀρχᾶθεν Ἰαπετιονίδος φύτλας κοῦροι κορᾶν καὶ φερτάτων Κρονιδᾶν:* h. e. Iovis, cf. fr. 75 (45), 12.

Κρόνιος (m. *Κρονίου, -ίῳ, -ιον, -ιε.* n. *Κρονίου, -ιον.* brevis vocalis antecedens ubique producitur) 1) adi. *Saturnius* Ol. II 13 (12): *ὦ Κρόνιε παῖ Ῥέας:* Iuppiter. Ol. VI 29: *Ποσειδάωνι μιχθεῖσα Κρονίῳ* (var. *Κρονίωνι*). III 23: *ἐν βάσσαις Κρονίου Πέλοπος:* „Pelops enim a Saturno descendit per Tantali patris matrem Pluto et per Tantali patrem Iovem Saturnium; consulto autem h. l. additur epitheton propter cultum Saturni Olympicum" Dissen. Ol. V 17: *Ζεῦ Κρόνιόν τε ναίων λόφον τιμῶν τ' Ἀλφεόν.* IX 3: *Κρόνιον παρ' ὄχθον:* v. sequ. — 2) subst. **Κρόνιον** *Cronium, Saturnium,* mons v. collis Olympiae imminens, situs ad septentrionale latus Altis Ol. I 114 (111): *παρ' εὐδείελον ἐλθὼν Κρόνιον.* VI 64: *ἵκοντο δ' ὑψηλοῖο πέτραν ἀλίβατον Κρονίου.* Ne. VI 69 (61): *Κρονίου πὰρ τεμένει:* „Olympiae in sacro loco ad Cronium collem" Dissen.

Κρονίων (n. v. *Κρονίων.* paenultima bis producitur Py. I 71 et Ne. IX 19, quinquies brevis est; brevis vocalis antecedens semel non producitur Ne. IX 19) *Saturnius* h. e. Saturni filius Iuppiter Py. IV 23: *αἴσιον δ' ἐπί οἱ Κρονίων Ζεὺς πατὴρ ἔκλαγξε βροντάν.* Ne. X 76: *Πάτερ Κρονίων.* sine subst. Ne. IX 19: *οὐδὲ Κρονίων ἀστεροπὰν ἐλελίξαις οἴκοθεν μαργουμένους στείχειν ἐπώτρυν', ἀλλὰ φείσασθαι κελεύθου.* Py. III 57. Ne. I 16. voc. Py. I 71. Ne. IX 28.

Κρόνος (*Κρόνου.* brevis vocalis antecedens ter producitur, ter non producitur) *Saturnus,* Urani filius Py. III 4: *Οὐρανίδα γόνον εὐρυμέδοντα Κρόνου:* Chironem. Is. I 52: *Κρόνου σεισίχθον' υἱόν:* Iovem, cf. Ol. VII 67: *ἀλλὰ Κρόνου σὺν παιδὶ νεῦσαι.* I 10. IV 5 (7). Py. II 39: *θυγατέρι Κρόνου:* Iunoni. Py. III 94: *Κρόνου παῖδας βασιλῆας:* Superos. Ne. V 7: *ἐκ δὲ Κρόνου καὶ Ζηνὸς ἥρωας αἰχματὰς φυτευθέντας καὶ ἀπὸ χρυσεᾶν Νηρηίδων Αἰακίδας.* Ol. II 77 (70): *ἔτειλαν Διὸς ὁδὸν παρὰ Κρόνου τύρσιν:* „Saturnum, sub quo olim aurea aetas fuerat, beatorum insulis praeesse constat ex Hesiodo Op. et D. 170" Dissen. Ol. VIII 17: *Ἀλκιμέδοντα δὲ πὰρ Κρόνου λόφῳ θῆκεν Ὀλυμπιονίκαν:* dicitur Cronium, q. v.; cf. Ne. XI 25: *παρ' εὐδένδρῳ μολὼν*

ὄχθῳ Κρόνου. Ol. X 50: πάγον Κρόνου προσεφθέγξατο.

κρότᾰλον *crepitaculum* fr. 79 (48), 3: ἐν δὲ κεχλάδειν κρόταλ', αἰθομένα δὲ δᾲς ὑπὸ ξανθαῖσι πεύκαις (Bergk., vulgo κρόταλα): sermo est de sacris Magnae Matris.

κροτέω *denso pulsando* fr. 194 (206) κεκρότηται χρυσέα κρηπὶς ἱεραῖσιν ἀοιδαῖς: „iactum est" Boeckh.

κρουνός *fons, torrens* Ol. XIII 63: ἀμφὶ κρουνοῖς Πάγασον ζεῦξαι ποθέων: ἐπὶ τοῖς ῥεύμασι τῆς Πειρήνης. Schol. — met. de ignibus Py. I 25: κεῖνο δ' Ἁφαίστοιο κρουνοὺς ἑρπετὸν δεινοτάτους ἀναπέμπει.

κρύβδᾰ *clam* Py. IV 114: τοί μ' κρύβδα πέμπον σπαργάνοις ἐν πορφυρέοις (var. κρύβδαν).

κρύβδᾱν *clam*, c. gen. Py. III 13: αἴνησεν γάμον κρύβδαν πατρός (var. κρύβαν, κρύβδα).

κρυόεις *horrendus* Py. IV 73: ἦλθε δέ οἱ κρυόεν πυκινῷ μάντευμα θυμῷ. Is. I 37: ἐν κρυοέσσᾳ δέξατο συντυχίᾳ (var. κρυόεσα).

κρυπτός *occultus* Py. IX 39: κρυπταὶ κλαῖδες ἐντὶ σοφᾶς Πειθοῦς ἱερᾶν φιλοτάτων.

κρύπτω (act. praes. κρύπτε, -έτω. κρύπτειν. aor. κρύψε(ν), -αν. κρύψαι. pass. pf. κεκρύφθαι. plpf. κέκρυπτο. brevis vocalis antecedens semel producitur, semel non producitur) *occulto, abscondo* Ol. VI 54: ἀλλὰ κέκρυπτο γὰρ σχοίνῳ βατείᾳ τ' ἐν ἀπειράτῳ (Herm., libri ἀλλ' ἐγκέκρυπτο, ἐγκρύπτετο, ἐκρύπτετο, Boeckh. ἀλλ' ἐν κέκρυπτο): latebat. Ol. VII 57: ἁλμυροῖς δ' ἐν βένθεσιν νᾶσον κεκρύφθαι. de sepultis Ne. IX 25: χθόνᾱ, κρύψεν δ' ἅμ' ἵπποις (sc. Amphiaraum). Py. IX 81: τὸν — κρύψαν ἔνερθ' ὑπὸ γᾶν διφρηλάτα Ἀμφιτρύωνος σάματι. — met. *occulto, celo* Ne. X 40: ἀξιωθείην κεν — Ἄργεϊ μὴ κρύπτειν φάος ὀμμάτων: non deprimerem oculos. τουτέστιν οὐκ ἀπαρρησιάστως ὄψομαι ὡς οὐ νενικηκώς, ἀλλὰ μετὰ παρρησίας. Schol. fr. 42 (171), 5: εἰ δέ τις ἀνθρώποισι θεόσδοτος ἄτα προστύχῃ, ταύταν σκότει κρύπτειν ἔοικεν. Ol. VI 31: κρύψε δὲ παρθενίαν ὠδῖνα κόλποις. XIII 13: ἄμαχον δὲ κρύψαι τὸ συγγενὲς ἦθος. Py. IX 94: τό γ' ἐν ξυνῷ πεπονημένον εὖ μὴ λόγον βλάπτων ἁλίοιο γέροντος κρυπτέτω: ἀνυμνείτω. Schol. *obscuro, perdo* Ol. VII 92: μὴ κρύπτε κοινὸν σπέρμ' ἀπὸ Καλλιάνακτος. (de Py. VI 14 v. τύπτω.)

κρῠφᾰ, κρῠφᾷ *clam* Ne. IX 33: αἰδὼς γὰρ ὑπὸ κρύφα κέρδει κλέπτεται (Boeckh. ex schol., libri ὑπόκρυφα). — Ol. I 48 (47): ἔννεπε κρυφᾷ τις αὐτίκα φθονερῶν γειτόνων (var. κρυφᾶ). fr. 203 (217), 3: ἐν φάει, κρυφᾷ δὲ κτλ. (Bergk., vulgo κρυφᾶ).

κρυφαῖος *occultus, absconditus* Is. I 67: εἰ δέ τις ἔνδον νέμει πλοῦτον κρυφαῖον.

κρύφιος *occultus, tectus* Py. I 84: ἀστῶν δ' ἀκοὰ κρύφιον θυμὸν βαρύνει μάλιστ' ἐσλοῖσιν ἐπ' ἀλλοτρίοις. Ne. VIII 26: κρυφίαισι γὰρ ἐν ψάφοις Ὀδυσσῆ Δαναοὶ θεράπευσαν.

κρύφος *obscuratio* Ol. II 107 (97): αἶνον ἐπέβα κόρος — τὸ λαλαγῆσαι θέλων κρύφον τε θέμεν ἐσλῶν καλοῖς ἔργοις (Aristarchus et recc., vett. κρύφιόν τε θέμεν, Herm. κρύφον τιθέμεν, quod recepit Christ.).

κτάομαι *acquiro, pario* Ne. IX 52: φιάλαισι —, ἅς ποθ' ἵπποι κτησάμεναι Χρομίῳ πέμψαν. (de Ol. IX 45 v. κτίζω.)

κτέᾰνον (sg. κτέανον. pl. κτεάνων, -οις, κτέαν') *possessio* Py. I 2: χρυσέα φόρμιγξ, Ἀπόλλωνος καὶ ἰοπλοκάμων σύνδικον Μοισᾶν κτέανον. plur. *opes, divitiae, bona* Ne. VII 41: ᾤχετο δὲ πρὸς θεὸν κτέαν' ἄγων Τρωίαθεν ἀκροθινίων (var. κτέατ'). Py. I 46: ὄλβον μὲν οὕτω καὶ κτεάνων δόσιν εὐθύνοι. Ne. IX 46: εἴ τις ἅμα κτεάνοις πολλοῖς ἐπίδοξον ἄρηται κῦδος: ἅμα τῷ πλουτεῖν. Schol. Ne. IX 32: κτεάνων ψυχάς ἔχοντες κρέσσονας ἄνδρες: „qui sumptibus non parcunt in certamina erogandis" Dissen. Is. II 11: κτεάνων θ' ἅμα λειφθεὶς καὶ φίλων. Py. IV 290: πατρώας ἀπὸ γᾶς ἀπό τε κτεάνων. VIII 58: γείτων — καὶ κτεάνων φύλαξ ἐμῶν. Ol. III 42: κτεάνων δὲ χρυσὸς αἰδοιέστατον. fr. 222 (243), 3: (χρυσὸς) κάρτιστον κτεάνων. Ol. VII 4: φιάλαν — πάγχρυσον, κορυφὰν κτεάνων. de bonis animi Py. XI 58: γενεᾷ εὐώνυμον, κτεάνων κράτιστον, χάριν πορών.

κτέαρ pl. *opes, divitiae* Ol. V 24: ὑγίεντα δ' εἴ τις ὄλβον ἄρδει ἐξαρκέων κτεάτεσσι καὶ εὐλογίαν προστιθείς (var. κτεάνεσι). Py. II 59: εἰ

δέ τις ἤδη κτεάτεσσί τε καὶ περὶ τιμᾷ λέγει ἕτερον — γενέσθαι ὑπέρτερον (var. *κτεάνοισι*).

Κτέατος *Cteatus* Molionides, frater Euryti Ol. X 27: *Ποσειδάνιον πέφνε Κτέατον ἀμύμονα, πέφνε δ' Ευρυτον* (sc. Hercules). v. *Εὔρυτος*.

κτείνω (act. praes. *κτείνοντ'*. aor. I *κτεῖνα, -ε, ἔκτεινε*. aor. II *ἔκτᾰνεν. κτανών*. med. aor. pro pass. *κτάμενον*) *interficio, occido* et homines et bestias Ol. II 42 (38): *ἔκτεινε Λᾶον μόριμος υἱὸς συναντόμενος*. VII 29: *ἔκτανεν Τίρυνθι Λικύμνιον* (var. *ἔκταν' ἐν*). Py. IV 249: *κτεῖνε μὲν γλαυκῶπα τέχναις ποικιλόνωτον ὄφιν* (sc. Iason). Is. V (VI) 48: *θηρός, ὃν πάμπρωτον ἀέθλων κτεῖνά ποτ' ἐν Νεμέᾳ*: loquitur Hercules. Ne. I 62: *ὅσσους μὲν ἐν χέρσῳ κτανών, ὅσσους δὲ πόντῳ θῆρας ἀιδροδίκας* (sc. Hercules). fr. 203 (217): *Σκύθαι νεκρὸν ἵππον στυγέοισιν λόγῳ κτάμενον ἐν φάει*. de venatu Ne. III 51: *κτείνοντ' ἐλάφους ἄνευ κυνῶν δολίων θ' ἑρκέων* (sc. Achillem puerum).

κτίζω (act. aor. *ἔκτισσε, κτίσεν. κτίσῃ. κτίσσειεν, κτίσαιεν*. pass. aor. *κτίσθη, ἔκτιθεν* (ci.). med. aor. *ἐκτίσσατο, κτισσάσθαν*) *condo, exstruo, instituo* Py. IV 7: *ὡς — κτίσσειεν εὐάρματον πόλιν*, cf. I 62. Ne. X 5: *πολλὰ δ' Αἰγύπτῳ ὄπα ἔκτιθεν ἄστη ταῖς Ἐπάφου παλάμαις* (Herm., libri *κατῴκισθεν*, Boeckh. *τὰ κατῴκισεν* vel *ὄπα ᾤκισεν*, Bergk. *κατένασθεν*). Ol. VIII 37: *δράκοντες, ἐπεὶ κτίσθη νέον, πύργον ἐσαλλόμενοι τρεῖς*. Py. V 89: *κτίσεν δ' ἄλσεα μείζονα θεῶν*. Ol. VII 42: *ὡς ἂν θεᾷ πρῶτοι κτίσαιεν βωμὸν ἐναργέα*. VI 69: *εὖτ' ἂν — πατρὶ ἑορτάν τε κτίσῃ πλειστόμβροτον τεθμόν τε μέγιστον ἀέθλων*. — Med. *mihi condo* fr. 1 (4), 4: *σὺν θεῶν δέ νιν* (Aeginam) *αἴσᾳ — Δωριεὺς ἐλθὼν στρατὸς ἐκτίσσατο* (Herm., libri *ἐκτήσατο*). Ol. X 25: *ἀγῶνα —, ὃν ἀρχαίῳ σάματι πὰρ Πέλοπος βωμῶν ἑξάριθμον ἐκτίσσατο* (var. *ἐκτίσατο, ἐκτήσατο*). IX 45: *ἄτερ δ' εὐνᾶς ὁμόδαμον κτισσάσθαν λίθινον γόνον* (Mommsen., libri *κτισάσθαν, κτησάσθαν*): sc. Pyrrha et Deucalion. *ἐποιήσαντο*. Schol.

κτῐλεύω *mansuefacio* fr. 238 (262): *ἔνθα οἱ ποῖμναι κτιλεύονται κάπρων λεόντων τε*.

κτίλος familiaris Py. II 17: *Κινύραν —, τὸν ὁ χρυσοχαῖτα προφρόνως ἐφίλησ' Ἀπόλλων, ἱερέα κτίλον Ἀφροδίτας*: „educatum a tenero in templo deae" Müller. et Dissen. *κτίλον οἱονεὶ τὸν συντεθραμμένον καὶ συνήθη λέγει καὶ εἰθισμένον τῇ χειρί*. Schol.

κτίσις *institutum, inceptum, opus* Ol. XIII 83: *τελεῖ θεῶν δύναμις καὶ τὰν παρ' ὅρκον καὶ παρὰ ἐλπίδα κούφαν κτίσιν*, ubi cum Dissenio explicandum *τὰν παρ' ὅρκον καὶ παρὰ ἐλπίδα κτίσιν* (tanquam) *κούφαν κτίσιν*.

κτίστωρ *conditor* fr. 105 (71), 2: *ζαθέων ἱερῶν ὁμώνυμε πάτερ, κτίστορ Αἴτνας*: dicit Hieronem.

κῠᾰναιγις *caeruleo clypeo insignis* Ol. XIII 70: *κυάναιγις ἐν ὄρφνᾳ κνώσσοντί οἱ παρθένος τόσα εἰπεῖν ἔδοξεν* (vulgo *κυαναιγὶς*): Pallas. *ἀντὶ τοῦ μέλαιναν καὶ φοβερὰν αἰγίδα ἔχουσα*. Schol.

κῠᾰνάμπυξ *caeruleo redimiculo insignis* fr. 29 (5), 3: *τὰν κυανάμπυκα Θήβαν*, cf. Theocr. XVII 67: *Δᾶλον — κυανάμπυκα*.

κῠᾰνεος *caeruleus, nigricans* fr. 87 (58), 4: *τηλέφαντον κυανέας χθονὸς ἄστρον*. Ol. VI 40: *λόχμας ὑπὸ κυανέας τίκτε θεόφρονα κοῦρον* (var. *λοχμαῖς — κυανέαις*): „propter densitatem dumeti" Dissen.

Κῠβέλα *Cybele* fr. 80: *Κυβέλα μᾶτερ θεῶν*.

κῠβέρνᾱσις *gubernatio*, met. Py. X 72: *ἐν δ' ἀγαθοῖσι κεῖνται πατρώιαι κεδναὶ πολίων κυβερνάσιες*. v. *πατρώιος*.

κυβερνᾱ́τας *gubernator* Py. I 91: *ἐξίει δ' ὥσπερ κυβερνάτας ἀνὴρ ἱστίον ἀνεμόεν*.

κυβερνᾱτήρ *gubernator*, met. Is. III 89 (IV 71): *νίκαν ἀνεφάνατο — κυβερνατῆρος οἰακοστρόφου γνώμᾳ πεπιθὼν πολυβούλῳ*: h. e. magistri v. aliptae Orseae. Py. IV 274: *εἰ μὴ θεὸς ἁγεμόνεσσι κυβερνατὴρ γένηται*.

κυβερνάω *guberno* Ol. XII 3: *τὶν γὰρ ἐν πόντῳ κυβερνῶνται θοαὶ νᾶες*. met. Py. V 122: *Διός τοι νόος μέγας κυβερνᾷ δαίμον' ἀνδρῶν φίλων*. fr. 214 (233): *ἐλπίς, ἃ μάλιστα θνατῶν πολύστροφον γνώμαν κυβερνᾷ*.

κῡδαίνω *decoro, illustro* Ne. IX 12: *ἅρμασί τε γλαφυροῖς ἄμφαινε κυδαίνων πόλιν*. Ol. X 66: *ὁ δὲ πάλᾳ*

κυδαίνων Ἔχεμος Τεγέαν. Py. Γ 31: κλεινὸς οἰκιστὴρ ἐκύδανεν πόλιν γείτονα.

κύδιμος *clarus* Ol. XIV 24: ἐστεφάνωσε κυδίμων ἀέθλων πτεροῖσι χαίταν.

κῦδος (a. κῦδος) *gloria, laus* Py. II 12: (θεὸς) ὑψιφρόνων τιν' ἔκαμψε βροτῶν, ἑτέροισι δὲ κῦδος ἀγήραον παρέδωκ'. II 80: ἀνέχει τοτὲ μὲν τὰ κείνων, τότ' αὖθ' ἑτέροις ἔδωκεν μέγα κῦδος. Ne. VIII 34: τὸ μὲν λαμπρὸν βιᾶται, τῶν δ' ἀφάντων κῦδος ἀντείνει σαθρόν (πάρφασις). IX 47: εἰ γὰρ ἅμα κτεάνοις πολλοῖς ἐπίδοξον ἄρηται κῦδος. imprimis de victoria ludicra Ol. III 39: Ἐμμενίδαις Θήρωνί τ' ἐλθεῖν κῦδος εὐίππων διδόντων Τυνδαριδᾶν. IV 10(13): ἐλαίᾳ στεφανωθεὶς Πισάτιδι κῦδος ὄρσαι σπεύδει Καμαρίνᾳ. V 7: τὶν δὲ κῦδος ἁβρὸν νικάσαις ἀνέθηκε. Is. I 12: στεφάνους ἓξ ὤπασεν Κάδμου στρατῷ ἐξ ἀέθλων, καλλίνικον πατρίδι κῦδος. Ol. IX 88: Ἄργει δ' ἔσχεθε κῦδος ἀνδρῶν, παῖς δ' ἐν Ἀθάναις. VIII 54: Μελησίᾳ ἐξ ἀγενείων κῦδος ἀνέδραμον ὕμνῳ: laudem ex institutione puerorum victorum; v. ἀγένειος. Py. IV 66: τῷ μὲν Ἀπόλλων ἅ τε Πυθὼ κῦδος ἐξ ἀμφικτιόνων ἔπορεν ἱπποδρομίας. iuncta cum laude bellica Is. I 50: ὃς δ' ἀμφ' ἀέθλοις ἢ πολεμίζων ἄρηται κῦδος ἁβρόν. (de Ol. I 110 v. κᾶδος.)

κύκλος 1) *circulus* Ol. IX 93: διήρχετο κύκλον ὅσσᾳ βοᾷ: „coronam spectantium" Dissen. „ambitum areae, in qua lucta fuit, h. e. palaestrae Herculi Marathonio dicatae" Boeckh. — dat. pro adv. Ol. X 46: τὸ δὲ κύκλῳ πέδον ἔθηκε δόρπου λύσιν: circa. — 2) *rota* Py. IV 215: ἴυγγα — ἐν ἀλύτῳ ζεύξαισα κύκλῳ μαινάδ' ὄρνιν.

κυκλόω *roto* Ol. X 72: μᾶκος δὲ Νικεὺς ἔδικε πέτρῳ χέρα κυκλώσαις ὑπὲρ ἁπάντων.

Κυκλώπιος *Cyclopius* fr. 169 (151), 6: Γηρυόνα βόας Κυκλωπίων ἐπὶ προθύρων Εὐρυσθέως — ἤλασεν: σημαίνει τὸ Ἄργος, ἐπειδήπερ οἱ Κύκλωπες ἐξ ἀρχῆς ἐτείχισαν τὸ Ἄργος οἱ καλούμενοι χειρογάστορες παρὰ τὸ ἐκ τῶν χειρῶν ζῆν. Schol. Aristid. III 408.

Κύκνειος *Cycneus* Ol. X 15: τράπε δὲ Κύκνεια μάχα καὶ ὑπέρβιον Ἡρακλέα (Boeckh. metri causa sec. Herm. de dial. Pind. p. X, libri Κυκνέα, Κυκνεία); Κύκνος ὁ Ἄρεως υἱὸς ἐν παρόδῳ τῆς Θεσσαλίας οἰκῶν τοὺς παριόντας ἐκαρατόμει βουλόμενος ἐκ τῶν κεφαλῶν Ἄρει νεὼν ἀνεγεῖραι. παριὼν οὖν Ἡρακλῆς καὶ ὑπὸ τούτου ἐπιβουλευθεὶς μάχην συνῆψεν αὐτῷ, βεβοηθηκότος δὲ Ἄρεως τῷ παιδὶ τραπεὶς ἀνεχώρησεν. ἀλλ' ὕστερον μόνον Κύκνον εὑρὼν ἀπέκτεινε. Schol.

Κύκνος *Cycnus*, Neptuni filius Ol. II 90 (82): Κύκνον τε θανάτῳ πόρεν (sc. Achilles). Is. IV (V) 39: λέγε τίνες Κύκνον, τίνες Ἕκτορα πέφνον.

κυλίνδω (act. praes. κυλίνδει. pass. praes. κυλίνδοντ', κυλινδόμενον, -μένα, -μέναις. ipf. κυλινδέσκοντο) *volvo, voluto* Py. II 23: Ἰξίονα — ἐν πτερόεντι τροχῷ παντᾷ κυλινδόμενον: τροχῷ τοὺς πόδας καὶ τὰς χεῖρας τοῦ Ἰξίονος προσδεσμευθῆναι καὶ τὸν τροχὸν ἀειδίνητον παρασκευασθῆναι. Schol. de rebus Py. IV 209: δίδυμαι γὰρ ἔσαν ζωαί (sc. πέτραι), κυλινδέσκοντό τε κραιπνότεραι ἢ βαρυγδούπων ἀνέμων στίχες. I 24: φοίνισσα κυλινδομένα φλόξ: sc. Aetnae. met. Is. III 18: αἰὼν δὲ κυλινδομέναις ἁμέραις ἄλλ' ἄλλοτ' ἐξάλλαξεν. Ol. XII 6: αἵ γε μὲν ἀνδρῶν πόλλ' ἄνω, τὰ δ' αὖ κάτω ψεύδη μεταμώνια τάμνοισαι κυλίνδοντ' ἐλπίδες: velut in mari. Ne. IV 40: φθονερὰ δ' ἄλλος ἀνὴρ βλέπων γνώμαν κενεὰν σκότῳ κυλίνδει χαμαιπετοῖσαν: „huc illuc versat sedulo" Dissen.

κύλιξ *poculum* fr. 124 (89): Διωνύσοιο καρπῷ καὶ κυλίκεσσιν Ἀθαναίαισι κέντρον: „h. e. Panathenaicis dictis poculis, quibus utebantur, ut videtur, in conviviis Panathenaeorum, et in epiniciis victoriarum Panathenaicarum, ut nunc Thrasybulus" Dissen. ἦσαν δὲ καὶ ὀνύχινοι σκύφοι καὶ συνθέσεις τούτων, μέχρι δικοτύλων· καὶ Παναθηναϊκὰ μέγιστα, τὰ μὲν δίχοα, τὰ δὲ καὶ μείζονα. Posidonius ap. Athen. XI p. 495 A.

Κυλλάνα *Cyllene*, mons Arcadiae Ol. VI 77: ὑπὸ Κυλλάνας ὄροις, Ἁγησία, μάτρωες ἄνδρες ναιετάοντες ἐδώρησαν θεῶν κάρυκα λιταῖς θυσίαις.

κῦμα (sg. κῦμ(α). pl. κύματα, -άτων, -ασιν, -άτεσσιν) *unda* et maris et fluviorum Py. IV 195: ὠκυπόρους κυμάτων ῥιπὰς ἀνέμων τ' ἐκάλει. fr.

136 (101): *ἄστρα τε καὶ ποταμοὶ καὶ κύματα πόντου.* fr. 88 (58): *ἦν γὰρ τοπάροιθε φορητὰ κυμάτεσσιν παντοδαπῶν τ' ἀνέμων ῥιπαῖσιν*: sc. Delus insula. Py. IX 48: *χὠπόσαι ἐν θαλάσσᾳ καὶ ποταμοῖς ψάμαθοι κύμασιν ῥιπαῖς τ' ἀνέμων κλονέονται.* Ne. VI 63 (56): *τὸ δὲ πὰρ ποδὶ ναὸς ἑλισσόμενον αἰεὶ κυμάτων λέγεται παντὶ μάλιστα δονεῖν θυμόν.* met. Ol. X 10: *νῦν ψᾶφον ἑλισσομέναν ὅπᾳ κῦμα κατακλύσσει ῥέον*: h. e. „quorsum feretur oratio fluctuans" Dissen. Ne. VII 31: *ἀλλὰ κοινὸν γὰρ ἔρχεται κῦμ' Ἀίδα, πέσε δ' ἀδόκητον ἐν καὶ δοκέοντα*: h. e. mors.

Κῦμα *Cyme s. Cumae,* urbs Campaniae Py. I 18: *ταί θ' ὑπὲρ Κύμας ἁλιερκέες ὄχθαι.* I 72: *ναυσίστονον ὕβριν ἰδὼν τὰν πρὸ Κύμας.*

κῦμαίνω *aestuo,* met. Py. IV 158: *σὸν δ' ἄνθος ἥβας ἄρτι κυμαίνει*: turget, tumet. Pass. fr. 123 (88), 3: *ὃς μὴ πόθῳ κυμαίνεται*: „cupiditatis fluctibus movetur" Dissen.

κύμβᾰλον *cymbalum* fr. 79 (48), 4: *σοὶ μὲν κατάρχειν, μᾶτερ μεγάλα, πάρα ῥόμβοι κυμβάλων.*

κῠνᾱγέτας *venator,* met. Ne. VI 16 (14): *ταύταν μεθέπων Διόθεν αἶσαν νῦν πέφαντ' οὐκ ἄμμορος ἀμφὶ πάλᾳ, κυναγέτας ἴχνεσιν ἐν Πραξιδάμαντος ἑὸν πόδα νέμων* (Bergk., vulgo *πάλᾳ κυναγέτας, ἴχν.*).

κῠπᾰρίσσινος *cupressinus* Py. V 39: *τοῦ σφ' ἔχει κυπαρίσσινον μέλαθρον.*

κυπάρισσος *cupressus* fr. 154 (126): *ἐλαφρὰν κυπάρισσον φιλέειν, ἐᾶν δὲ νομὸν Κρήτας περιδαῖον*: „cohortatur poeta, ut parvo beati esse velimus, quod ita pronunciat, ut viliore et minutiore cupressu contentos nos esse debere dicat, neque appetendos Cretae saltus, in quibus ea arbor frequentissima et magnificentissima provenit" Boeckh.

Κῠπρία *Cypria* h. e. Venus Ol. I 77 (75): *φίλια δῶρα Κυπρίας.* Ne. VIII 7: *Διὸς Αἰγίνας τε λέκτρον ποιμένες ἀμφεπόλησαν Κυπρίας δώρων*: h. e. *ἔρωτες.*

Κύπρια fr. 265 (189): *λέγεται δὲ κἀκεῖνο πρὸς τούτοις, ὅτι ἄρα ἀπορῶν (Ὅμηρος) ἐκδοῦναι τὴν θυγατέρα ἔδωκεν αὐτῇ προῖκα ἔχειν τὰ ἔπη τὰ Κύπρια, καὶ ὁμολογεῖ τοῦτο Πίνδαρος* (Aelian. Var. Hist. IX 15).

Κῠπριοι *Cyprii* Py. II 16: *κελαδέοντι μὲν ἀμφὶ Κινύραν πολλάκις φᾶμαι Κυπρίων.*

Κῠπρις *Cypria* h. e. Venus fr. 217 (237): *γλυκύ τι κλεπτόμενον μέλημα Κύπριδος.*

Κῠπρογένεια, Κῠπρογενής *in Cypro nata* h. e. Venus Py. IV 216: *πότνια δ' ὀξυτάτων βελέων — μαινάδ' ὄρνιν Κυπρογένεια φέρεν πρῶτον ἀνθρώποισι.* Ol. X 105: *ἀναιδέα Γανυμήδει πότμον ἄλαλκε σὺν Κυπρογενεῖ.*

Κῠπρος *Cyprus* insula Ne. VIII 18: *Κινύραν ἔβρισε πλούτῳ ποντίᾳ ἔν ποτε Κύπρῳ.* IV 47: *μέλος πεφιλημένον Οἰνώνᾳ τε καὶ Κύπρῳ, ἔνθα Τεῦκρος ἀπάρχει.* fr. 122 (87), 14: *ὦ Κύπρου δέσποινα*: Venus.

Κῡράνα (*Κυράνα, -ας, -ᾳ, -αν*) *Cyrene* 1) urbs Libyae a Batto condita Py. IV 62: *ἅ σε* (Battum) *χαίρειν ἐς τρὶς αὐδάσαισα πεπρωμένον βασιλέ' ἄμφανεν Κυράνᾳ* (var. *Κυράνας*). V 62: *ἔδωκ' Ἀπόλλων θῆρας αἰνῷ φόβῳ, ὄφρα μὴ ταμίᾳ Κυράνας ἀτελὴς γένοιτο μαντεύμασιν.* IV 279: *ἐπέγνω μὲν Κυράνα καὶ τὸ κλεεννότατον μέγαρον Βάττου δικαιᾶν Δαμοφίλου πραπίδων.* IV 276: *τλᾶθι τᾶς εὐδαίμονος ἀμφὶ Κυράνας θέμεν σπουδὰν ἅπασαν.* IV 2: *εὐίππου βασιλῆι Κυράνας*: Arcesilao. Py. IX 73: *νικάσαις ἀνέφανε Κυράναν, ἅ νιν εὔφρων δέξεται καλλιγύναικι πάτρᾳ.* V 24: *τῷ σε μὴ λαθέτω Κυράνᾳ γλυκὺν ἀμφὶ κᾶπον Ἀφροδίτας ἀειδόμενον* (Schmid., libri *Κυράνα*, Bergk. *Κυράναν*): Cyrenis; v. *κᾶπος.* — 2) Hypsei filia, heroina, dea urbis ab Apolline amata Py. IX 18: *ὁ δὲ* (Hypseus) *τὰν λευκώλενον θρέψατο παῖδα Κυράναν.* IX 4: *ὄλβιον ἄνδρα, διωξίππου στεφάνωμα Κυράνας.* V 81: *Κυράνας ἀγακτιμέναν πόλιν.* IV 261: *ἄστυ χρυσοθρόνου διανέμειν θεῖον Κυράνας.*

κῠρέω *reperio* Is. V (VI) 36: *Αἰακίδαν καλέων ἐς πλόον* (*ξυνὸν*) *κύρησεν δαινυμένων* (var. *κήρυσσε*).

κῡριος 1) *praestans, imperans, dominus* Py. II 58: *πρύτανι κύριε πολλᾶν μὲν εὐστεφάνων ἀγυιᾶν καὶ στρατοῦ.* Ol. I 107 (104): *ξένον μή τιν'*

μακρός (sg. m. *μακρός, -ῷ, -όν.* n. *μακρόν.* pl. *μακρά, -οῖσι, -ά.* comp. sg. m. *μάσσων, μακροτέρῳ.* f. *μακροτέρας, -αν.* pl. f. *μακρότεραι.* n. *μάσσον(α).* paenultimae vocalis ter non producitur) *longus* 1) de loco a) de spatio: longinquus Ne. V 19: *μακρά μοι αὐτόθεν ἅλμαθ᾽ ὑποσκάπτοι τις.* neutr. plur. pro adv. Py. I 45: *μακρὰ δὲ ῥίψαις.* Is. II 35: *μακρὰ δισκήσαις.* — b) de magnitudine et numero: largus, amplus, magnus Py. II 26: *μακρὸν οὐχ ὑπέμεινεν ὄλβον.* Is. III 31 (IV 13): *καὶ μηκέτι μακροτέραν σπεύδειν ἀρετάν*, ubi Bulle. et Mezger. *μακροτέραν* adv. a pos. *μακράν* ductum existimant. Is. VI (VII) 43: *τὰ μακρὰ εἴ τις παπταίνει, βραχὺς ἐξικέσθαι χαλκόπεδον θεῶν ἕδραν*: „maiora quam licet" Dissen. Ol. XIII 113: *πᾶσαν κατὰ Ἑλλάδ᾽ εὑρήσεις ἐρευνῶν μάσσον᾽ ἢ ὡς ἰδέμεν*: dicit res gestas v. victorias, cf. Ne. II 23: *τὰ δ᾽ οἴκοι μάσσον᾽ ἀριθμοῦ.* Py. IX 77: *βαιὰ δ᾽ ἐν μακροῖσι ποικίλλειν ἀκοὰ σοφοῖς*: „in larga materia" Dissen. Ne. IV 33: *τὰ μακρὰ δ᾽ ἐξενέπειν ἐρύκει με τεθμὸς ὧραί τ᾽ ἐπειγόμεναι.* X 4: *μακρὰ μὲν τὰ Περσέος ἀμφὶ Μεδοίσας Γοργόνος*: „longam narrationem habent" Dissen. — 2) de tempore: diuturnus Is. IV (V) 56: *οὔτοι τετύφλωται μάκρὸς μόχθος ἀνδρῶν.* Py. VIII 73: *εἰ γάρ τις ἐσλὰ πέπαται μὴ σὺν μάκρῷ πόνῳ* (var. *χρόνῳ*). Is. III 5: *ζώει δὲ μάσσων ὄλβος ὀπιζομένων.* Py. XI 52: *εὑρίσκων τὰ μέσα μακροτέρῳ ὄλβῳ τεθαλότα* (E. Schmid., libri *μακροτέρῳ*

σὺν v. μακροτάτῳ σὺν, Bergk. olim μάσσονι σὺν, quod rec. Christ.). Ol. XIII 41: μακρότεραι — ἀοιδαί: „carmina non cito oblivioni tradita, sed longius durantia" Boeckh. „quae plures victorias enumerant" Dissen. Ne. X 46: μακροτέρας γὰρ ἀριθμῆσαι σχολᾶς. Py. III 105: ὄλβος οὐκ ἐς μακρὸν ἀνδρῶν ἔρχεται: in longum. — Is. V (VI) 56: ἐμοὶ δὲ μακρὸν πάσας ἀναγήσασθ' ἀρετάς. Py. IV 247: μακρά μοι νεῖσθαι κατ' ἀμαξιτόν. (de Ne. III 75 v. θνατός.)

μᾱκύνω *extendo, duco, differo* Py. IV 286: οὐκ ἐρίζων ἀντία τοῖς ἀγαθοῖς οὐδὲ μακύνων τέλος οὐδέν.

μάλᾰ *valde, admodum*, vim auget 1) adiectivi Py. II 78: κερδοῖ δὲ τί μάλα τοῦτο κερδαλέον τελέθει; Ol. IV 12 (16): ἐπεί νιν αἰνέω μάλα μὲν τροφαῖς ἑτοῖμον ἵππων. Py. IX 107: μάλα πολλοί. (de Ne. V 38 v. μὶν.) — 2) verbi Is. V (VI) 67: μάλα τιμᾷ τοῦτ' ἔπος. Ol. II 30 (27): μάλα φιλεῖ. X 87: μάλα δέ οἱ θερμαίνει φιλότατι νόον. Py. IV 64: ἦ μάλα δὴ μετὰ καὶ νῦν — ὄγδοον θάλλει μέρος Ἀρκεσίλας. Ne. VII 10: μάλα δ' ἐθέλοντι σύμπειρον ἀγωνία θυμὸν ἀμφέπειν. X 54: μάλα μὲν ἀνδρῶν δικαίων περικαδόμενοι. Ol. IV 12 (16): μάλα ἁδόντι νόῳ. — Comp. **μᾶλλον** 1) *magis* fr. 194 (206), 4: Θήβαν ἔτι μᾶλλον ἐπασκήσει. Py. X 57: τὸν Ἱπποκλέαν ἔτι καὶ μᾶλλον — θαητὸν ἐν ἅλιξι θησέμεν. Ol. II 103 (93): φίλοις ἄνδρα μᾶλλον εὐεργέταν πραπίσιν ἀφθονέστερόν τε χέρα Θήρωνος. — 2) *potius* fr. 280: πᾶς ἀλαζὼν οὔτε ἄνδρα οὔτε ἡμίθεον, μᾶλλον δὲ (Bergk. pro libr. ἢ) δαίμονα κατὰ τὸν Πίνδαρον ὑπολαμβάνει ἑαυτόν (Philo de caritate T. II 404 ed. Mang.). — Superl. **μάλιστα** *maxime, praecipue*, vim auget 1) substantivi Ne. III 7: ἀεθλονικία δὲ μάλιστ' ἀοιδὰν φιλεῖ. Py. I 84. Ne. VI 64 (56). fr. 43 (173), 2. add. gen. Py. VI 23: μάλιστα μὲν Κρονίδαν — θεῶν σέβεσθαι. — 2) pronominis Is. VI (VII) 2: τίνι τῶν πάρος — καλῶν ἐπιχωρίων μάλιστα θυμὸν τεὸν εὔφρανας; fr. 214 (233), 2. — 3) verbi Py. X 35: ὧν θαλίαις ἔμπεδον εὐφαμίαις τε μάλιστ' Ἀπόλλων χαίρει. add. gen. Py. VI 45.

μᾰλᾰκός *mollis, lenis* Ne. X 54: ἐπιεσσάμενοι νῶτον μαλακαῖσι κρόκαις. proprie de remediis Py. IV 271: χρὴ μαλακὰν χέρα προσβάλλοντα τρώμαν ἕλκεος ἀμφιπολεῖν. Py. III 51: τοὺς μὲν μαλακαῖς ἐπαοιδαῖς ἀμφέπων. met. Ne. IV 95: μαλακὰ μὲν φρονέων ἐσλοῖς (Schmid., libri μαλθακά).

μαλακόχειρ *leni manu administrandus v. lenem manum postulans* Ne. III 55: Ἀσκλαπιόν, τὸν φαρμάκων δίδαξε μαλακόχειρα νόμον (var. μαλθακόχειρα). v. μαλακός.

μᾰλάσσω *emollio, frango*, met. Ne. III 16: ἐν περισθενεῖ μαλαχθεὶς παγκρατίου στόλῳ.

Μᾰλεᾱγονος *Maleae natus* fr. 156 (57): ὃν Μαλεάγονος ἔθρεψε Ναΐδος ἀκοίτας Σειληνός (Camerarius, libri Μαλέγορος v. μελέγορος).

μᾰλερός *ardens, splendens*, met. Ol. IX 22: πόλιν μαλεραῖς ἐπιφλέγων ἀοιδαῖς.

μαλθᾰκός (sg. f. μαλθακᾶς, -ᾷ, -άν. n. μαλθακῷ, -όν. pl. n. μαλθακά) *mollis* Ne. IV 4: οὐδὲ θερμὸν ὕδωρ τόσον γε μαλθακὰ τεύχει γυῖα. met. lenis, suavis, comis, de voce et cantu Ne. IX 49: νεοθαλὴς δ' αὔξεται μαλθακᾷ νικαφορία σὺν ἀοιδᾷ: „cantu fovente, recreante" Dissen. Py. VIII 31: λύρᾳ τε καὶ φθέγματι μαλθακῷ. V 99: ἀρετὰν δρόσῳ μαλθακᾷ ῥανθεῖσαν. IV 137: πραῢν δ' Ἰάσων μαλθακᾷ φωνᾷ ποτιστάζων ὄαρον. Ol. II 99 (90): τίνα βάλλομεν ἐκ μαλθακᾶς αὖτε φρενὸς εὐκλέας ὀιστοὺς ἱέντες; Py. I 98: οὐδέ νιν φόρμιγγες ὑπωρόφιαι κοινωνίαν μαλθακὰν παίδων ὀάροισι δέκονται (var. μαλθακᾶν). de aetate fr. 122 (87), 8: μαλθακᾶς ὥρας ἀπὸ καρπὸν δρέπεσθαι (Boeckh., libri μαλθακώρας). sine subst. Py. VIII 6: τὺ γὰρ τὸ μαλθακὸν ἔρξαι τε καὶ παθεῖν ὁμῶς ἐπίστασαι: „das Wonnige" Mezger. τὸ ἐπιεικὲς καὶ προσηνές. Schol. „tu coronas ludicras dare (nam Hesychia haec decora Aeginae praestat) et ipsa gaudere honoribus victorialibus, qualis haec pompa, tibi vicissim oblatis nosti" Dissen.

μαλθακόφωνος *suave sonans* Is. II 8: μαλθακόφωνοι ἀοιδαί.

μάν (plerumque secundum tenet locum sententiae) 1) part. affirmativa: *vero, certe, sane, atqui* Ol. II 58

(53): ὁ μὰν πλοῦτος ἀρεταῖς δεδαιδαλμένος φέρει τῶν τε καὶ τῶν καιρόν. IX 49: λέγοντι μὰν χθόνα μὲν κατακλύσαι μέλαιναν ὕδατος σθένος. cf. Py. III 88. Ne. IX 39. Is. III 15: ἴστε μὰν Κλεωνύμου δόξαν παλαιὰν ἅρμασιν. cf. Is. III 53 (IV 35). Ne. XI 33: συμβαλεῖν μὰν εὐμαρὲς ἦν. Ol. XIII 45: δηρίομαι πολέσιν περὶ πλήθει καλῶν, ὡς μὰν σαφὲς οὐκ ἂν εἰδείην λέγειν ποντιᾶν ψάφων ἀριθμόν. — additur aliis particulis: ἦ μάν Py. IV 40: ἦ μάν νιν ὤτρυνον θαμὰ λυσιπόνοις θεραπόντεσσιν φυλάξαι. Ne. VIII 28. Is. I 63. καὶ μάν Ne. X 54: καὶ μὰν θεῶν πιστὸν γένος. Ol. X 34. Py. I 63. IV 90. 289. Py. VI 6. Ne. II 13. negationibus: οὐ μάν Py. IV 118: Αἴσονος γὰρ παῖς ἐπιχώριος, οὐ μὰν ξεῖνος ἵκω γαῖαν ἄλλων (Bergk., libri οὐ ξείναν ἱκόμαν, Christ. οὐχ ἵκω ξέναν μὰν). οὐδὲ μάν Py. IV 87: οὔ τί που οὗτος Ἀπόλλων οὐδὲ μὰν χαλκάρματός ἐστι πόσις Ἀφροδίτας. VIII 17. — 2) adversativa: *vero, tamen* Ne. X 29: Ζεῦ πάτερ, τῶν μὰν ἔραται φρενί, σιγᾷ οἱ στόμα. Ol. VII 45. Ne. I 69. additur aliis particulis: γε μάν Ol. XIII 104: νῦν ἔλπομαι μέν, ἐν θεῷ γε μὰν τέλος. Py. VII 20 (18). Ne. VIII 50. Is. III 18. νῦν γε μάν Py. I 17. 50. ὅμως μάν Py. II 82.

μανθάνω (praes. μανθάνων, aor. ἔμαθε, μάθεν, ἔμαθον. μαθεῖν. μαθών, -όντες) 1) *disco* Ol. II 95 (86): σοφὸς ὁ πολλὰ εἰδὼς φυᾷ· μαθόντες δὲ λάβροι παγγλωσσίᾳ κόρακες ὣς ἄκραντα γαρύετον Διὸς πρὸς ὄρνιχα θεῖον: discendo docti. c. gen. Py. III 80: μανθάνων οἶσθα προτέρων. c. inf. Py. IV 284: ἔμαθε δ' ὑβρίζοντα μισεῖν. — 2) *cognosco, intellego* Ol. IX 75: ὥστ' ἔμφρονι δεῖξαι μαθεῖν Πατρόκλου βιατὰν νόον. Ne. VII 18: σοφοὶ δὲ μέλλοντα τριταῖον ἄνεμον ἔμαθον: explorant. Ne. VII 68: μαθὼν δέ τις ἂν ἐρεῖ, εἰ πὰρ μέλος ἔρχομαι ψάγιον ὄαρον ἐννέπων: „qui rem probe exploraverit, carmina mea cognoverit" Dissen. Py. II 25: ἔμαθε δὲ σαφές: h. e. expertus est. Py. II 72: γένοι' οἷος ἐσσὶ μαθών: „postquam audivisti qui sis, talem te praesta" Mezger.; at Bergkius cum sequentibus verbis καλός τοι πίθων iungens explicat: „simia si artes didicit placet". c. part. Py. VIII 12: τὰν (Hesychiam) οὐδὲ Πορφυρίων μάθεν παρ' αἶσαν ἐξερεθίζων (Matthiae. λάθεν, quod recepit Bergk.): ἔγνω. Schol.

μανία *insania, furor* Ol. IX 39: τὸ καυχᾶσθαι παρὰ καιρὸν μανίαισιν ὑποκρέκει. c. gen. Ne. XI 48: ἀπροσίκτων δ' ἐρώτων ὀξύτεραι μανίαι: furiosa cupiditas; αἱ ἐπιθυμίαι. Schol. de saltantibus divino furore correptis in solemnibus deorum fr. 208 (224): μανίαις τ' ἀλαλαῖς τ' ὀρινόμενοι ῥιψαύχενι σὺν κλόνῳ.

μᾶνις *ira* Py. IV 159: δύνασαι δ' ἀφελεῖν μᾶνιν χθονίων.

μαντεῖος, μαντῆος *fatidicus* Ol. VI 5: βωμῷ τε μαντείῳ ταμίας Διὸς ἐν Πίσᾳ. Py. V 69: μυχόν τ' ἀμφέπει μαντῆον (Bergk., libri μαντήιον, Herm. μαντεῖον, quod rec. Christ.). (de Py. XI 6 et fr. 75, 13 v. μάντις.)

μάντευμα *vaticinium* Py. IV 73: ἦλθε δέ οἱ κρυόεν πυκινῷ μάντευμα θυμῷ. VIII 60: μαντευμάτων τ' ἐφάψατο συγγόνοισι τέχναις (sc. Alcmaeon): ἐμφαίνει δὲ διὰ τούτων ὅτι ἐγεγόνει τις μαντεία περὶ τῆς νίκης αὐτοῦ (Aristomenis). Schol. Py. V 62: ἔδωκ' Ἀπόλλων θῆρας αἰνῷ φόβῳ, ὄφρα μὴ ταμίᾳ Κυράνας ἀτελὴς γένοιτο μαντεύμασιν. Is. VI (VII) 15: Δωρίδ' ἀποικίαν οὕνεκεν ὀρθῷ ἔστασας ἐπὶ σφυρῷ Λακεδαιμονίων, ἕλον δ' Ἀμύκλας Αἰγεΐδαι σέθεν ἔκγονοι, μαντεύμασι Πυθίοις.

μαντεύομαι 1) *vaticinor* fr. 150 (118): μαντεύεο Μοῖσα, προφατεύσω δ' ἐγώ. — 2) *oraculum consulo v. peto* Ol. VII 31: μαντεύσατο δ' ἐς θεὸν ἐλθών. VI 38: Πυθῶνάδ' — ᾤχετ' ἰὼν μαντευσόμενος ταύτας περ' ἀτλάτου πάθας. Py. IV 163: μεμάντευμαι δ' ἐπὶ Κασταλίᾳ, εἰ μετάλλατόν τι.

Μαντινέα *Mantinea*, urbs Arcadiae Ol. X 70: ἀν' ἵπποισι δὲ τέτρασιν ἀπὸ Μαντινέας Σᾶμος ὡλιροθίου (sc. ἔφερε τέλος): „erant Mantinenses Neptuni equestris gnavi cultores, et Halirrhotius Neptunius heros" Dissen.

μάντις (sg. μάντις, -ιν. pl. μάντιες, -ίων ci.) *vates* 1) masc. Py. IV 190: μάντις ὀρνίχεσσι καὶ κλάροισι θεοπροπέων ἱεροῖς Μόψος. Ol. VI 13: μάντιν Οἰκλεΐδαν — Ἀμφιάρηον, cf. Ne. X 9. Ol. VI 17: ἀμφότερον μάντιν τ' ἀγαθὸν καὶ δουρὶ μάρνασθαι:

Amphiaraum. Ol. VI 50: *πέρι ϑνατῶν δ' ἔσεσθαι μάντιν ἐπιχϑονίοις ἔξοχον*: Iamum. Ol. XIII 74: *ἐπιχώριον μάντιν ἄσμενος εὗρεν*: Polyidum. fr. 102 (70): *ναοπόλον μάντιν δαπέδοισιν ὁμοκλέα*: Tenerum, Apollinis filium. fr. 75 (45), 13: *ἐν Ἀργείᾳ Νεμέᾳ μάντιν οὐ λανϑάνει φοίνικος ἔρνος*: „est sacerdos et augur Nemeaeus, qui sacram custodit palmam" Boeckh.; totum locum mutavit Bergkius scribens *ἐναργέ' ἀνέμων μαντήι' οὐ λανϑάνει*, „nam plane dici decebat, venti, qui veris est praenuntius, flamen percipi". fr. 192 (204): *Δελφοὶ ϑεμίστων ὕμνων μάντιες Ἀπολλωνίδαι* (*ὕμνων* del. Heynius). Py. XI 6: *Ἰσμήνιον δ' ὀνύμαξεν, ἀλαϑέα μαντίων ϑῶκον* (Herm., libri *μαντείων* v. *μαντεῖον*). add. *ἀνήρ* Is. V (VI) 51: *εἶπέν τε φωνήσας ἅτε μάντις ἀνήρ*: sc. Hercules. Ol. VIII 2: *Ὀλυμπία, δέσποιν' ἀλαϑείας, ἵνα μάντιες ἄνδρες ἐμπύροις τεκμαιρόμενοι παραπειρῶνται Διός*: Iamidae; etiam Clytiadas et Telliadas in Iovis ara oracula edidisse censet Muellerus Hist. Dor. I p. 253. — 2) fem. Py. XI 33: *μάντιν τ' ὄλεσσε κόραν*: Cassandram.

μαντοσύνα *vaticinatio* Ol. VI 66: *ἔνϑα οἱ* (Iamo) *ὤπασε ϑησαυρὸν δίδυμον μαντοσύνας*.

μᾱνύω *declaro, denuntio* Ol. VI 52: *ὣς ἄρα μάνυεν* (sc. Aepytus): *ἐδήλου*. Schol. Py. I 93: *ὀπιϑόμβροτον αὔχημα δόξας οἶον ἀποιχομένων ἀνδρῶν δίαιταν μανύει καὶ λογίοις καὶ ἀοιδοῖς*. Ne. IX 4: *ἐς ἅρμ' ἀναβαίνων ματέρι καὶ διδύμοις παίδεσσιν αὐδὰν μανύει*: „nuntiat cantum Chromius hoc ipso quod currum conscendit, quandoquidem nunc introitus sollemnis initium capit hymnusque sonare debet" Dissen. — met. Is. VII 55 (VIII 60): *οἷς δῶμα Φερσεφόνας μανύων Ἀχιλεύς*: h. e. occidens.

Μᾰρᾰϑών *Marathon* Ol. IX 89: *οἷον δ' ἐν Μαραϑῶνι συλαϑεὶς ἀγενείων μένεν ἀγῶνα πρεσβυτέρων ἀμφ' ἀργυρίδεσσιν*: *τοῖς ἐν Μαραϑῶνι ἐν τοῖς Ἡρακλείοις ἀγωνιζομένοις φιάλαι ἀργυραῖ δίδονται ἔπαϑλον*. Schol. Ol. XIII 110: *ἅ τ' Ἐλευσὶς καὶ λιπαρὰ Μαραϑών*. Py. VIII 79: *Μεγάροις δ' ἔχεις γέρας μυχῷ τ' ἐν Μαραϑῶνος*.

μαργόομαι *furioso impetu concitor* Ne. IX 19: *οὐδὲ Κρονίων ἀστεροπὰν ἐλελίξαις οἴκοϑεν μαργουμένους στείχειν ἐπώτρυν'*.

μάργος *vesanus*, met. Ol. II 106 (96): *ἀλλ' αἶνον ἐπέβα κόρος οὐ δίκᾳ συναντόμενος, ἀλλὰ μάργων ὑπ' ἀνδρῶν*.

μάρη fr. 310 (276): *μάρη γὰρ ἡ χεὶρ κατὰ Πίνδαρον, ὅϑεν καὶ εὐμαρές* (Schol. Hom. Il. ο 137).

μαρμᾰρίζω *fulguro* fr. 123 (88), 2: *τὰς δὲ Θεοξένου ἀκτῖνας προσώπου μαρμαριζοίσας δρακείς*.

μάρναμαι (praes. *μάρνασαι, -ται. μαρνάσϑω. μάρνασϑαι. μαρνάμενον -ένα, -ένων*) 1) *pugno* Py. VIII 43: *ὧδ' εἶπε μαρναμένων*: „absolute dictum: quum pugnarent" Dissen. Is. III 49 (IV 31): *ἔστιν δ' ἀφάνεια τύχας καὶ μαρναμένων, πρὶν τέλος ἄκρον ἱκέσϑαι*. Py. II 65: *ἐν ἱπποσόαισιν ἄνδρεσσι μαρνάμενον*. Ol. VI 17: *ἀμφότερον μάντιν τ' ἀγαϑὸν καὶ δουρὶ μάρνασϑαι*. Py. IX 21: *ἀκόντεσσίν τε χαλκέοις φασγάνῳ τε μαρναμένα κεράιζεν ἀγρίους ϑῆρας*. fr. 52 (24): *ἀμφιπόλοισι μαρνάμενον μοιριᾶν περὶ τιμᾶν ἀπολωλέναι* (sc. Neoptolemum). — 2) *certo, contendo*, incertaminibus Ne. V 47: *χαίρω δ' ὅτι ἐσλοῖσι μάρναται πέρι πᾶσα πόλις*. Is. IV (V) 54: *μαρνάσϑω τις ἔρδων ἀμφ' ἀέϑλοισιν γενεὰν Κλεονίκου ἐκμαϑών*. met. Ol. V 15: *αἰεὶ δ' ἀμφ' ἀρεταῖσι πόνος δαπάνα τε μάρναται πρὸς ἔργον κινδύνῳ κεκαλυμμένον*. Ne. I 25: *τέχναι δ' ἑτέρων ἕτεραι· χρὴ δ' ἐν εὐϑείαις ὁδοῖς στείχοντα μάρνασϑαι φυᾷ*. X 86: *εἰ δὲ κασιγνήτου πέρι μάρνασαι*: „sin pro fratre contendis" Dissen.

μάρπτω *corripio* manibus, c. acc. et gen. Ne. I 45: *δισσαῖσι δοιοὺς αὐχένων μάρψαις ἀφύκτοις χερσὶν ἑαῖς ὄφιας* (sc. Hercules). — met. *recipio, colligo* Ne. VI 13 (11): *τόκα δ' αὖτ' ἀναπαυσάμεναι σϑένος ἔμαρψαν* (sc. *ἄρουραι*): aor. gnomicus. *τὴν ἑαυτῶν δύναμιν ἀνέλαβον*. Schol.

μαρτῠρέω *testor* Ol. VI 21: *καὶ μέγαν ὅρκον ὀμόσσαις τοῦτό γέ οἱ σαφέως μαρτυρήσω*. ad res transfertur Ol. XIII 107: *ὅσα τ' Ἀρκὰς ἀνάσσων μαρτυρήσει Λυκαίου βωμὸς ἄναξ*. c. part. Is. IV (V) 48: *καὶ νῦν ἐν Ἄρει μαρτυρῆσαι κεν πόλις Αἴαντος*

ὀρθωθεῖσα ναύταις: „testari potest se servatam esse nautarum virtute" Dissen.

μαρτῠ́ριον *testimonium* Is. III 28 (IV 10): ὅσσα δ' ἐπ' ἀνθρώπους ἄηται μαρτύρια φθιμένων ζωῶν τε καὶ φωτῶν ἀπλέτου δόξας, ἐπέψαυσαν.

μάρτῠς (sg. μάρτυς, -υρ'. pl. μάρτυρες, -ας) m. f. *testis* Py. IV 167: καρτερὸς ὅρκος ἄμμιν μάρτυς ἔστω Ζεὺς ὁ γενέθλιος. I 88: πολλοὶ μάρτυρες ἀμφοτέροις πιστοί. Ne. VII 49: οὐ ψεῦδις ὁ μάρτυς: Neoptolemus, cf. tamen ὁ C) 2). Ol. IV 3: τεαὶ γὰρ ὧραι — μ' ἔπεμψαν ὑψηλοτάτων μάρτυρ' ἀέθλων: „quum poeta carmine testimonium dicat rebus gestis" Dissen. ἀντὶ τοῦ ὑμνητήν. Schol. — ad res transfertur Py. XII 27: πιστοὶ χορευτᾶν μάρτυρες: „testes et probatores (δοκιμασταὶ) chori dicuntur calami auletici, quod χορὸς ὑπ' αὐλῶν χορεύει" Dissen. Ne. III 23: ἥρως θεὸς ἃς ἔθηκε ναυτιλίας ἐσχάτας μάρτυρας κλυτάς: columnas Herculeas. Ol. I 35 (33): ἁμέραι δ' ἐπίλοιποι μάρτυρες σοφώτατοι: quippe veritatem rei vetustate obrutae aperientes.

μαστεύω, μᾰτεύω (praes. μαστεύει. μάτευε. ματεύειν, μαστευέμεν. aor. μάστευσε. ματεύσῃ) *quaero, peto, cupio* fr. 106 (73), 6: ἀπὸ — Σικελίας ὄχημα δαιδάλεον ματεύειν. Ne. III 31: οἴκοθεν μάτευε. Py. III 59: χρὴ τὰ ἐοικότα πὰρ δαιμόνων μαστευέμεν θναταῖς φρασίν. c. inf. Py. IV 35: ξένιον μάστευσε δοῦναι. Ne. VIII 43: μαστεύει δὲ καὶ τέρψις ἐν ὄμμασι θέσθαι πιστόν. Is. IV (V) 14: μὴ μάτευε Ζεὺς γενέσθαι. Ol. V 34: μὴ ματεύσῃ θεὸς γενέσθαι.

μάστιξ *flagellum*, met. Py. IV 219: πεθεινὰ δ' Ἑλλὰς αὐτὰν ἐν φρασὶ καιομέναν δονέοι μάστιγι Πειθοῦς: h. e. vi insuperabili.

μαστός *uber*, met. Py. IV 8: κτίσσειεν εὐάρματον πόλιν ἐν ἀργινόεντι μαστῷ: h. e. in colle.

μᾰ́ταιος *vanus, levis* Py. III 21: ἔστι δὲ φῦλον ἐν ἀνθρώποισι ματαιότατον, ὅστις αἰσχύνων ἐπιχώρια παπταίνει τὰ πόρσω, μεταμώνια θηρεύων ἀκράντοις ἐλπίσιν.

μᾰ́τᾱν *frustra* Ol. I 85 (83): τά κέ τις ἀνώνυμον γῆρας ἐν σκότῳ καθήμενος ἕψοι μάταν;

μᾰτεύω v. ***μαστεύω.***

μᾱ́τηρ (sg. μάτηρ, ματέρος, ματρός, ματέρι, ματρί, ματέρ(α), μᾶτερ) *mater* 1) hominum deorumve a) universe Py. IV 186: μή τινα λειπόμενον τὰν ἀκίνδυνον παρὰ ματρὶ μένειν αἰῶνα πέσσοντ'. VIII 85: οὐδὲ μολόντων πὰρ ματέρ' ἀμφὶ γέλως γλυκὺς ὦρσεν χάριν: „vides puerum fuisse Aristomenem" Dissen. Py. V 114: ἔν τε Μοίσαισι ποτανὸς ἀπὸ ματρὸς φίλας: a cunabulis; φύσει τέλειος ἦν κατ' ἀρετήν. Schol. fr. 61 (33): θνατᾶς δ' ἀπὸ ματρὸς ἔφυ (sc. ἀνήρ). — b) certa quaedam Ne. I 35: ἐπεὶ σπλάγχνων ὕπο ματέρος αὐτίκα θαητὰν ἐς αἴγλαν παῖς Διὸς ὠδῖνα φεύγων διδύμῳ σὺν κασιγνήτῳ μόλεν: Alcmenae. Ol. VI 56 (Euadne). I 47 (Euryanassa). Py. III 42 (Coronis). IX 61 (Cyrene). XI 37 (Clytaemnestra). XII 14 (Danae). Ne. X 81 (Leda). Ol. II 88 (80) (Thetis). Ne. IX 4: ματέρι καὶ διδύμοις παίδεσσιν: Latonae. Ne. X 18: Ἥβα τελείᾳ παρὰ ματέρι βαίνοισ' ἔστι: iuxta Iunonem. Ne. VI 2: ἓν ἀνδρῶν, ἓν θεῶν γένος· ἐκ μιᾶς δὲ πνέομεν ματρὸς ἀμφότεροι: dicitur Gaea s. Tellus, cf. Py. IV 74: μάντευμα — πὰρ μέσον ὀμφαλὸν εὐδένδροιο ῥηθὲν ματέρος: terrae. — accuratius significantur Py. IV 142: μία βοῦς Κρηθεῖ τε μάτηρ καὶ θρασυμήδεϊ Σαλμωνεῖ: Enarea. Py. VIII 98: Αἴγινα φίλα μᾶτερ. Ol. VII 38: Οὐρανὸς δ' ἔφριξέ νιν καὶ Γαῖα μάτηρ. Py. XI 4: σὺν Ἡρακλέος ἀριστογόνῳ ματρί. Is. IV (V) 1: μᾶτερ Ἀελίου πολυώνυμε Θεία. fr. 80: Κυβέλα μᾶτερ θεῶν. fr. 122 (87), 4: πολλάκι ματέρ' ἐρώτων οὐρανίαν πτάμεναι νόημα ποττὰν Ἀφροδίταν. fr. 95 (63), 2: Ματρὸς μεγάλας ὀπαδέ: Rheae, cf. fr. 79 (48), 4: μᾶτερ μεγάλα. Py. III 78: ἐπεύξασθαι μὲν ἐγὼν ἐθέλω Ματρί, τὰν κοῦραι παρ' ἐμὸν πρόθυρον σὺν Πανὶ μέλπονται θαμὰ σεμνὰν θεὸν ἐννύχιαι: „magnae Matri deorum, quam una cum Pane colebat Pindarus hereditario cultu in sacello ante aedes suas ab ipso dicato, ibique Parthenia cantata a virginibus Thebanis, inter quas Pindari filiae Eumetis et Protomache" Dissen. 2) met. de patria Is. I 1: μᾶτερ ἐμά, — Θήβα. Ol. IX 20: στεφάνων ἄωτοι κλυτὰν Λοκρῶν ἐπαείροντι ματέρ' ἀγλαόδενδρον: μητρόπολιν δὲ τὴν Ὀποῦντα τῶν Λοκρῶν λέγει. Schol.

Ol. VI 100: *ματέρ' εὐμήλοιο λείποντ' Ἀρκαδίας*: Stymphalum; *μητρόπολις δὲ Ἀρκαδίας ἡ Στύμφηλος*. Schol. Ol. VIII 1: *μᾶτερ ὦ χρυσοστεφάνων ἀέθλων, Ὀλυμπία*: „h. e. regio, ubi fiunt certamina" Dissen. — de origine Ne. III 1: *Μοῖσα, μᾶτερ ἁμετέρα*: „Musa enim alit poetam" Dissen. Ol. XIII 10: *ἀλέξειν ὕβριν, κόρου ματέρα θρασύμυθον*. fr. 107 (74), 1: *ἀκτὶς ἀελίου —, θοᾶν μᾶτερ ὀμμάτων* (Boissonad. et Bergk., libri *μ' ἄτερ*, Schneider. *μέτρον*, Boeckh. *μέτρ'*). Ne. V 6: *οὔπω γένυσι φαίνων τέρειναν ματέρ' οἰνάνθας ὀπώραν*: pubertas enim gignit lanuginem; aliter tamen Bergkius: „*ματέρ'* est *ματέρι*, vel potius ipsum *ματρὶ* restituendum, quod suaviter et *ἐν ἤθει* adiecit, cf. Py. VIII 85".

ματρᾰδελφεός *avunculus* Py. VIII 35: *παλαισμάτεσσι γὰρ ἰχνεύων ματραδελφεοὺς — Θεόγνητον οὐ κατελέγχεις*.

ματρόδοκος *a matre exceptus* Ne. VII 84: *λέγοντι γὰρ Αἰακόν νιν ὑπὸ ματροδόκοις γοναῖς φυτεῦσαι* (Tricl., vett. *ματροδόκοισι*).

ματρόθε(ν) *ex matre* Ol. VII 24: *τὰ μὲν γὰρ πατρόθεν ἐκ Διὸς εὔχονται· τὸ δ' Ἀμυντορίδαι ματρόθεν Ἀστυδαμείας*. Is. III 17: *ματρόθε Λαβδακίδαισιν σύννομοι*. Py. II 48: *ἀμφοτέροις ὁμοῖοι τοκεῦσι, τὰ ματρόθεν μὲν κάτω, τὰ δ' ὕπερθε πατρός*: materna.

ματρομάτωρ *avia materna*, met. Ol. VI 84: *ματρομάτωρ ἐμὰ Στυμφαλίς, εὐανθὴς Μετώπα, πλάξιππον ἃ Θήβαν ἔτικτεν*: *Θηβαῖος ὁ Πίνδαρος· διὸ καὶ τὴν Μετώπην μητρομήτορα καλεῖ, οἱονεὶ μητέρα τῆς μητρὸς αὐτοῦ Θήβης*. Schol.

ματρόπολις 1) *primaria urbs et quasi mater aliarum, Mutterstadt* Py. IV 20: *μεγαλᾶν πολίων ματρόπολιν Θήραν γενέσθαι*. — 2) *patria* Ne. V 8: *Αἰακίδας ἐγέραιρεν ματρόπολίν τε*: Aeginam. cf. *μάτηρ* 2).

ματροπόλος *matres curans* Py. III 9: *ματροπόλῳ σὺν Ἐλειθυίᾳ*.

ματρυιά *noverca* Py. IV 162: *ἐκ πόντου σαώθη ἔκ τε ματρυιᾶς ἀθέων βελέων*: „noverca Phrixi ex vulgari fabula Ino est, Pindaro in Hymnis Demodice domesticas Iolci fabulas secuto" Dissen.

μάτρως (sg. *μάτρως, -ωος, -ωι, -ῳ*. pl. *μάτρωες, ώων*) *consanguineus maternus*, *ὁ κατὰ μητέρα συγγενὴς* 1) avunculus Ne. IV 80: *μάτρῳ μ' ἔτι Καλλικλεῖ κελεύεις στάλαν θέμεν*. — 2) consobrinus Is. VI (VII) 24: *μάτρωι θ' ὁμωνύμῳ δέδωκε κοινὸν θάλος* (var. *μάτρῳ*): Strespiadae maiori, quem avunculum dicit Dissen. Ne. V 43: *τεὸς μάτρως — Πυθέας*: v. *Εὐθυμένης*. Is. V (VI) 62: *ἀγλαοὶ παῖδές τε καὶ μάτρως* (Schmid., libri *μάτρωες*): Euthymenes. — 3) avus maternus Ol. IX 63: *μάτρωος δ' ἐκάλεσσέ νιν ἰσώνυμον ἔμμεν*: Opuntis. — 4) maiores materni Ol. VI 77: *μάτρωες ἄνδρες*: sc. Agesiae, cuius mater ex Stymphaliis Iamidis fuisse videtur. Ne. X 37: *ἕπεται δέ, Θειαῖε, ματρώων πολυγνώτῳ γένει ὑμετέρων εὐάγων τιμά*. XI 37: *συμβαλεῖν μὰν εὔμαρὲς ἦν τό τε Πεισάνδρου πάλαι αἷμ' ἀπὸ Σπάρτας — καὶ παρ' Ἰσμηνοῦ ῥοᾶν κεκραμένον ἐκ Μελανίπποιο μάτρωος*: „mater gentis Pisandridarum fuit e Melanippidis" Dissen.

μαυρόω v. **ἀμαυρόω.**

μάχα (sg. *μάχα, -ας, -ᾳ, -αν*. pl. *μαχᾶν, -αις*) 1) *pugna, proelium* a) hominum deorumve Py. I 47: *ἐν πολέμοισι μάχαις*. Ol. II 48 (44): *νέοις ἐν ἀέθλοις ἐν μάχαις τε πολέμου τιμώμενος*. VIII 35: *ὀρνυμένων πολέμων πτολιπόρθοις ἐν μάχαις λάβρον ἀμπνεῦσαι καπνόν*. IX 40: *ἔα πόλεμον μάχαν τε πᾶσαν χωρὶς ἀθανάτων*. Py. X 42: *πόνων δὲ καὶ μαχᾶν ἄτερ*. Ol. XIII 57: *ἐπ' ἀμφότερα μαχᾶν τάμνειν τέλος*. X 15: *τράπε δὲ καὶ Κύκνεια μάχα καὶ ὑπέρβιον Ἡρακλῆα*. Py. I 77: *ἐν Σπάρτᾳ δ' ἐρέω πρὸ Κιθαιρῶνος μάχαν*. Is. VII 53 (VIII 57): *μάχας ἐναριμβρότου ἔργον ἐν πεδίῳ κορύσσοντα*. Ne. I 67: *ὅταν θεοὶ ἐν πεδίῳ Φλέγρας Γιγάντεσσιν μάχαν ἀντιάζωσιν*. VII 42: *ἵνα κρεῶν νιν ὕπερ μάχας ἔλασεν ἀντιτυχόντ' ἀνὴρ μαχαίρᾳ*. VII 27: *κράτιστον Ἀχιλέος ἄτερ μάχᾳ*: dicit Aiacem. Py. VIII 27: *ἐν ἀέθλοις θρέψαισα καὶ θοαῖς ὑπερτάτους ἥρωας ἐν μάχαις*. Is. IV (V) 35: *σὺν μάχαις δὶς πόλιν Τρώων πράθον*. Ne. IX 34: *παρὰ πεζοβόαις ἵπποις τε ναῶν τ' ἐν μάχαις*. — b) cum bestiis Ne. I 43: *πειρᾶτο δὲ πρῶτον μάχας*: sc. Hercules infans cum serpentibus. Ne. III 46: *μάχᾳ λεόντεσ-*

σιν ἀγροτέροις ἔπρασσεν φόνον. — 2) *certamen* Ol. VIII 58: καὶ Νεμέᾳ γὰρ ὁμῶς ἐρέω ταύταν χάριν, τὰν δ' ἔπειτ' ἀνδρῶν μάχαν, ἐκ παγκρατίου (Christ. μαχᾶν ἐκ). — 3) *rixa* fr. 180 (172), 2: κέντρον δὲ μάχας ὁ κρατιστεύων λόγος.

μᾰ́χαιρα 1) *culter* Ol. I 50 (49): ὕδατος ὅτι σε πυρὶ ζέοισαν εἰς ἀκμὰν μαχαίρᾳ τάμον κατὰ μέλη. Ne. VII 42: ἵνα κρεῶν νιν ὕπερ μάχας ἔλασεν ἀντιτυχόντ' ἀνὴρ μαχαίρᾳ. Py. IV 242: ἔνθα νιν (vellus arietis) ἐκτάνυσαν Φρίξου μάχαιραι. — 2) *ensis* Ne. IV 59: τᾷ Δαιδάλου δὲ μαχαίρᾳ φύτευέ οἱ θάνατον ἐκ λόχου Πελίαο παῖς: „h. e. subducto praeclaro ense, quem Vulcanus Peleo fabricaverat; hunc abdiderat Acastus, ut Peleus eum quaerens in Pelio monte a Centauris occideretur" Dissen.

μᾱχᾰνά (sg. μαχανᾷ, -άν. pl. μαχαναί, -αῖς) *rei perficiendae ratio et facultas* Py. I 41: ἐκ θεῶν γὰρ μαχαναὶ πᾶσαι βροτέαις ἀρεταῖς. VIII 75: βίον κορυσσέμεν ὀρθοβούλοισι μαχαναῖς. III 62: μή, φίλα ψυχά, βίον ἀθάνατον σπεῦδε, τὰν δ' ἔμπρακτον ἄντλει μαχανάν. III 109: τὸν δ' ἀμφέποντ' αἰεὶ φρασὶν δαίμον' ἀσκήσω κατ' ἐμὰν θεραπεύων μαχανάν: pro mea facultate. de arte poetica Py. VIII 34: τεὸν χρέος, ὦ παῖ, νεώτατον καλῶν, ἐμᾷ ποτανὸν ἀμφὶ μαχανᾷ. Ne. VII 22: ψεύδεσί οἱ (Ulixi) ποτανᾷ τε μαχανᾷ (sc. Homeri) σεμνὸν ἔπεστί τι.

μᾰχᾱτάς *bellicosus*, *fortis* Is. VI (VII) 31: μαχατὰν αἰνέων Μελέαγρον. Ne. II 13: Σαλαμίς γε θρέψαι φῶτα μαχατὰν δυνατός. Ne. IX 26: πρὶν νῶτα τυπέντα μαχατὰν θυμὸν αἰσχυνθῆμεν.

μαψῠλᾰ́κας *blatero* Ne. VII 105: ταὐτὰ δὲ τρὶς τετράκι τ' ἀμπολεῖν ἀπορία τελέθει, τέκνοισιν ἅτε μαψυλάκας, Διὸς Κόρινθος (Bergk. c. Schneidero praefert μαψυλάκαις).

ΜΑΩ, pf. **μέμαα** *peto*, *cupio*, c. inf. Ne. I 43: τέκνοισιν ὠκείας γνάθους ἀμφελίξασθαι μεμάῶτες (sc. δράκοντες). c. dat. Ol. I 92 (89): τέκε τε λαγέτας ἓξ ἀρεταῖσι μεμᾱότας υἱοὺς (vett. et schol., recc. μεμαλότας): ἐπιθυμοῦντας τῆς ἀρετῆς καὶ ταύτης ἀντεχομένους. Schol.; praeferunt tamen Boeckh. Dissen. Bergk. μεμαλότας: „virtutibus tanquam Nymphis nutricibus dilectos et ab iis quasi altos" Boeckh. ἀνδραγαθίαις ἐν φροντίδι ὄντας. Schol.

Μεγᾱκλέης *Megacles* Atheniensis, ex celeberrima Alcmaeonidarum gente, Hippocratis aut Clisthenis filius, cui curru victori Py. 28 sive Ol. 76, 3 carmen Py. VII scriptum est; Py. VII 15: ἄγοντι δέ με πέντε μὲν Ἰσθμοῖ νῖκαι, μία δ' ἐκπρεπὴς Διὸς Ὀλυμπιάς, δύο δ' ἀπὸ Κίρρας, ὦ Μεγακλέες, ὑμαί τε καὶ προγόνων.

μεγᾰλᾱνορία *magnum v. audax consilium* Ne. XI 44: τὸ δ' ἐκ Διὸς ἀνθρώποις σαφὲς οὐχ ἕπεται τέκμαρ· ἀλλ' ἔμπαν μεγαλανορίαις ἐμβαίνομεν ἔργα τε πολλὰ μενοινῶντες (var. μεγαλανορίαις, μεγαλονορίην).

μεγαλάνωρ 1) *superbus* Py. I 52: σὺν δ' ἀνάγκᾳ νιν φίλον καί τις ἐὼν μεγαλάνωρ ἔσανεν: „intelligendi Cumaei sunt, qui legatis ad Hieronem missis auxilium ab eo impetrarunt hoc ipso odae anno Ol. 76, 3" Boeckh. — 2) *magnos et fortunatos reddens viros* fr. 109 (228), 3: τὸ κοινόν τις ἀστῶν ἐν εὐδίᾳ τιθεὶς ἐρευνασάτω μεγαλάνορος Ἀσυχίας τὸ φαιδρὸν φάος.

μεγάλαυχος *magniloquus*, *superbus* Py. VIII 15: βία δὲ καὶ μεγάλαυχον ἔσφαλεν ἐν χρόνῳ.

μεγαλήτωρ *magnanimus* Is. IV (V) 35: ἀλλ' ἐν Οἰνώνᾳ μεγαλήτορες ὀργαὶ Αἰακοῦ παίδων τε: sc. coluntur.

μεγαλόδοξος *gloriosus* Ol. IX 16: ἃν (Opuntem) Θέμις θυγάτηρ τέ οἱ σώτειρα λέλογχεν μεγαλόδοξος Εὐνομία: λέγει δέ, ὅτι ἡ Ὀποῦς εὐνομίᾳ καὶ δικαιοσύνῃ χαίρει. Schol.

μεγαλοκευθής *magnos recessus habens*, *spatiosus* Py. II 33: μεγαλοκευθέεσσιν ἔν ποτε θαλάμοις Διὸς ἄκοιτιν ἐπειρᾶτο.

μεγαλόπολις *magna urbs* Py. II 1: μεγαλοπόλιες ὦ Συράκοσαι: permagnae enim Syracusae, quum essent proprie quinque urbes Ortygia, Achradina, Neapolis, Epipolae, Tycha. Py. VII 1: αἱ μεγαλοπόλιες Ἀθᾶναι.

μεγαλοσθενής *validus*, *praepotens* Py. VI 21: τά ποτ' ἐν οὔρεσι φαντὶ μεγαλοσθενεῖ Φιλύρας υἱὸν ὀρφανιζομένῳ Πηλεΐδᾳ παραινεῖν (Bergk. μεγαλοσθενῆ). Ne. VII 2: παῖ μεγαλοσθενέος, ἄκουσον, Ἥρας.

μεγάνωρ *superbus* Ol. I 2: ὁ δὲ χρυσὸς αἰθόμενον πῦρ ἅτε διαπρέπει

νυκτὶ μεγάνορος ἔξοχα πλούτου: „quod quae res superbos magnificosque reddit, poetica translatione ipsa superbit“ Boeckh.

Μεγάρα *Megara*, Creontis Thebani filia Is. III 82 (IV 64): ὀκτὼ θανόντων, τοὺς Μεγάρα τέκε οἱ (Herculi) Κρεοντὶς υἱούς.

Μέγαρα *Megara* urbs, ubi agebantur Dioclea, Pythia, Nemea, Alcathoia; Ol. VII 87: ἐν Μεγάροισίν τ᾽ οὐχ ἕτερον λιθίνα ψᾶφος ἔχει λόγον: κατὰ τὰ Μέγαρα ἔθος ἐστὶ τῶν νικηφόρων τὰ ὀνόματα λίθοις ἐγκολάπτεσθαι. Schol. Ol. XIII 109: Πέλλανά τε καὶ Σικυὼν καὶ Μέγαρ᾽ Αἰακιδᾶν τ᾽ εὐερκὲς ἄλσος: sc. testabuntur victorias. Py. VIII 78: Μεγάροις δ᾽ ἔχεις γέρας (Bergk., vulg. ἐν Μεγάροις). Ne. III 84: ἀεθλοφόρου λήματος ἕνεκεν Νεμέας Ἐπιδαυρόθεν τ᾽ ἀπὸ καὶ Μεγάρων δέδορκεν φάος.

μέγαρον (sg. μεγάρῳ, -ον. pl. μεγάρων) *domus*, *aedes* Py. IV 134: ἦλθον Πελία μέγαρον. IV 280: τὸ κλεεννότατον μέγαρον Βάττου. Ol. VI 2: χρυσέας ὑποστάσαντες εὐτειχεῖ προθύρῳ θαλάμου κίονας, ὡς ὅτε θαητὸν μέγαρον, πάξομεν: παραβάλλει δὲ προπυλαίῳ μὲν τὸ προοίμιον, τῷ δὲ ὅλῳ οἴκῳ τὸν ὕμνον. Schol. Ol. XIII 62: ἐν ἄστεϊ Πειράνας σφετέρου πατρὸς ἀρχὰν καὶ βαθὺν κλᾶρον ἔμμεν καὶ μέγαρον. Ne. I 31: οὐκ ἔραμαι πολὺν ἐν μεγάρῳ πλοῦτον κατακρύψαις ἔχειν. plur. pro sing. Py. IX 29: αὐτίκα δ᾽ ἐκ μεγάρων Χείρωνα προσέννεπε φωνᾷ: v. προσεννέπω.

μέγας (sg. m. μέγας, -αν. f. μεγάλας, -ᾳ, -αν, -α. n. μέγα. pl. m. μεγάλοι, -ων. f. μεγάλαι, -ᾶν, -αις, -ας. n. μεγάλων, -οις, -α. — comp. sg. f. μείζων, -ω. pl. n. μείζονα. superl. sg. m. μεγίστῳ, -ον. f. μεγίσταν. n. μέγιστον. pl. m. μέγιστοι. f. μεγίσταις) *magnus* 1) de mensura Py. V 89: κτίσεν δ᾽ ἄλσεα μείζονα θεῶν. altus fr. 101 (70), 2: σκοπιαῖσιν μεγάλαις ὀρέων ὕπερ ἔστα. fr. 196 (209): λιπαρᾶν τε Θηβᾶν μέγαν σκόπελον. Py. IV 264: μεγάλας δρυός. — 2) met. valens, potens Is. V (VI) 50: ἀρχὸν οἰώνων μέγαν αἰετόν. Ol. VII 34: θεῶν βασιλεὺς ὁ μέγας: Iuppiter, cf. Ol. X 45: πατρὶ μεγίστῳ. fr. 79 (48), 4: μᾶτερ μεγάλα: Rhea, cf. fr. 95 (63), 2 et fr. 96 (66): μεγάλας θεοῦ. fr. 132 (97): μάκαρα μέγαν. Ne. IV 27: τὸν μέγαν πολεμιστὰν ἔκπαγλον Ἀλκυονῆ. Ne. IX 17: Δαναῶν ἔσσαν μέγιστοι λαγέται (Bergk. Δ. τὰ πρῶτ᾽ ἔγεντ᾽ Ἀδραστίδαι). fr. 133 (98), 4: σοφίᾳ τε μέγιστοι ἄνδρες. Py. V 122: Διὸς — νόος μέγας. Ol. IX 61: σπέρμα μέγιστον. Py. III 86: ὁ μέγας πότμος. — Ne. II 8: ταῖς μεγάλαις — Ἀθάναις. Py. IV 48: μεγάλας — Λακεδαίμονος. IV 19: μεγαλᾶν πολίων ματρόπολιν. V 16: βασιλεὺς ἐσσὶ μεγαλᾶν πολίων. Ne. VII 33: παρὰ μέγαν ὀμφαλὸν εὐρυκόλπου — χθονός. — ingens, vehemens Py. IX 30: μεγάλαν δύνασιν. IV 75: ἐν φυλακᾷ σχεθέμεν μεγάλᾳ. Ol. I 83 (81): ὁ μέγας δὲ κίνδυνος. Ne. I 70: καμάτων μεγάλων ποινάν, cf. Py. V 47. Is. VII (VIII) 5: ἐκ μεγάλων δὲ πενθέων. Py. III 24: τοιαύταν μεγάλαν ἀάταν. Ol. I 57 (56): μέγαν ὄλβον. Py. VIII 89: ἁβρότατος ἐπὶ μεγάλας. Is. I 63: εὐθυμίαν μείζω. Py. VIII 64: τὸ μὲν μέγιστον — χαρμάτων. Ne. VIII 25: μέγιστον — γέρας. Ol. VIII 10: μέγα τοι κλέος αἰεί. Is. VI (VII) 29: μέγιστον κλέος. Py. II 89: μέγα κῦδος. IV 148: μεγάλαν προγόνων τιμάν. IV 278: τιμὰν μεγίσταν. Ne. VII 12: ταὶ μεγάλαι — ἀλκαί. Ol. VIII 5: μεγάλαν ἀρετάν, cf. Ol. XI 6. Py. V 98. IX 76. Ne. VI 54 (47). Is. III 4. fr. 205 (221). Ne. I 34: ἐν κορυφαῖς ἀρετᾶν μεγάλαις. I 6: αἶνον ἀελλοπόδων μέγαν ἵππων. Ol. X 73: θόρυβον — μέγαν. VII 53: σοφία μείζων. VI 20: μέγαν ὅρκον, cf. VII 65. — neutr. sg. pro adv. Ne. III 40: εὐδοξίᾳ μέγα βρίθει: multum, vehementer. — magnificus, altus, gravis Ne. VI 5: μέγαν νόον. Ol. VI 69: τεθμόν τε μέγιστον ἀέθλων. III 21: μεγάλων ἀέθλων, cf. Ne. I 11. Py. X 24: τὰ μέγιστ᾽ ἀέθλων. Ol. V 5: ἑορταῖς θεῶν μεγίσταις. Ne. III 44: ἄθυρε μεγάλα ἔργα. Py. I 87: μέγα τοι φέρεται πὰρ σέθεν, ubi opp. φλαῦρον. Ne. VI 31 (27): μέγα εἰπών. malo sensu Ol. II 25 (23): ἔπαθον αἳ μεγάλα: gravia mala. cum vituperatione dictum Ne. V 14: αἰδέομαι μέγα εἰπεῖν: facinus malum et audax, sc. necem Phoci. Ne. X 64: μέγα ἔργον ἐμήσαντ᾽ ὠκέως καὶ πάθον δεινόν. — de hominibus Py. III 107:

σμικρὸς ἐν σμικροῖς, μέγας ἐν μεγάλοις ἔσσομαι. Ol. I 116 (113): ἐπ' ἄλλοισι δ' ἄλλοι μεγάλοι.

Μέγᾱς *Meges* Aegineta, pater Dinidis Ne. VIII 16: Δείνιος δισσῶν σταδίων καὶ πατρὸς Μέγα Νεμεαῖον ἄγαλμα. VIII 44: ὦ Μέγα, τὸ δ' αὖτις τεὰν ψυχὰν κομίξαι οὔ μοι δυνατόν.

μεγασθενής *magnis viribus praeditus, potens* Ol. I 25: μεγασθενὴς — Γαιάοχος. fr. 57 (29): Δωδωναῖε μεγάσθενες. Is. IV (V) 2: μεγασθενῆ νόμισαν χρυσὸν ἄνθρωποι περιώσιον ἄλλων.

μεγαυχής *gloriosus* Ne. XI 21: πάλᾳ καὶ μεγαυχεῖ παγκρατίῳ (Schmid., libri μεγαλαυχεῖ).

μεγιστόπολις *urbes maxime augens* Py. VIII 2: φιλόφρον Ἁσυχία, Δίκας ὦ μεγιστόπολι θύγατερ: ὅτι μεγίστας ἀποτελεῖ τὰς πόλεις ἀστασιάστους οὔσας. Schol.

μεδέων *imperans, dominus* Ol. VII 88: ὦ Ζεῦ πάτερ, νώτοισιν Ἀταβυρίου μεδέων. fr. 95 (63): ὦ Πάν, Ἀρκαδίας μεδέων.

Μέδοισα *Medusa*, Phorci filia, Gorgo a Perseo necata Py. XII 16: εὐπαράου κρᾶτα συλάσαις Μεδοίσας υἱὸς Δανάας. Ne. X 4: μακρὰ μὲν τὰ Περσέος ἀμφὶ Μεδοίσας Γοργόνος.

μεθέπω *persequor, sector* Ol. III 31: τὰν (ἔλαφον) μεθέπων. met. Py. II 37: νεφέλᾳ παρελέξατο ψεῦδος γλυκὺ μεθέπων. Ne. VI 15 (13): ταύταν μεθέπων Διόθεν αἶσαν: „a venatione petita metaphora, quam ostendit sequens κυναγέτας“ Dissen. Ne. VI 65 (57): ἑκόντι δ' ἐγὼ νώτῳ μεθέπων δίδυμον ἄχθος ἄγγελος ἔβαν: h. e. subiens; μεταφορᾷ κέχρηται τῇ τῶν ὑποζυγίων. Schol.

μεθομήρεος *comes* fr. 47 (18): Πίνδαρος δὲ ἐν Ὕμνοις ἐρίφων μεθομήρεον, οἷον ὁμοῦ καὶ μετ' αὐτῶν πορευόμενον (Et. M. 821, 59 et Gud. 578, 42): „videtur Pan esse“ Boeckh. μεθομήρεα scribi iubet Bergk.

μεθύω *ebrius aestuo, insanio*, met. fr. 128 (90): Χάριτάς τ' Ἀφροδισίων ἐρώτων, ὄφρα σὺν χειμάρρῳ (Bergk. Χιμάρῳ) μεθύων Ἀγάθωνί τε καλῷ κότταβον (Boeckh. e coni. μεθύω).

μειλίχιος *suavis, comis, blandus* Py. IV 128: μειλιχίοισι λόγοις αὐτοὺς Ἰάσων δέγμενος. IV 240: μειλιχίοις τε λόγοις ἀγαπάζοντ' (var. ποικιλίοις).

μείλιχος *suavis, comis* Ol. I 31 (30): χάρις δ', ἅπερ ἅπαντα τεύχει τὰ μείλιχα θνατοῖς. Py. VIII 97: λαμπρὸν φέγγος ἔπεστιν ἀνδρῶν καὶ μείλιχος αἰών. IX 43: καὶ γὰρ σὲ (Apollinem) — ἔτραπε μείλιχος ὀργὰ παρφάμεν τοῦτον λόγον: „die heitere Laune“ Mezger. „comis autem mitisque deus Apollo“ Boeckh.

μείς, μήν *mensis* Ne. V 44: ἁ Νεμέα μὲν ἄραρεν μείς τ' ἐπιχώριος, ὃν φίλησ' Ἀπόλλων: ὁ Δελφίνιος μὴν καλούμενος (apud Aeginetas), καθ' ὃν τελεῖται Ἀπόλλωνος ἀγὼν Ὑδροφόρια καλούμενος. Schol. Ol. XIII 37: μηνὸς — τωὐτοῦ: eodem mense; videtur autem tempus Munychionis Attici intelligendum. Ol. VI 32: κυρίῳ δ' ἐν μηνί: v. κύριος. Is. III 36 (IV 18): μετὰ χειμέριον ποικίλων μηνῶν ζόφον χθὼν ὥτε φοινικέοισιν ἄνθησεν ῥόδοις δαιμόνων βουλαῖς (Bergk. c. Hartungio ποικίλα): gen. pendet a subst. ζόφον.

μείων v. **μικρός.**

μέλᾱθρον *aedicula, thesaurus* Py. V 40: τοῦ σφ' ἔχει κυπαρίσσινον μέλαθρον ἀμφ' ἀνδριάντι σχεδόν.

Μέλαμπος *Melampus*, Amythaonis filius Py. IV 126: ταχέως δ' Ἄδματος ἷκεν καὶ Μέλαμπος εὐμενέοντες ἀνεψιόν (Iasonem).

μελάμφυλλος *nigra fronde cinctus* Py. I 27: Αἴτνας ἐν μελαμφύλλοις δέδεται κορυφαῖς καὶ πέδῳ.

Μελάνιππος *Melanippus* Astaci filius, heros Thebanus, qui Tydeum vulneravit in bello Argivo; Ne. XI 37: (αἷμα) παρ' Ἰσμηνοῦ ῥοᾶν κεκραμένον ἐκ Μελανίπποιο μάτρωος: v. μάτρως.

μελαντειχής *nigris muris exstructus v. vinctus* Ol. XIV 20: μελαντειχέα νῦν δόμον Φερσεφόνας ἔλθ', Ἀχοῖ (vett. μελαντείχεα v. μελεντείχεα, Boeckh. μελανοτειχέα): τὸν σκοτεινόν. Schol.

μέλας (sg. m. μέλανι. f. μελαίνας, -αν. n. μέλαν. pl. f. μέλαιναι) *niger, ater* Ol. IX 50: χθόνα μὲν κατακλύσαι μέλαιναν. Ne. IX 39: μέλαιναι καρπὸν ἔδωκαν ἄρουραι. Is. VII 50 (VIII 55): Τηλέφου μέλανι ῥαίνων φόνῳ πεδίον. Ol. I 70 (68): λάχναι νιν μέλαν γένειον ἔρεφον: „h. e. ut nigresceret“ Dissen.; per prolepsin dictum. fr. 142 (106): ἐκ μελαίνας νυκτὸς ἀμίαντον ὄρσαι φάος. Ne. VII

3: *οὐ φάος, οὐ μέλαιναν δρακέντες εὐφρόναν.* — met. Py. XI 56: *μέλανος ὁ δ' ἐσχατιὰν καλλίονα θανάτου τέτμεν.* fr. 225 (247): *ὁπόταν θεὸς ἀνδρὶ χάρμα πέμψῃ, πάρος μέλαιναν κραδίαν ἐστυφέλιξεν*: tristem. fr. 123 (88), 4: *ἐξ ἀδάμαντος ἢ σιδάρου κεχάλκευται μέλαιναν καρδίαν*: „dicit ferum et immitem animum" Dissen.

Μελέᾱγρος *Meleager,* Oenei filius, celeberrimus pugna adversus Curetes, ubi occubuit; Is. VI (VII) 32: *μαχατὰν αἰνέων Μελέαγρον.* fr. 249 (153) v. Ἡρακλέης.

μελέτα (sg. *μελέτα, -ᾳ, -αν.* pl. *μελέταις*) *cura, studium, meditatio* Ol. VI 37: *ἐν θυμῷ πιέσαις χόλον οὐ φατὸν ὀξείᾳ μελέτᾳ*: studiose. Ne. VI 62 (56): *ἕπομαι δὲ καὶ αὐτὸς ἔχων μελέταν.* Is. V (VI) 66: *μελέταν ἔργοις ὀπάζων.* Ol. IX 107: *μία δ' οὐχ ἅπαντας ἄμμε θρέψει μελέτα.* Is. IV (V) 28: *μελέταν δὲ σοφισταῖς Διὸς ἕκατι πρόσβαλον σεβιζόμενοι*: meditationis curam; *παρέσχοντο τὴν τῶν ἐγκωμίων φροντίδα.* Schol. Ol. XIV 18: *Λυδίῳ γὰρ Ἀσώπιχον ἐν τρόπῳ ἐν μελέταις τ' ἀείδων ἔμολον*: „de meditatione carminis conficiendi et canendi" Boeckh.; carmen ipsum intellegi vult Dissen.

μέλημα *res grata, cura, deliciae* fr. 217 (237): *γλυκύ τι κλεπτόμενον μέλημα Κύπριδος*: „gratia, φιλοτήσιον ἔργον" Dissen. de persona Py. X 59: *Ἱπποκλέαν ἔτι καὶ μᾶλλον σὺν ἀοιδαῖς ἕκατι στεφάνων θαητὸν ἐν ἅλιξι θησέμεν ἐν καὶ παλαιτέροις, νέαισίν τε παρθένοισι μέλημα.* fr. 95 (63), 2: *ματρὸς μεγάλας ὀπαδέ, σεμνᾶν Χαρίτων μέλημα τερπνόν*: dicitur Pan ob musicae amorem.

Μελησίας *Melesias* Atheniensis, praeclarus alipta, qui et ipse bis vicit Nemeae lucta puer, deinde vir pancratio; Ol. VIII 54: *Μελησίᾳ ἐξ ἀγενείων κῦδος ἀνέδραμον ὕμνῳ κτλ.* Ne. VI 74 (65): *δελφῖνί κεν τάχος δι' ἅλμας εἰκάζοιμι Μελησίαν χειρῶν τε καὶ ἰσχύος ἁνίοχον.* IV 93: *οἷον αἰνέων κε Μελησίαν ἔριδα στρέφοι.*

μελησίμβροτος *qui curae v. cordi est mortalibus, carus mortalibus* Py. IV 15: *ἀστέων ῥίζαν φυτεύσεσθαι μελησίμβροτον*: dicit Cyrenas.

μέλι *mel* Ne. VIII 53: *κόρον δ' ἔχει καὶ μέλι καὶ τὰ τέρπν' ἄνθε' Ἀφροδίσια.* met. de carminis laudibus Is. IV (V) 54: *ἐν δ' ἐρατεινῷ μέλιτι καὶ τοιαῖδε τιμαὶ καλλίνικον χάρμ' ἀγαπάζοντι*: „hymnum dulci melle tinctum" Dissen. Ol. X 98: *κλυτὸν ἔθνος Λοκρῶν ἀμφέπεσον μέλιτι εὐάνορα πόλιν καταβρέχων.* Ne. III 77: *ἐγὼ τόδε τοι πέμπω, μεμιγμένον μέλι λευκῷ σὺν γάλακτι, — πόμ' ἀοίδιμον Αἰολῇσιν ἐν πνοαῖσιν αὐλῶν*: „mel Graeci iniicere solebant lacti" Leutsch.

Μελία *Melia*, Oceani filia, quae Ismenum et Tenerum Apollini peperit; Py. XI 4: *ἴτε — πὰρ Μελίαν χρυσέων ἐς ἄδυτον τριπόδων θησαυρόν.* fr. 29 (5): *Ἰσμηνὸν ἢ χρυσαλάκατον Μελίαν — ὑμνήσομεν.*

μελιᾱδής *mellis suavitatem habens, mellitus* fr. 166 (147): *ῥιπὰν μελιαδέος οἴνου.* met. Py. IX 37: *ἐκ λεχέων κεῖραι μελιαδέα ποίαν* (var. *μελιηδέα*).

μελιγᾱθής *mellis suavitate delectans*, met. fr. 198 (211): *μελιγαθὲς ἀμβρόσιον ὕδωρ Τιλφώσσας ἀπὸ καλλικράνου.*

μελίγᾱρυς *mellisonus, suave sonans* Ol. XI 4: *μελιγάρυες ὕμνοι*, cf. Py. III 64. Is. II 3: *μελιγάρυας ὕμνους.* Ne. III 4: *μελιγαρύων τέκτονες κώμων.*

μελίγδουπος *mellisonus* Ne. XI 18: *μελιγδούποισι δαιδαλθέντα μελιζέμεν ἀοιδαῖς* (var. *μελισδούποισι*).

μελίζω *cantu celebro* Ne. XI 18: *καὶ μελιγδούποισι δαιδαλθέντα μελιζέμεν ἀοιδαῖς* (sc. *νιν χρεών*).

Μελικέρτας *Melicertes*, Inus filius fr. 5 (1), 3: *Σίσυφον κέλοντο ᾧ παιδὶ τηλέφαντον ὄρσαι γέρας ἀποφθιμένῳ Μελικέρτᾳ.* In eodem carmine Proteae, ut ait Bergkius, Aeginetae scripto Melicertem *Ἀθαμαντιάδαν* a Pindaro dictum esse tradidit Apoll. Dysc. de Synt. II 21 p. 156.

μελίκομπος *mellisonus* Is. II 32: *οὔτε κώμων — ἐρατῶν, οὔτε μελικόμπων ἀοιδᾶν.*

μελίρροθος *mellistrepus, mellifluus* fr. 246 (286): *μελιρρόθων δ' ἕπεται πλόκαμοι*: sc. *ἀνθέων* sec. Boeckh., *ὕμνων* sec. Bergk.

μέλισσα (sg. *μέλισσα, -ας.* pl. *μελισσᾶν, -αις*) *apis* Py. X 54: *ἄωτος ὕμνων ἐπ' ἄλλοτ' ἄλλον ὥτε μέλισσα θύνει λόγον.* VI 54: *γλυκεῖα δὲ φρὴν καὶ συμπόταισιν ὁμιλεῖν μελισσᾶν ἀμείβεται τρητὸν πόνον.* Ol. VI 47: *ἐθρέψαντο δράκοντες ἀμεμφεῖ ἰῷ με-*

λισσᾶν: respici morem Graecorum infantes melle alendi atque etiam ad vaticinium spectare mellis usum docet Boeckh. sec. Schneiderum. fr. 123 (88), 9: κηρὸς ὣς δαχθεὶς ἕλᾳ ἱρᾶν μελισσᾶν τάκομαι (Bergk., libri ἑλεηρὰν μέλισσαν). — de feminis Py. IV 60: χρησμὸς ὤρθωσεν μελίσσας Δελφίδος: h. e. sacerdotis. fr. 158 (129): ταῖς ἱεραῖσι μελίσσαις τέρπεται: „Melissas maxime Cereris et Magnae matris ac Proserpinae cultrices sociasque fuisse omnia docent“ Boeckh.

Μέλισσος *Melissus*, Telesiadae filius, Thebanus e gente Cleonymidarum, cui post victoriam Nemeaeam curulem Isthmiis pancratio victori carmen Is. III scriptum est fort. Ol. 75, 2; Is. III 9: ἔστι δὲ καὶ διδύμων ἀέθλων Μελίσσῳ μοῖρα πρὸς εὐφροσύναν τρέψαι γλυκεῖαν ἦτορ. III 20 (IV 2): ὦ Μέλισσ᾽, εὐμαχανίαν γὰρ ἔφανας Ἰσθμίοις ὑμετέρας ἀρετὰς ὕμνῳ διώκειν. III 62 (IV 44): ἅψαι πυρσὸν ὕμνων καὶ Μελίσσῳ, παγκρατίου στεφάνωμ᾽ ἐπάξιον, ἔρνεϊ Τελεσιάδα.

μελισσότευκτος *ab apibus confectus* fr. 152 (266): μελισσοτεύκτων κηρίων ἐμὰ γλυκερώτερος ὀμφά.

μελῐτόεις *mellitus*, met. Ol. I 101 (98): ὁ νικῶν δὲ λοιπὸν ἀμφὶ βίοτον ἔχει μελιτόεσσαν εὐδίαν ἀέθλων γ᾽ ἕνεκεν.

μελίφθογγος *mellisonus, dulcisonus* Ol. VI 21: μελίφθογγοι δ᾽ ἐπιτρέψοντι Μοῖσαι. Is. II 7: μελιφθόγγου ποτὶ Τερψιχόρας (Heyn. et Boeckh., libri μελίφθογγοι). Is. V (VI) 9: μελιφθόγγοις ἀοιδαῖς.

μελῐφρων *mellitus, dulcis*, met. Ne. VII 11: εἰ δὲ τύχῃ τις ἔρδων, μελίφρον᾽ αἰτίαν ῥοαῖσι Μοισᾶν ἐνέβαλε. fr. 122 (87), 11: μελίφρονος ἀρχὰν εὑρόμενον σκολίου.

μέλλω (praes. μέλλεις, -ει. μέλλων, -οντα, -ον, -οντες, -όντων. ipf. μέλλεν) 1) *in eo est ut, in animo habeo*, c. inf. praes. Ol. VIII 64: τίς τρόπος ἄνδρα προβάσει ἐξ ἱερῶν ἀέθλων μέλλοντα ποθεινοτάταν δόξαν φέρειν. aoristi Ol. VII 61: μνασθέντι δὲ Ζεὺς ἄμπαλον μέλλεν θέμεν. VIII 32: Ἰλίῳ μέλλοντες ἐπὶ στέφανον τεῦξαι (recc. τεύξειν). — 2) *constitutum est* a fato ut faciam aliquid, c. inf. aor. Py. IX 52: καὶ μέλλεις ὑπὲρ πόντου Διὸς ἔξοχον ποτὶ κᾶπον ἐνεῖκαι. itaque: *futurum est* ut fiat aliquid Py. IX 48: χὤ τι μέλλει χὠπόθεν ἔσσεται εὖ καθορᾷς. imprimis participium Ol. VII 40: μέλλον ἔντειλεν φυλάξασθαι χρέος: proxime futurum. Ne. VII 17: σοφοὶ δὲ μέλλοντα τριταῖον ἄνεμον ἔμαθον. de tempore solutionis in posterum promissae Ol. X 7: ἕκαθεν γὰρ ἐπελθὼν ὁ μέλλων χρόνος ἐμὸν καταίσχυνε βαθὺ χρέος: ὁ ἀποκείμενος, ὁ συμπεφωνημένος. Schol. neutr. c. artic. Ol. II 62 (56): οἶδεν τὸ μέλλον. XII 9: τῶν δὲ μελλόντων τετύφλωνται φραδαί.

μέλος (sg. μέλος, -ει, -ος. pl. μελέων, -η) 1) *membrum* corporis hominum vel animalium Py. III 48: χαλκῷ μέλη τετρωμένοι. Ne. XI 15: θνατὰ μεμνάσθω περιστέλλων μέλη. fr. 131 (96), 4: εὕδει δὲ (sc. αἰῶνος εἴδωλον) πρασσόντων μελέων. Ol. I 50 (49): μαχαίρᾳ τάμον κατὰ μέλη (Pelopem). Ne. I 47: ἀγχομένοις δὲ (sc. serpentibus) χρόνος ψυχὰς ἀπέπνευσεν μελέων ἀφάτων. — 2) *carmen, cantus, modus* a) hominum Py. II 4: ὔμμιν τόδε — φέρων μέλος ἔρχομαι ἀγγελίαν τετραορίας. II 68: τόδε — μέλος ὑπὲρ πολιᾶς ἁλὸς πέμπεται. Ne. IV 15: τῷδε μέλει κλιθείς. Ol. X 3: γλυκὺ γὰρ αὐτῷ μέλος ὀφείλων ἐπιλέλαθ᾽. Py. V 107: ἔχοντα Πυθωνόθεν τὸ καλλίνικον λυτήριον δαπανᾶν μέλος χαρίεν. Ne. IV 45: ἐξύφαινε, γλυκεῖα, καὶ τόδ᾽ αὐτίκα, φόρμιγξ, Λυδίᾳ σὺν ἁρμονίᾳ μέλος. Ol. II 52 (47): ἐγκωμίων τε μελέων λυρᾶν τε τυγχανέμεν. Ne. I 7: ἐγκώμιον ζεῦξαι μέλος. Is. V (VI) 2: δεύτερον κρατῆρα Μοισαίων μελέων κίρναμεν. Ol. X 84: μολπὰ πρὸς κάλαμον ἀντιάξει μελέων. fr. 75 (45), 19: ἀχεῖ τ᾽ ὀμφαὶ μελέων σὺν αὐλοῖς. fr. 97 (64): τὸ σαυτῷ μέλος γλάζεις. fr. 177 (167): τροχὸν μέλος. fr. 67 (40): Δώριον μέλος: h. e. harmonia. met. Ne. VII 69: εἰ πὰρ μέλος ἔρχομαι: „citra iustum modum, h. e. inconcinna ac dissona loqui“ Dissen. „gegen des Liedes Brauch“ Mezger. — c. gen. Ol. IX 1: τὸ μὲν Ἀρχιλόχου μέλος φωνᾶεν Ὀλυμπίᾳ. — b) instrumentorum Py. XII 19: παρθένος αὐλῶν τεῦχε πάμφωνον μέλος. fr. 235 (259), 3: τὸν μὲν — αὐλῶν ἐκίνησ᾽ ἐρατὸν μέλος.

μέλπω, μέλπομαι 1) *canto* Py. III 90: οἴτε καὶ χρυσαμπύκων μελπο-

μενᾶν ἐν ὄρει Μοισᾶν καὶ ἐν ἑπταπύλοις ἅιον Θήβαις. Ne. I 20: ἔσταν — καλὰ μελπόμενος. — 2) *cantu celebro* Py. III 78: Ματρί, τὰν κοῦραι παρ' ἐμὸν πρόθυρον σὺν Πανὶ μέλπονται θαμὰ σεμνὰν θεὸν ἐννύχιαι. fr. 75 (45), 11: γόνον ὑπάτων μὲν πατέρων μελπέμεν γυναικῶν τε Καδμειᾶν ἔμολον (Boeckh., libri μέλπε v. μέλπομεν).

μέλω *sum curae v. carus* Ol. X 14: μέλει τέ σφισι Καλλιόπα καὶ χάλκεος Ἄρης (var. μέλλει). fr. 155 (127), 3: φίλος δὲ Μοίσαις, Εὐθυμίᾳ τε μέλων εἴην (Casaub., v. μελῶν). Is. VII (VIII) 15: χρὴ δ' ἀγαθὰν ἐλπίδ' ἀνδρὶ μέλειν. (de Ol. I 92 (89) v. ΜΑΩ.)

Μέμνων *Memnon*, rex Aethiopum, occisus ab Achille Is. IV (V) 41: τίνες Ἕκτορα πέφνον καὶ στράταρχον Αἰθιόπων ἄφοβον Μέμνονα χαλκοάραν. cf. Py. VI 32. Ne. VI 57 (50): καὶ ἐς Αἰθίοπας Μέμνονος οὐκ ἀπονοστάσαντος ἐπᾶλτο (sc. Achilles). III 63: ὅπως σφίσι (Aethiopibus) μὴ κοίρανος ὀπίσω πάλιν οἴκαδ' ἀνεψιὸς ζαμενὴς Ἑλένοιο Μέμνων μόλοι. Is. VII 54 (VIII 58): Μέμνονός τε βίαν.

μεμπτός *qui reprehendi potest, vituperabilis* fr. 220 (241): τῶνδε γὰρ οὔτε τι μεμπτὸν οὔτ' ὦν μεταλλακτόν.

μέμφομαι *reprehendo, vitupero, obtrecto*, c. acc. Ne. VII 64: ἐὼν δ' ἐγγὺς Ἀχαιὸς οὐ μέμψεταί μ' ἀνήρ. I 24: λέλογχε δὲ μεμφομένοις ἐσλοὺς ὕδωρ καπνῷ φέρειν ἀντίον. Py. XI 53: μέμφομ' αἶσαν τυραννίδων. Is. II 20: οὐκ ἐμέμφθη ῥυσίδιφρον χεῖρα πλαξίπποιο φωτός: „er hatte nicht zu tadeln" Mezger.

μέν part. quum nihil fere differat a part. μάν, non raro propriam suam servat vim atque est 1) confirmativa: *certe, vero, profecto, equidem*, et maxime quidem priora spectat pronomini demonstrativo (v. relat.) apposita, interdum ut iis quae modo dicta sunt absolutis iam ad nova fiat transitus; Ol. I 77 (75): τῷ μὲν εἶπε. XIII 60: τοῖσι μὲν ἐξεύχετ' ἐν ἄστεϊ Πειράνας σφετέρου πατρὸς ἀρχάν. Py. IV 154: τὰ μὲν ἄνευ ξυνᾶς ἀνίας λῦσον ἄμμιν. Ol. I 89 (87). VII 32. XI 8. Py. III 8. 72. IV 53. 174. IX 18. X 11. Is. III 79 (IV 61). V (VI) 47. VII 24 (VIII 25). VII 38 (VIII 42). VII 56 (VIII 62). VII 65 (VIII 71). add. ὦν Py. III 82. Is. III 25 (IV 7). praeterea νῦν μέν Ol. VIII 65. τότε μέν Ne. IX 11. σάμερον μέν Py. IV 1. μάλα μέν Ne. X 54. δύο μέν Ne. VI 69 (61). ἐν μέν Ne. VIII 49 („suspectum" Bergk.). ἐπέγνω μέν Py. IV 279. ἐπεύξασθαι μὲν ἐγών Py. III 77. γε μέν Ol. XII 5. Py. IV 50. Ne. III 83. X 33. — 2) sententiae affirmatae si altera sententia opponitur, part. μέν fit concessiva: *certe, quidem*, maximeque ei respondet a) part. δέ; sic opponuntur inter se ὁ μὲν — ὁ δέ Py. IV 179: τὸν μὲν Ἐχίονα, — τὸν δ' Ἔρυτον. Ol. XIII 58: τοὶ μὲν γένει φίλῳ σὺν Ἀτρέος Ἑλέναν κομίζοντες, οἱ δ' ἀπὸ πάμπαν εἴργοντες. Py. III 51: τοὺς μὲν μαλακαῖς ἐπαοιδαῖς ἀμφέπων, τοὺς δὲ προσανέα πίνοντας, ἢ γυίοις περάπτων πάντοθεν φάρμακα, τοὺς δὲ τομαῖς ἔστασεν ὀρθούς. Ol. VI 37. VII 23. Py. II 48. 65. III 97. VI 43. XI 63. XII 32. Ne. I 41. VI 4. VII 55. VIII 34. X 55. XI 29. Is. II 1. V (VI) 37. fr. 129 (95), 4. 139, 5. — Ol. VII 49: ὁ μὲν — αὐτὰ δέ. Ne. VIII 3: τὸν μὲν — ἕτερον δέ. Is. VII 19 (VIII 21): τὰν μὲν — σὲ δ'. II 1: οἱ μὲν πάλαι — νῦν δ'. Py. IV 86: τὸν μὲν οὐ γίνωσκον· ὀπιζομένων δ' ἔμπας τις εἶπεν καὶ τόδε. Ol. I 80 (73). VI 41. 44. Py. IV 66. 93. 120. V 15. VIII 64. Ne. III 43. VIII 42. Is. VII 35 (VIII 38). fr. 1 (4), 4. aliis additur pronominibus fr. 218 (239), 4: ὃς μὲν — τοὶ δ' αὖ. Ol. I 86 (84): ἐμοὶ μὲν — τὺ δέ. VIII 16. fr. 79 (48), 3. add. ὦν Ol. I 114 (111). Ne. VII 85: ἐμᾷ μὲν — σέο δ'. Py. IV 116: τούτων μὲν — λευκίππων δέ. Ne. VI 61 (53). Py. II 67. VIII 55. Ne. I 62. praeterea inter se opponuntur Ol. XIII 14: πολλὰ μὲν — πολλὰ δ', cf. Py. IX 123. Ne. XI 6. Ne. IX 43: πολλὰ μὲν — τὰ δέ. Is. III 7: χρὴ μὲν — χρὴ δέ. fr. 137 (102): οἶδε μὲν — οἶδε δέ. Ne. X 87: ἥμισυ μὲν — ἥμισυ δ'. XI 3: εὖ μὲν — εὖ δ'. VI 12 (10): τόκα μὲν — τόκα δ' αὖτ'. Ol. VI 66: τόκα μὲν — εὖτ' ἂν δέ. VIII 38: οἱ δύο μὲν — εἷς δ', cf. Py. VII 13. Ne. X 27. Ol. VII 73. Ne. X 83: εἰ μὲν — εἰ δέ. IX 8: ἀνὰ μὲν — ἀνὰ δ', cf. Is. IV (V) 30. saepius etiam dissimilia vocabula aut eius-

dem generis aut diversi Ol. II 3: *Πίσα μὲν — Ὀλυμπιάδα δ'*. Py. I 3: *ἀκούει μὲν — πείθονται δέ*. Ol. III 42: *ἀριστεύει μὲν ὕδωρ, κτεάνων δὲ χρυσὸς αἰδοιέστατον*. IX 48: *αἴνει δὲ παλαιὸν μὲν οἶνον, ἄνθεα δ' ὕμνων νεωτέρων*. XII 11: *ἔμπαλιν μὲν — οἱ δέ*. XIII 52: *Σίσυφον μὲν — τὰ δὲ καί*. Py. I 21: *ἐρεύγονται μὲν — κεῖνο δ'*. Ne. X 90: *ἀνὰ δ' ἔλυσεν μὲν — ἔπειτα δέ*. Ol. I 1. 13. II 27 (25). 53 (48). 63 (57). 71 (65). VII 64. VIII 67. IX 107. X 45. Py. I 26. 30. 46. 76. II 15. 63. IV 125. 264 (ci.). 283. V 25. 94. 109. VI 23. VIII 25. 70. IX 118. XI 1. Ne. I 26. 43. II 14. III 6. IV 95. VII 37. VIII 24. IX 28. 39. 48. X 4. Is. I 30. II 41. III 68 (IV 50). V (VI) 71. VI (VII) 25. VII (VIII) 12. fr. 81 (49), 2. 106 (73), 1. 119 (84), 3. 123 (88), 1. 129 (95), 1. 131 (96), 2. 154 (126), 3. 166 (147), 2. 171 (157). 221 (242), 1. add. *ὦν* fr. 42 (171), 3. part. *δέ* deesse videtur Ne. V 25. — ceterum v. quae dicta sunt s. *δέ*. — b) aliae respondent particulae: *μὲν — ἀλλά* Ol. IX 50: *λέγοντι μὰν χθόνα μὲν κατακλύσαι μέλαιναν ὕδατος σθένος, ἀλλὰ Ζηνὸς τέχναις ἀνάπωτιν ἐξαίφνας ἄντλον ἑλεῖν*. Py. I 22: *ἁμέραισιν μὲν — ἀλλ' ἐν ὄρφναισιν*. Ol. IX 1. X 85. Py. I 55. IV 139. 272. Ne. II 19. Is. IV (V) 46. add. *ὦν* Py. III 47. — *μὲν — ἀτάρ* Py. IV 168. — *μὲν — αὖτε* Py. II 89. Is. V (VI) 3 (Boeckh. *αὖτις*, Bergk. *αὖ*). — *μὲν — γε μάν* Ol. XIII 104. — *μὲν — καί* Py. II 58: *πρύτανι κύριε πολλᾶν μὲν εὐστεφάνων ἀγυιᾶν καὶ στρατοῦ*. Ol. III 19. fr. 172 (158)? — *μὲν — τε* Ne. V 44: *ἁ Νεμέα μὲν ἄραρεν μείς τ' ἐπιχώριος*. Ol. VI 88: *πρῶτον μὲν — γνῶναι τ' ἔπειτ'*. VII 88: *τίμα μὲν — δίδοι τε*. III 6. VII 12. 69. Py. II 31. IV 249. VI 39. XI 31. 46 (Bergk. bis *τε*). Ne. II 9. VII 86. VIII 30. Is. I 14. II 37. fr. 75 (45), 11. add. *ἄρα* Ol. X 52. sequuntur aliae particulae: *μὲν — τε — τε* Ol. VI 4. *μὲν — τε — καί* Ol. IV 12 (16). *μὲν — καὶ — τε* Ne. XI 11. *μὲν — τε — τε — καί* Ol. V 11 (aliter Bergk., v. *κολλάω*). — Restant denique nonnulla fragmenta, in quibus quid valeat part. *μέν* diiudicari non possit: fr. 30 (6), 1. 79 (47), 1. 82 (50). 92 (93). 112 (78). 139, 1. 161 (134). 188 (190). 189 (197). 224 (246). 235 (259), 2. 242.

Μένανδρος *Menander* Atheniensis, alipta Pytheae Ne. V 48: *ἴσθι, γλυκεῖάν τοι Μενάνδρου σὺν τύχᾳ μόχθων ἀμοιβὰν ἐπαύρεο*.

Μένδης *Mendes*, urbs Aegyptiaca fr. 201 (215): *Αἰγυπτίαν Μένδητα, πὰρ κρημνὸν θαλάσσας ἔσχατον Νείλου κέρας, αἰγιβάται ὅθι τράγοι γυναιξὶ μίσγονται*: non ad mare sitam fuisse urbem Mendetem, sed in magna planitie tradit Aristides II, p. 360. „nempe Pindarus Aegyptum non accurate noverat" Boeckh.

Μενέλας *Menelaus*, frater Agamemnonis Ne. VII 28: *ξανθῷ Μενέλᾳ δάμαρτα κομίσαι*.

μενοινάω *molior, nitor, gestio* Ne. XI 45: *μεγαλανορίαις ἐμβαίνομεν ἔργα τε πολλὰ μενοινῶντες*. c. inf. aor. Ol. I 60 (58): *λίθον, τὸν αἰεὶ μενοινῶν κεφαλᾶς βαλεῖν εὐφροσύνας ἀλᾶται*. Py. I 43: *ἄνδρα δ' ἐγὼ κεῖνον αἰνῆσαι μενοινῶν*.

Μενοίτιος *Menoetius*, Actoris et Aeginae filius, pater Patrocli Ol. IX 70: *υἱὸν δ' Ἄκτορος ἐξόχως τίμασεν ἐποίκων Αἰγίνας τε Μενοίτιον*.

μένος 1) *robur, vis* Ol. VIII 70: *πατρὶ δὲ πατρὸς ἐνέπνευσεν μένος γήραος ἀντίπαλον*. de sole fr. 129 (95), 1: *τοῖσι λάμπει μὲν μένος ἀελίου*. — 2) *ira* Py. III 32: *πέμψεν κασιγνήταν* (Dianam) *μένει θύοισαν ἀμαιμακέτῳ ἐς Λακέρειαν*.

μένω (praes. *μένει, -οντ'. μένειν, μένων*. ipf. *μένεν*. aor. *ἔμειν'. μεῖναι. μείναντες*) *maneo* 1) intr. eodem loco quo antea versor v. dego Py. IV 33: *νόστου πρόφασις γλυκεροῦ κώλυεν μεῖναι*. c. praep. et adv. Py. IV 186: *παρὰ ματρὶ μένειν*. Ne. III 43: *μένων Φιλύρας ἐν δόμοις*. Ol. II 76 (69): *ἐστρὶς ἑκατέρωθι μείναντες*. — aucta vi: consisto, persto Py. VI 38: *αὐτοῦ μένων ὁ θεῖος ἀνήρ*: non cedens. Ne. VI 5: *ὁ δὲ χάλκεος ἀσφαλὲς αἰὲν ἕδος μένει οὐρανός*. met. c. praep. Py. I 64: *αἰεὶ μένειν τεθμοῖσιν ἐν Αἰγιμιοῦ*. — 2) trans. exspecto Ne. III 4: *ὕδατι γὰρ μένοντ' ἐπ' Ἀσωπίῳ μελιγαρύων τέκτονες κώμων νεανίαι*: „dicta ob carmen diu dilatum" Dissen. sequ. acc. c. inf. Py. III 16: *οὐκ ἔμειν' ἐλθεῖν τράπεζαν νυμφίαν* (sc. Coronis). met. Is. VI (VII) 48: *τὸ δὲ πὰρ δίκαν γλυκὺ πικροτάτα μένει*

τελευτά. — certamen exspecto et sustineo Ol. IX 90: μένεν ἀγῶνα πρεσβυτέρων.

μέριμνα (sg. μέριμναν. pl. μέριμναι, [-ᾶν,] -αισιν, -αις) *cura* 1) studium rerum laudabilium, imprimis ad victorias ludicras pertinentium Ol. I 111 (108): θεὸς ἐπίτροπος ἐὼν τεαῖσι μήδεται ἔχων τοῦτο κᾶδος, Ἱέρων, μερίμναισιν. II 60 (54): ὁ μὰν πλοῦτος ἀρεταῖς δεδαιδαλμένος φέρει τῶν τε καὶ τῶν καιρόν, βαθεῖαν ὑπέχων μέριμναν ἀγροτέραν, quem locum ad 2) refert Mezger. Py. VIII 92: ὁ δὲ καλόν τι νέον λαχὼν ἁβρότατος ἐπὶ μεγάλας ἐξ ἐλπίδος πέταται ὑποπτέροις ἀνορέαις, ἔχων κρέσσονα πλούτου μέριμναν. Ne. III 69: βοὰ δὲ νικαφόρῳ σὺν Ἀριστοκλείδᾳ πρέπει, ὃς τάνδε νᾶσον εὐκλέι προσέθηκε λόγῳ καὶ σεμνὸν ἀγλααῖσι μερίμναις Πυθίου Θεάριον. fr. 227 (250): νέων δὲ μέριμναι σὺν πόνοις εἱλισσόμεναι δόξαν εὑρίσκοντι. — 2) sollicitudo Is. VII (VIII) 13: ἀλλά μοι δεῖμα μὲν παροιχόμενον καρτερὰν ἔπαυσε μέριμναν (Mezger. c. Oehlschlaegero δειμάτων παροιχομένων, Bergk. ἀλλ' ἔμ' οὐ . . . καρτερᾶν ἔπαυσε μεριμνᾶν). fr. 218 (239): ἁνίκ' ἀνθρώπων καματώδεες οἴχονται μέριμναι στηθέων ἔξω. 248 (124): ἀντιταττόμενον τῷ Λυσίῳ θεῷ, λύοντι τὸ τῶν δυσφόρων σχοινίον μεριμνῶν κατὰ Πίνδαρον (Plut. de adul. et amic. c. 27), ubi Nauck. coni. δυσφρόνων σκύνιον μεριμνᾶν.

ἔναι' ἔτι Χείρων. XII 3: ἅτ' ὄχθαις ἔπι μηλοβότου ναίεις Ἀκράγαντος ἐύδματον κολώναν. XI 36: Στρόφιον — Παρνασοῦ πόδα ναίοντ'. Ne. X 84: εἰ — Οὔλυμπον θέλεις ναίειν (add. Boeckh., in libris deest; οἰκεῖν Benedictus e schol.). — de deo regionis alicuius praeside Ol. V 17: Ζεῦ, Κρόνιόν τε ναίων λόφον τιμῶν τ' Ἀλφεόν. — b) met. insum fr. 123 (88), 10: ἐν δ' ἄρα καὶ Τενέδῳ Πειθώ τε ναίει καὶ Χάρις υἱὸν Ἀγησίλα (Schneider., libri τ' ἔναιε, Bergk. τε νεὸν κ. Χ. υἱὸν ἀνᾶγ' Ἀγησίλα). — 2) aor. *facio ut habitet quis, constituo* Py. V 71: ᾧ καὶ Λακεδαίμονι ἐν Ἄργει τε καὶ ζαθέᾳ Πύλῳ ἔνασσεν ἀλκάεντας Ἡρακλέος ἐκγόνους.

νάκος *vellus* Py. IV 68: ἀπὸ δ' αὐτὸν ἐγὼ Μοίσαισι δώσω καὶ τὸ πάγχρυσον νάκος κριοῦ.

Νάξιος *Naxius* Is. V (VI) 73: φαίης κέ νιν ἄνδρ' ἐν ἀεθληταῖσιν ἔμμεν Ναξίαν πέτραις ἐν ἄλλαις χαλκοδάμαντ' ἀκόναν: νομίζονται διαφορώταται τῶν ἄλλων ἀκονῶν αἱ κατὰ τὴν ἐν Κρήτῃ Νάξον. Schol. fr. 23: ἀμεύσεσθαι Νάξιον Τίσανδρον (Eust. Pr. 21).

Νάξος *Naxus* insula Py. IV 88: ἐν δὲ Νάξῳ φαντὶ θανεῖν λιπαρᾷ Ἰφιμεδείας παῖδας.

νᾱοπόλος *templum curans* fr. 102 (70): ναοπόλον μάντιν δαπέδοισιν ὁμοκλέα: Tenerum.

νᾱός (sg. ναοῦ, -όν. pl. ναοῖσιν) *templum* Py. III 27: ἐν δ' ἄρα μηλοδόκῳ Πυθῶνι τόσσαις ἄιεν ναοῦ βασιλεὺς Λοξίας. IV 55: τὸν μὲν πολυχρύσῳ ποτ' ἐν δώματι Φοῖβος ἀμνάσει θέμισσιν Πύθιον ναὸν καταβάντα: acc. termini. Py. VIII 62: τὺ δ', ἑκαταβόλε, πάνδοκον ναὸν εὐκλέα διανέμων Πυθῶνος ἐν γυάλοις. add. gen. Is. III 72 (IV 54): κρανίοις ὄφρα ξένων ναὸν Ποσειδάωνος ἐρέφοντα σχέθοι. Ol. XIII 21: θεῶν ναοῖσιν οἰωνῶν βασιλέα δίδυμον ἐπέθηκ'.

νάπα *saltus, vallis* Is. III 12: τὰ δὲ κοίλᾳ λέοντος ἐν βαθυστέρνῳ νάπᾳ κάρυξε Θήβαν ἱπποδρομίᾳ κρατέων: in Nemeaea valle. Py. VI 9: Ξενοκράτει ἑτοῖμος ὕμνων θησαυρὸς ἐν πολυχρύσῳ Ἀπολλωνίᾳ τετείχισται νάπᾳ: Delphis; Boeckhius autem sec. schol. mediam urbis partem intellegit p. 286, quum urbs tres partes habuerit, superiorem, inferiorem, mediam, quae proprie Νάπη dicta. Ceterum de eodem loco poetam in Paeanibus locutum esse tradit Schol. ad l. l.

νάπος *saltus, vallis* Is. VII 63 (VIII 68): Ἴσθμιον ἂν νάπος Δωρίων ἔλαχεν σελίνων. Py. V 38: ἄγων Κρισαῖον λόφον ἄμειψεν ἐν κοιλόπεδον νάπος θεοῦ: „in planitiem dei (Apollinis) deducens, ad hippodromum in certamen" Dissen.

νᾱσιώτας *insularis* Py. IX 55: ἐπὶ λαὸν ἀγείραις νασιώταν ὄχθον ἐς ἀμφίπεδον: v. λαός. plur. pro subst. Py. X 47: ἤλυθε νασιώταις λίθινον θάνατον φέρων (sc. Perseus): Seriphiis.

νᾶσος (sg. νᾶσος, -ῳ, -ον) *insula* vocatur Aegina Py. VIII 24: ἁ δικαιόπολις ἀρεταῖς κλειναῖσιν Αἰακιδᾶν θιγοῖσα νᾶσος. Ne. III 3: ἵκεο Δωρίδα νᾶσον Αἴγιναν. V 15: πῶς δὴ λίπον εὐκλέα νᾶσον, cf. VI 53 (46): νᾶσον εὐκλέα τάνδε κοσμεῖν. Is. IV (V) 44: τοῖσιν Αἴγιναν προφέρει στόμα πάτραν διαπρεπέα νᾶσον. Ne. III 68. Is. V (VI) 21. Is. VII 21 (VIII 23): σὲ δ' ἐς νᾶσον Οἰνοπίαν φέρων ἐκοιμᾶτο: vetus Aeginae nomen. — Leuce Ne. IV 50: ἐν δ' Εὐξείνῳ πελάγει φαεννὰν Ἀχιλεὺς νᾶσον (sc. ἔχει): „insula parva ad Istri ostia, Achilli sacra, qui ibi templum habebat; probabiliter coniecit Muellerus Aeginet. p. 84 haec sacra a nautis Aegineticis instituta esse" Dissen. — Rhodus Ol. VII 18: Ἀσίας εὐρυχόρου τρίπολιν νᾶσον πέλας ἐμβόλῳ ναίοντας. VII 57: οὔπω — φανερὰν ἐν πελάγει Ῥόδον ἔμμεν ποντίῳ, ἁλμυροῖς δ' ἐν βένθεσιν νᾶσον κεκρύφθαι. VII 70: βλάστε μὲν ἐξ ἁλὸς ὑγρᾶς νᾶσος. — Sicilia Ne. I 13: σπεῖρέ νυν ἀγλαΐαν τινὰ νάσῳ, τὰν Ὀλύμπου δεσπότας Ζεὺς ἔδωκεν Φερσεφόνᾳ. — Thera Py. IV 7: ἱερὰν νᾶσον — λιπών. IV 42. 52. IV 259: ἔν ποτε Καλλίσταν ἀπῴκησαν χρόνῳ νᾶσον: „hoc nomen habuit ante Therae et Minyarum adventum" Dissen. — insula beatorum v. Elysium Ol. II 78 (71): ἔνθα μακάρων νᾶσον ὠκεανίδες αὖραι περιπνέοισιν (var. νᾶσος v. νάσος h. e. νάσους).

ναυᾱγία *naufragium,* met. Is. I 36: ἄρουραν, ἅ νιν ἐρειπόμενον ναυαγίαις ἐξ ἀμετρήτας ἁλὸς ἐν κρυοέσσᾳ δέξατο συντυχίᾳ (Bergk. ex Schmidii emend. ναυαγίοις).

ναῦς (sg. νᾱός, -ί, ναῦν. pl. νᾶες,

-ῶν, -εσσι, ναυσί(ν)) *navis* Py. IV 185: ἡμιθέοισιν πόθον ἔνδαιεν Ἥρα ναὸς Ἀργοῦς. Ol. XIII 54: ναΐ σώτειραν Ἀργοῖ καὶ προπόλοις. Py. IV 25: ἄγκυραν ποτὶ χαλκόγενυν ναΐ κρημνάντων ἐπέτοσσε, θοᾶς Ἀργοῦς χαλινόν. IV 230: βασιλεύς, ὅστις ἄρχει ναός: Argus. IV 245: δράκοντος —, ὃς πάχει μάκει τε πεντηκόντορον ναῦν κράτει: Argo intellegit Boeckh. Py. I 74: οἷα Συρακοσίων αρχῷ δαμασθέντες πάθον (sc. Etrusci et Carthaginienses), ὠκυπόρων ἀπὸ ναῶν ὅ σφιν ἐν πόντῳ βάλεθ' ἁλικίαν. Ol. VII 32: τῷ μὲν (Tlepolemo) ὁ Χρυσοκόμας εὐώδεος ἐξ ἀδύτου ναῶν πλόον εἶπε (Bergk. νωμᾶν πλόον). Py. IV 164: ὀτρύνει με τεύχειν ναΐ πομπάν. Ne. VII 29: ὃν — θοαῖς ἂν ναυσὶ πόρευσεν εὐθυπνόου Ζεφύροιο πομπαὶ πρὸς Ἴλου πόλιν. Py. IV 56: νάεσσι πολεῖς ἀγαγεῖν Νείλοιο πρὸς πῖον τέμενος Κρονίδα. V 87: τοὺς Ἀριστοτέλης ἄγαγε ναυσὶ θοαῖς ἁλὸς βαθεῖαν κέλευθον ἀνοίγων. Is. V (VI) 30: τὸν — ἄγε — ἐς Τρωίαν — ἐν ναυσὶν Ἀλκμήνας τέκος. Py. III 68: καί κεν ἐν ναυσὶν μόλον Ἰονίαν τέμνων θάλασσαν. Ne. IX 34: παρὰ πεζοβόαις ἵπποις τε ναῶν τ' ἐν μάχαις. Py. IV 207: δεσπόταν λίσσοντο ναῶν: Neptunum. — Ol. XII 4: τὶν γὰρ ἐν πόντῳ κυβερνῶνται θοαὶ νᾶες, ubi de mercatura cogitandum; cf. fr. 221 (242), 3: τέρπεται δὲ καί τις ἔπι (φρασὶν) οἶδμ' ἐνάλιον ναΐ θοᾷ σῶς διαστείβων. Is. IV (V) 5: καὶ γὰρ ἐριζόμεναι νᾶες ἐν πόντῳ καὶ ὑφ' ἅρμασιν ἵπποι — θαυμασταὶ πέλονται. — haud raro in sententiis et comparationibus Ol. VI 101: ἀγαθαὶ δὲ πέλοντ' ἐν χειμερίᾳ νυκτὶ θοᾶς ἐκ ναὸς ἀπεσκίμφθαι δύ' ἄγκυραι. VI 63 (55): τὸ δὲ πὰρ ποδὶ ναὸς ἑλισσόμενον αἰεὶ κυμάτων λέγεται παντὶ μάλιστα δονεῖν θυμόν. Py. X 29: ναυσὶ δ' οὔτε πεζὸς ἰὼν ἂν εὕροις ἐς Ὑπερβορέων ἀγῶνα θαυματὰν ὁδόν. Ol. VI 10: ἀκίνδυνοι δ' ἀρεταὶ οὔτε παρ' ἀνδράσιν οὔτ' ἐν ναυσὶ κοίλαις τίμιαι. fr. 234 (258): ὑφ' ἅρμασιν ἵππος, ἐν δ' ἀρότρῳ βοῦς· παρὰ ναῦν δ' ἰθύει τάχιστα δελφίς. Ol. IX 24: καὶ ἀγάνορος ἵππου θᾶσσον καὶ ναὸς ὑποπτέρου παντᾷ ἀγγελίαν πέμψω. met. Ne. IV 70: ἀπότρεπε αὖτις Εὐρώπαν ποτὶ χέρσον ἔντεα ναός.

ναυσῐκλῠτός *navibus inclutus v. insignis* fr. 1 (4), 1: κλεινὸς Αἰακοῦ λόγος, κλεινὰ δὲ καὶ ναυσικλυτὸς Αἴγινα. Ne. V 9: τάν ποτ' εὔανδρόν τε καὶ ναυσικλυτὰν θέσσαντο: sc. Aeginam.

ναυσίστονος *navibus lacrimabilis* Py. I 72: ναυσίστονον ὕβριν ἰδὼν τὰν πρὸ Κύμας.

ναυσιφόρητος *navibus portatus v. vectus* Py. I 33: ναυσιφορήτοις δ' ἀνδράσι πρῶτα χάρις ἐς πλόον ἀρχομένοις πομπαῖον ἐλθεῖν οὖρον.

ναυστολέω *navi veho*, met. Ne. VI 37 (32): παλαίφατος γενεά, ἴδια ναυστολέοντες ἐπικώμια: „qui navem habent propriis mercibus onustam, ut non opus sit aliena bona conquirere ad explendam eam; dictio accommodata Aeginetarum studiis nauticis et mercatoriis" Dissen.

ναύτας *nauta*, de Argonautis Py. IV 12: εἶπε δ' οὕτως ἡμιθέοισιν Ἰάσονος αἰχματᾶο ναύταις. IV 188: ἐς δὲ Ἰωλκὸν ἐπεὶ κατέβα ναυτᾶν ἄωτος, λέξατο πάντας ἐπαινήσαις Ἰάσων. dicuntur classiarii Is. IV (V) 48: καὶ νῦν ἐν Ἄρει μαρτυρῆσαι κεν πόλις Αἴαντος ὀρθωθεῖσα ναύταις ἐν πολυφθόρῳ Σαλαμὶς Διὸς ὄμβρῳ. (de Ol. X 9 v. ἀνήρ.)

ναυτῐλία *navigatio* Py. IV 70: τίς γὰρ ἀρχὰ δέξατο ναυτιλίας; Ne. III 22: κιόνων —, ἥρως θεὸς ἃς ἔθηκε ναυτιλίας ἐσχάτας μάρτυρας κλυτάς. Is. III 75 (IV 57): ναυτιλίαισί τε πορθμὸν ἁμερώσαις: sc. domitis beluis.

νάω v. **ναίω.**

νεᾱνίας *iuvenis* Ol. VII 4: φιάλαν — δωρήσεται νεανίᾳ γαμβρῷ προπίνων. Ne. III 5: μελιγαρύων τέκτονες κώμων νεανίαι: choreutae.

νεᾶνις *puella* Py. IX 31: μόχθου καθύπερθε νεᾶνις ἦτορ ἔχοισα (var. νεάνις). fr. 122 (87), 1: πολύξεναι νεάνιδες: alloquitur poeta meretriculas Venereas.

νεᾰρός 1) *iuvenis, iuvenilis* Py. X 25: ὃς ἂν — ζώων ἔτι νεαρὸν κατ' αἶσαν υἱὸν ἴδῃ τυχόντα στεφάνων Πυθίων. Is. VII 47: καὶ νεαρὰν ἔδειξαν σοφῶν στόματ' ἀπείροισιν ἀρετὰν Ἀχιλέος (E. Schmid., libri καὶ νέαν ἔδειξαν v. καὶ νέ' ἀνέδειξαν, Bergk. αἰνέαν τ' ἔδειξαν). — 2) *novus* Ne. VIII 20: πολλὰ γὰρ πολλᾷ

λέλεκται· νεᾶρὰ δ' ἐξευρόντα δόμεν βασάνῳ ἐς ἔλεγχον, ἅπας κίνδυνος.

νεῖκος (sg. νείκεος, -ει, -ος. pl. νεικέων) *contentio* 1) rixa, lis Ne. VIII 25: ἦ τιν' ἄγλωσσον μέν, ἦτορ δ' ἄλκιμον, λάθα κατέχει ἐν λυγρῷ νείκει. Is. VII 43 (VII 47): μηδὲ Νηρέος θυγάτηρ νεικέων πέταλα δὶς ἐγγυαλιζέτω ἄμμιν. fort. fr. 245: πρόφασις βληχροῦ γίνεται νείκεος. — 2) certamen Ne. VI 57 (51): βαρὺ ἔμπεσέ σφι νεῖκος — Ἀχιλεύς: v. ἐμπίπτω. Py. IX 31: θαύμασον, οἷον ἀταρβεῖ νεῖκος ἄγει κεφαλᾷ. add. gen. Is. VI (VII) 36: ἔνθ' ἄριστοι ἔσχον πολέμοιο νεῖκος ἐσχάταις ἐλπίσιν. gen. obiect. Ol. X 39: νεῖκος δὲ κρεσσόνων ἀποθέσθ' ἄπορον.

Νεῖλος *Nilus* 1) flumen Aegypti fr. 201 (215): Αἰγυπτίαν Μένδητα, πὰρ κρημνὸν θαλάσσας, ἔσχατον Νείλου κέρας. Is. II 42: ἐπέρα ποτὶ μὲν Φᾶσιν θερείαις, ἐν δὲ χειμῶνι πλέων Νείλου πρὸς ἀκτάν: allegorice dictum de hospitalitate, quam Xenocrates summam praestabat omni anni tempore, etsi hieme minus frequentata erat eius domus. „Phasis et Nilus autem sunt duo nobiles navigationis termini, quorum ille homini Siculo remotior, hic propior" Dissen. Is. V (VI) 23: μυρίαι δ' ἔργων καλῶν τέτμηνθ' ἑκατόμπεδοι ἐν σχερῷ κέλευθοι, καὶ πέραν Νείλοιο παγᾶν καὶ δι' Ὑπερβορέους: τὰ ἑκατέρωθεν παρείληφε πέρατα, τὴν σύμπασαν οἰκουμένην θέλων εἰπεῖν. Schol. praeterea de Nili fontibus v. Γαννμήδης. — 2) deus dicitur Py. IV 56: νάεσσι πολεῖς ἀγαγεῖν Νείλοιο πρὸς πῖον τέμενος Κρονίδα: v. Κρονίδας.

νεκρός 1) *corpus mortuum* Py. III 43: παῖδ' ἐκ νεκροῦ (Coronidis) ἅρπασε. Ol. VI 15: ἑπτὰ δ' ἔπειτα πυρᾶν νεκρῶν τε νησθέντων Ταλαϊονίδας εἶπεν. — 2) adi. *mortuus* fr. 203 (217), 2: Σκύθαι νεκρὸν ἵππον στυγέοισιν λόγῳ κτάμενον ἐν φάει.

νέκταρ *nectar* Ol. I 64 (62): ἔχει — πόνον, ἀθανάτων ὅτι κλέψαις ἁλίκεσσι συμπόταις νέκταρ ἀμβροσίαν τε δῶκεν, οἷσιν ἄφθιτον θέσσαν. Py. IX 63: ταὶ (Horae) — νέκταρ ἐν χείλεσσι καὶ ἀμβροσίαν στάξοισι θήσονταί τέ νιν ἀθάνατον (sc. Aristaeum). — met. de poesi Ol. VII 7: καὶ ἐγὼ νέκταρ χυτὸν, Μοισᾶν δόσιν, ἀεθλοφόροις ἀνδράσιν πέμπων, γλυκὺν καρπὸν φρενός, ἱλάσκομαι.

νεκτάρεος *nectareus*, met. de rebus praestantibus atque odoratis Is. V (VI) 37: τὸν μὲν — κελήσατο νεκταρέαις σπονδαῖσιν ἄρξαι. fr. 75 (45), 15: φυτὰ νεκτάρεα τότε βάλλεται.

Νεμέα (Νεμέα, -ας, -ᾳ. per synizesin leg. Ne. IV 75) *Nemea*, locus agri Argivi silvosus inter Cleonas et Phliuntem Is. V (VI) 48: δέρμα με νῦν περιπλανᾶται θηρός (leonis), ὃν πάμπρωτον ἀέθλων κτεῖνά ποτ' ἐν Νεμέᾳ. ibi ludi agebantur, quorum praeses Iuppiter Ne. IV 9: τό μοι θέμεν Κρονίδᾳ τε Διὶ καὶ Νεμέᾳ Τιμασάρχου τε πάλᾳ ὕμνου προκώμιον εἴη. cf. Ne. VII 80. Is. V (VI) 3. Ne. I 7: ἅρμα δ' ὀτρύνει Χρομίου Νεμέα θ' ἔργμασιν νικαφόροις ἐγκώμιον ζεῦξαι μέλος. V 44: ἁ Νεμέα μὲν ἄραρεν. VI 14 (12): ἦλθέ τοι Νεμέας ἐξ ἐρατῶν ἀέθλων παῖς ἐναγώνιος. Is. V (VI) 61: ἄραντο γὰρ νίκας ἀπὸ παγκρατίου τρεῖς, ἀπ' Ἰσθμοῦ, τὰς δ' ἀπ' εὐφύλλου Νεμέας. Ol. IX 87: ταὶ δὲ καὶ Νεμέας Ἐφαρμόστῳ κατὰ κόλπον (sc. ἐγένοντο χάρμαι). Ne. III 84: τὶν — ἀεθλοφόρου λήματος ἕνεκεν Νεμέας Ἐπιδαυρόθεν τ' ἀπὸ καὶ Μεγάρων δέδορκεν φάος. III 18: καματωδέων δὲ πλαγᾶν ἄκος ὑγιηρὸν ἐν βαθυπεδίῳ Νεμέᾳ τὸ καλλίνικον φέρει. II 23: ἐν Νεμέᾳ, cf. Ol. XIII 98. Is. V (VI) 3. Ne. X 26: καὶ τὸν Ἰσθμοῖ καὶ Νεμέᾳ στέφανον Μοίσαισιν ἔδωκ' ἀρόσαι: Nemeae (partam); cf. Ol. VII 82. VIII 16. 56. Ne. IV 75. VI 22 (20). Is. IV (V) 18. VII (VIII) 4.

Νέμεα, Νέμεια *Nemea*, ludi Nemeaei Ol. XIII 34: δύο δ' αὐτὸν ἔρεψαν πλόκοι σελίνων ἐν Ἰσθμιάδεσσιν φανέντα· Νέμεά τ' οὐκ ἀντιξοεῖ (var. Νεμέα). Ne. V 5: Πυθέας εὐρυσθενὴς νίκη Νεμείοις παγκρατίου στέφανον.

Νεμεαῖος *Nemeaeus* Ne. II 4: Νεμεαίου ἐν πολυυμνήτῳ Διὸς ἄλσει. VIII 16: πατρὸς Μέγα Νεμεαῖον ἄγαλμα.

Νεμεάς *Nemeaea* Ne. III 2: τὰν πολυξέναν ἐν ἱερομηνίᾳ Νεμεάδι ἵκεο Δωρίδα νᾶσον Αἴγιναν.

Νέμεια v. **Νέμεα.**

νεμεσάω *succenseo* Is. I 3: μή μοι κραναὰ νεμεσάσαι Δᾶλος.

Νέμεσις *Nemesis* Ol. VIII 86: *εὔχομαι ἀμφὶ καλῶν μοίρᾳ Νέμεσιν διχόβουλον μὴ θέμεν* (Bergk. *νέμεσιν*). Py. X 44: *πόνων δὲ καὶ μαχᾶν ἄτερ οἰκέοισι φυγόντες ὑπέρδικον Νέμεσιν* (sc. Hyperborei).

νέμω (act. praes. *νέμει. νέμειν. νέμων*. aor. *νεῖμ'*. med. praes. *νέμομαι, -εαι, -ονται. νεμόμενος*) I) Act. 1) *distribuo, dispenso* Py. V 64: *ὃ καὶ βαρειᾶν νόσων ἀκέσματ' ἄνδρεσσι καὶ γυναιξὶ νέμει*. fr. 288 (121): *τούτων ἄλλοτε ἄλλοις νέμειν*. Py. V 55: *ὁ Βάττου δ' ἕπεται παλαιὸς ὄλβος ἔμπαν τὰ καὶ τὰ νέμων*. cf. Is. IV (V) 52. met. Is. II 22: *τὰν (χεῖρα) Νικόμαχος κατὰ καιρὸν νεῖμ' ἁπάσαις ἀνίαις* (Herm., libri *νωμᾷ πάσαις*): h. e. admovit habenis easque immisit. — 2) *teneo, guberno, rego*, c. acc. Ol. X 13: *νέμει γὰρ Ἀτρέκεια πόλιν Λοκρῶν*. II 13: *ὦ Κρόνιε παῖ Ῥέας, ἕδος Ὀλύμπου νέμων ἀέθλων τε κορυφὰν πόρον τ' Ἀλφεοῦ*. III 36: *τοῖς γὰρ ἐπέτραπεν Οὐλυμπόνδ' ἰὼν θαητὸν ἀγῶνα νέμειν ἀνδρῶν τ' ἀρετᾶς πέρι καὶ ῥιμφαρμάτου διφρηλασίας*. XIII 27: *τόνδε λαὸν ἀβλαβῆ νέμων*: servans. Is. I 67: *ἔνδον νέμει πλοῦτον κρυφαῖον*: fovet. Ne. VI 17 (15): *ἴχνεσιν ἐν Πραξιδάμαντος ἑὸν πόδα νέμων*: movens. — intr. c. dat. Py. III 70: *ὃς Συρακόσσαισι νέμει βασιλεύς*: dominatur. — 2) Med. 1) *mihi tributum teneo atque colo* Py. IV 150: *ἀγρούς τε πάντας, τοὺς ἀπούρας ἁμετέρων τοκέων νέμεαι*. met. Ol. IX 27: *ἐξαίρετον Χαρίτων νέμομαι κᾶπον*. Ne. III 82: *κραγέται δὲ κολοιοὶ ταπεινὰ νέμονται*. sine obi. fr. 1 (4), 4: *τῶν μὲν ὑπὸ στάθμᾳ νέμονται οὐ θέμιν οὐδὲ δίκαν ξείνων ὑπερβαίνοντες*: habitant. — 2) de tempore: *dego* Ol. II 73 (66): *ἀδακρυν νέμονται αἰῶνα*. Ne. X 56: *ἁμέραν τὰν μὲν παρὰ πατρὶ φίλῳ Δὶ νέμονται, τὰν δ' ὑπὸ κεύθεσι γαίας ἐν γυάλοις Θεράπνας*. sine obi. Py. XI 55: *εἴ τις ἄκρον ἑλὼν ἁσυχᾷ τε νεμόμενος αἰνὰν ὕβριν ἀπέφυγεν*. (de Py. VIII 69 v. *νέομαι*.)

νεόγυιος *iuvenilia membra habens, iuvenilis* Ne. IX 24: *ἑπτὰ γὰρ δαίσαντο πυραὶ νεογυίους φῶτας*. fr. 123 (88), 9: *τάκομαι, εὖτ' ἂν ἴδω παίδων νεόγυιον ἐς ἥβαν*.

νεόδμᾱτος *recens structus* Is. III 80 (IV 62): *νεόδματα στεφανώματα βωμῶν*.

νεοθᾱλής *recens v. iuveniliter florens* Ne. IX 48: *νεοθαλὴς δ' αὔξεται μαλθακᾷ νικαφορία σὺν ἀοιδᾷ*: per prolepsin dictum: „ut iuveniliter floreat“ Dissen.

νέοικος *recens habitatus* Ol. V 8: *ὃν πατέρ' Ἄκρων' ἐκάρυξε καὶ τὰν νέοικον ἕδραν*: sc. Camarinam a Gelensibus restitutam inde ab Ol. 79, 4.

νεόκτιστος *recens conditus* Ne. IX 2: *κωμάσομεν — τὰν νεοκτίσταν ἐς Αἴτναν*: „quae condita erat Ol. 76, 1“ Dissen. Py. IV 206: *ἀγέλα ταύρων ὑπᾶρχεν καὶ νεόκτιστον λίθων βωμοῖο θέναρ* (ed. Rom. *θεόκτιστον*): „sc. a Phrixi filiis“ Dissen.

νεόκτονος *recens interfectus* Ne. VIII 30: *ἀμφ' Ἀχιλεῖ νεοκτόνῳ* (sc. *ἕλκεα ῥῆξαν*).

νέομαι (praes. *νέομαι, νέοντ(αι). νεῖσθαι*) 1) intr. *eo, incedo, venio, redeo* Ne. II 12: *ἔστι δ' ἐοικὸς ὀρειᾶν γε Πελειάδων μὴ τηλόθεν Ὠαρίωνα νεῖσθαι* (var. *Ὠαρίων' ἀνεῖσθαι*, quod rec. Bergkius nihil aliud esse contendens quam *ἀνανεῖσθαι* sive *ἀννεῖσθαι* i. e. oriri). Py. IV 102: *ἄντροθε γὰρ νέομαι πὰρ Χαρικλοῦς*. Ne. IV 77: *ἔνθα πεῖραν ἔχοντες οἴκαδε κλυτοκάρπων οὐ νέοντ' ἄνευ στεφάνων*. met. Py. IV 247: *μακρά μοι νεῖσθαι κατ' ἁμαξιτόν*. Ne. VII 20: *ἀφνεὸς πενιχρός τε θανάτου πέρας ἅμα νέονται* (Wieseler., libri *πάρα σᾶμα*, Bergk. *πόρον σάμα*). — 2) trans. *percurro, persequor* canendo Py. VIII 69: *ἑκόντι δ' εὔχομαι νόῳ κατὰ τὶν ἁρμονίαν βλέπειν ἀμφ' ἕκαστον ὅσα νέομαι* (Bergk. c. Mingarell. *νέμομαι*), ubi a verbo pendet acc. *ὅσα* aut intellegenda est praep. *ἀμφί*.

νεομηνία *novilunium* Ne. IV 35: *ἴυγγι δ' ἕλκομαι ἦτορ νεομηνίᾳ θιγέμεν* (Tricl. *νουμηνίᾳ*): h. e. festum epinicium attingere. v. *ἱερομηνία*.

Νεοπτόλεμος *Neoptolemus*, Achillis filius Ne. IV 51: *Θέτις δὲ κρατεῖ Φθίᾳ· Νεοπτόλεμος δ' ἀπείρῳ διαπρυσίᾳ, βουβόται τόθι πρῶνες ἔξοχοι κατάκεινται Δωδώναθεν ἀρχόμενοι πρὸς Ἰόνιον πόρον*. VII 35: *ἐν Πυθίοισι δὲ δαπέδοις κεῖται Πριάμου πόλιν Νεοπτόλεμος* (Christ. *Νεοπόλεμος*) *ἐπεὶ πράθεν, κτλ*. VII 103: *τὸ δ' ἐμὸν οὔ ποτε φάσει κέαρ ἀτρόποισι Νεοπτόλεμον ἑλκύσαι ἔπεσι*.

νέος (sg. m. νέος, -ον. f. νέᾳ, -αν. n. νέον. pl. m. νέων, -οισι, -οις, -οι. f. νέαισι(ν), -αις. — comp. sg. n. νεώτερον. pl. m. νεωτέρων. superl. n. νεώτατον) 1) *novus, recens* a) adi. Is. IV (V) 63: πτερόεντα νέον σύμπεμψον ὕμνον (var. νόον, Tricl. νόῳ). Py. VII 18 (16). Ne. IX 11. fr. 107 (74), 16: θήσεις ἀνδρῶν νέον ἐξ ἀρχᾶς γένος: renovabis. — Ol. IX 49: αἴνει δὲ παλαιὸν μὲν οἶνον, ἄνθεα δ' ὕμνων νεωτέρων. Py. VIII 33: τεὸν χρέος, ὦ παῖ, νεώτατον καλῶν. — inde per euphemismum: inusitatus, inauditus, adversus Py. IV 155: τὰ μὲν — λῦσον ἄμμιν, μή τι νεώτερον ἐξ αὐτῶν ἀναστήῃ κακόν: h. e. gravius. fr. 107 (74), 6: ἐπίσκοτον ἀτραπὸν ἐσσυμένα ἐλαύνειν τι νεώτερον ἢ πάρος. — b) neutr. sing. pro adv. Ol. VIII 37: ἐπεὶ κτίσθη νέον (sc. τὸ τεῖχος): recens. — 2) *iuvenilis, iuvenis* Ne. III 72: ἐν παισὶ νέοισι παῖς. Ol. XIII 23: ἐν δ' Ἄρης ἀνθεῖ νέων οὐλίαις αἰχμαῖσιν ἀνδρῶν. cf. fr. 199 (213). Ol. IV 24 (28). Py. X 59: νέαισίν τε παρθένοισι μέλημα. XI 25: νέαις ἀλόχοις. XI 35: γέροντα ξένον Στρόφιον ἐξίκετο νέᾳ κεφαλᾷ (Heyn. νέα κεφαλά, quod rec Bergk.). Ol. XIV 22: ὅτι οἱ νέαν — ἐστεφάνωσε κυδίμων ἀέθλων πτεροῖσι χαίταν (var. νέον). II 47 (43): νέοις ἐν ἀέθλοις ἐν μάχαις τε πολέμου τιμώμενος: iuvenilibus. Py. VIII 88: ὁ δὲ καλόν τι νέον λαχών: „puerilem victoriam, quum puer esset victor" Mezger. „novum decus post alia iam parta" Dissen. sec. Boeckh. — pro subst. Py. IV 281: κεῖνος γὰρ ἐν παισὶν νέος, ἐν δὲ βουλαῖς πρέσβυς. V 103: ἐν ἀοιδᾷ νέων. Ne. III 66: ὀπὶ νέων ἐπιχώριον χάρμα κελαδέων, qui τέκτονες κώμων νεανίαι vocantur v. 5. fr. 227 (250): νέων δὲ μέριμναι. Is. VII (VIII) 2: ὦ νέοι.

νεοσῖγᾰλος *novus splendidusque* Ol. III 4: Μοῖσα δ' οὕτω μοι παρεστάκοι νεοσίγαλον εὑρόντι τρόπον Δωρίῳ φωνὰν ἐναρμόξαι πεδίλῳ ἀγλαόκωμον.

νεότας (νεότας, -ατος, -ατι) *iuventus* 1) aetas iuvenilis Ne. IX 44: ἐκ πόνων δ', οἳ σὺν νεότατι γένωνται σύν τε δίκᾳ, τελέθει πρὸς γῆρας αἰὼν ἁμέρα. Py. II 63: νεότατι μὲν ἀρήγει θράσος δεινῶν πολέμων. Ol. X 87: παῖς ἐξ ἀλόχου πατρὶ ποθεινὸς ἵκοντι νεότατος τὸ πάλιν ἤδη. c. gen. fr. 172 (158): οὐ Πηλέος ἀντιθέου μόχθοις νεότας ἐνέλαμψεν μυρίοις; — 2) concr. manus iuvenum Is. VII 68 (VIII 75): ἐπεί νιν Ἀλκαθόου τ' ἀγὼν σὺν τύχᾳ ἐν Ἐπιδαύρῳ τε πρὶν ἔδεκτο νεότας: „non est turba κωμαζόντων, sed ad certamen congregata iuventus, quae eum σὺν τύχᾳ apud se vidit" Dissen.

Νεστόρειος *Nestoreus* Py. VI 32: Νεστόρειον γὰρ ἵππος ἅρμ' ἐπέδα Πάριος ἐκ βελέων δαϊχθείς.

Νέστωρ *Nestor*, rex Pyliorum Py. III 112: Νέστορα καὶ Λύκιον Σαρπηδόν' — γινώσκομεν.

νευρά *nervus* arcus Is. V 34: εὐρὼν Ἀλκυονῆ σφετέρας οὐ φείσατο χερσὶν βαρυφθόγγοιο νευρᾶς Ἡρακλέης.

νεύω *adnuo*, met. Py. I 71: λίσσομαι νεῦσον Κρονίων, ἅμερον ὄφρα κατ' οἶκον ὁ Φοίνιξ ὁ Τυρσανῶν τ' ἀλαλατὸς ἔχῃ. Ol. VII 67: θεῶν δ' ὅρκον μέγαν μὴ παρφάμεν (ἐκέλευσεν), ἀλλὰ Κρόνου σὺν παιδὶ νεῦσαι, φαεννὸν ἐς αἰθέρα νιν πεμφθεῖσαν ἑᾷ κεφαλᾷ ἐξοπίσω γέρας ἔσσεσθαι.

νεφέλα (sg. νεφέλας, -α, -αν) *nubes* Py. VI 11: χειμέριος ὄμβρος ἐπακτὸς ἐλθών, ἐριβρόμου νεφέλας στρατὸς ἀμείλιχος. Ol. XI 3: ἔστιν δ' οὐρανίων ὑδάτων ὀμβρίων (sc. χρῆσις ἀνθρώποις), παίδων νεφέλας. VII 49: κείνοις ὁ μὲν ξανθὰν ἀγαγὼν νεφέλαν πολὺν ὗσε χρυσόν. Py. II 36: νεφέλᾳ παρελέξατο, ψεῦδος γλυκὺ μεθέπων, ἄιδρις ἀνήρ (Ixion). — met. de sopore Py. I 7: κελαινῶπιν δ' ἐπί οἱ νεφέλαν ἀγκύλῳ κρατί, γλεφάρων ἁδὺ κλάιστρον, κατέχευας. de morte Ne. IX 38: παῦροι δὲ βουλεῦσαι φόνου παρποδίου νεφέλαν τρέψαι ποτὶ δυσμενέων ἀνδρῶν στίχας χερσὶ καὶ ψυχᾷ δυνατοί. de bello Is. VI (VII) 27: ὅστις ἐν ταύτᾳ νεφέλᾳ χάλαζαν αἵματος πρὸ φίλας πάτρας ἀμύνεται.

νέφος *nubes* Py. IV 197: ἐκ νεφέων δέ οἱ ἀντάυσε βροντᾶς αἴσιον φθέγμα. — met. fr. 119 (84), 4: ἕσπετο δ' ἀενάου πλούτου νέφος. Ol. VII 45: ἐπὶ μὰν βαίνει τι καὶ λάθας ἀτέκμαρτα νέφος. Ne. X 9: μάντιν Οἰκλείδαν, πολέμοιο νέφος (Bergk. coni. φάος): „Amphiaraum, bellica virtute maxime insignem" Dissen.

νέω *coacervo* Ol. VI 15: *ἑπτὰ δ' ἔπειτα πυρᾶν νεκρῶν τε νησθέντων Ταλαϊονίδας εἶπεν* (Bergk., libri *τελεσθέντων*: „consumptis", quod probant Dissen. et de Iongh. comparantes Aesch. Cho. 875, Christ. *ἐτασθέντων*: „exploratis v. testatis").

νέω *nato* fr. 218 (239), 3: *πελάγει δ' ἐν πολυχρύσοιο πλούτου πάντες ἴσᾳ νέομεν ψευδῆ πρὸς ἀκτάν* (Herm., vulgo *ἶσα νέομεν*, Bergk. *ἴσα πλέομεν*).

νηλεής, νηλής *immisericors, crudelis* fr. 177 (168), 5: *ἐν δασκίοισιν πατὴρ νηλεεῖ νόῳ*. Py. I 95: *τὸν δὲ ταύρῳ χαλκέῳ καυτῆρα νηλέα νόον ἐχθρὰ Φάλαριν κατέχει παντᾷ φάτις*. XI 22: *νηλὴς γυνά*: Clytaemnestra.

νήπιος *puerilis, stultus* fr. 157 (128): *ὦ τάλας ἐφάμερε, νήπια βάζεις χρήματά μοι διακομπέων*. plur. pro subst. Py. III 82: *τὰ μὲν ὦν οὐ δύνανται νήπιοι κόσμῳ φέρειν, ἀλλ' ἀγαθοί, τὰ καλὰ τρέψαντες ἔξω*.

νήποινος *expers*, c. gen. Py. IX 58: *χθονὸς αἶσαν — δωρήσεται, οὔτε παγκάρπων φυτῶν νήποινον οὔτ' ἀγνῶτα θηρῶν*: *κυρίως μὲν τὴν ἀνεκδίκητον, νῦν δὲ τὴν ἄμοιρον καὶ ἄπειρον*. Schol.

Νηρεΐδες, Νηρηΐδες (pl. *Νηρηΐδων, Νηρεΐδων, -ΐδεσσι*) *Nereides*, Nerei filiae Is. V (VI) 6: *νῦν αὖ τίν, Ἰσθμοῦ δέσποτα, Νηρεΐδεσσί τε πεντήκοντα* (sc. *ἄωτον δεξάμενοι στεφάνων*): „colebantur hae una cum Neptuno Isthmio in templo dei; atque recordaberis ex iis fuisse Psamathen et Thetidem, matres Aeacidarum" Dissen. Ne. V 7: *ἐκ δὲ Κρόνου καὶ Ζηνὸς ἥρωας αἰχματὰς φυτευθέντας καὶ ἀπὸ χρυσεᾶν Νηρηΐδων Αἰακίδας ἐγέραιρεν* (Tricl., rell. *Νηρεΐδων*): v. *Αἰακίδας*. Ne. IV 65: *ἔγαμεν ὑψιθρόνων μίαν Νηρεΐδων* (sc. Peleus): Thetidem; cf. Ne. V 36: *ὥστ' ἐν τάχει ποντιᾶν χρυσαλακάτων τινὰ Νηρεΐδων πράξειν ἄκοιτιν*. Py. XI 2: *Ἰνὼ δὲ Λευκοθέα ποντιᾶν ὁμοθάλαμε Νηρηΐδων* (var. *Νηρεΐδων*).

Νηρεύς *Nereus*, deus marinus Ol. II 32 (29): *λέγοντι δ' ἐν καὶ θαλάσσᾳ μετὰ κόραισι Νηρῆος ἁλίαις βίοτον ἄφθιτον Ἰνοῖ τετάχθαι* (var. *Νηρέως, Νηρέος*). Is. VII 43 (VIII 46): *Νηρέος θυγάτηρ* (Boeckh., libri *Νηρέως*): Thetis, cf. Py. III 92: *Νηρέος εὐβούλου Θέτιν παῖδα κλυτάν*. Ne. III 57: *Νηρέος θύγατρα*.

νίκα (sg. *νίκας, -αν*. pl. *νῖκαι, -ᾶν, -αις, -ας*) 1) *victoria* ex certaminibus publicis reportata Ol. VIII 66: *νῦν μὲν αὐτῷ γέρας Ἀλκιμέδων νίκαν τριακοστὰν ἑλών*. Py. VIII 80: *Ἥρας τ' ἀγῶν' ἐπιχώριον νίκαις τρισσαῖς, ὦ 'ριστόμενες, δάμασσας ἔργῳ* (var. *νίκαισι* v. *νικαῖσι*, Bergk. *νικᾷς, τρὶς ἆς*). Ne. IX 55: *ὑπὲρ πολλῶν τε τιμαλφεῖν λόγοις νίκαν* (Ceporinus, libri *νικᾶν*, Christ. *ὑπὲρ πολλᾶν . . . νικᾶν*). Ol. X 79: *ἐπωνυμίαν χάριν νίκας ἀγερώχου*. Ne. II 19: *παρὰ — Παρνασῷ τέσσαρας ἐξ ἀέθλων νίκας ἐκόμιξαν*. Is. V (VI) 60: *ἄραντο γὰρ νίκας ἀπὸ παγκρατίου τρεῖς, ἀπ' Ἰσθμοῦ, τὰς δ' ἀπ' εὐφύλλου Νεμέας*. add. locus certaminis Py. VIII 37: *Κλειτομάχοιο νίκαν Ἰσθμοῖ θρασύγυιον*. Ne. II 9: *Ἰσθμιάδων δρέπεσθαι κάλλιστον ἄωτον ἐν Πυθίοισί τε νικᾶν*. Is. VII (VIII) 4: *Ἰσθμιάδος τε νίκας ἄποινα καὶ Νεμέᾳ* (Bergk., vulgo *καὶ Νεμέᾳ* ad sequentia referuntur). VI (VII) 22: *φέρει γὰρ Ἰσθμοῖ νίκαν παγκρατίου*. Py. VII 14: *ἄγοντι δέ με πέντε μὲν Ἰσθμοῖ νῖκαι, μία δ' ἐκπρεπὴς Διὸς Ὀλυμπιάς, δύο δ' ἀπὸ Κίρρας, ὦ Μεγάκλεες, ὑμαί τε καὶ προγόνων*. Ne. XI 20: *ἐκ δὲ περικτιόνων ἑξ καὶ δέκ' Ἀρισταγόραν ἀγλααὶ νῖκαι — ἐστεφάνωσαν πάλᾳ καὶ μεγαυχεῖ παγκρατίῳ*. genus certaminis (dat.) Py. VI 17: *κοινάν τε γενεᾷ λόγοισι θνατῶν εὔδοξον ἅρματι νίκαν Κρισαίαις ἐνὶ πτυχαῖς ἀπαγγελεῖ*. Is. II 13: *οὐκ ἀγνῶτ' ἀείδω Ἰσθμίαν ἵπποισι νίκαν*. gen. obi. Is. III 89 (IV 71): *ὅδ' ἀνὴρ διπλόαν νίκαν ἀνεφάνατο παίδων τε τρίταν πρόσθεν*. — 2) **Νίκα** *Victoria* dea Ne. V 41: *τὺ δ' Αἰγίνᾳ θεοῦ, Εὐθύμενες, Νίκας ἐν ἀγκώνεσσι πίτνων ποικίλων ἔψαυσας ὕμνων*. Is. II 26: *ἀσπάζοντο φωνᾷ χρυσέας ἐν γούνασιν πίτνοντα Νίκας γαῖαν ἀνὰ σφετέραν*. Py. IX 125: *πολλὰ δὲ πρόσθεν πτερὰ δέξατο Νίκας* (Bergk., vulgo *νίκας*, var. *νικᾶν*).

Νῑκᾱσιππος, *Nicasippus*, poetae nuntius ac fortasse amicus Is. II 47: *ταῦτα, Νικάσιππ', ἀπόνειμον, ὅταν ξεῖνον ἐμὸν ἠθαῖον ἔλθῃς*: „Nicasippus carmen transferre eiusque modos docere debebat. Nam aut familia victoris mittebat aliquem ex suis, qui carmen a poeta acciperet modos-

que musicos et saltationem disceret, qualis est Aeneas Ol. VI, aut poeta mittebat qui transferret, nisi ubi ipse aderat" Dissen.

νῑκᾱφορία (sg. *νικαφορία*, *-ας*. pl. *νικαφορίαισι*, *-αις*) *victoria* ex certaminibus publicis reportata Ne. IX 49: *νεοθαλὴς δ' αὔξεται μαλθακᾷ νικαφορίᾳ σὺν ἀοιδᾷ.* Ol. X 59: *ἔστασεν ἑορτὰν σὺν Ὀλυμπιάδι πρώτᾳ νικαφορίαισί τε.* Ne. X 41: *νικαφορίαις γὰρ ὅσαις Προίτοιο καθ' ἱπποτρόφον ἄστυ θάλησαν.* c. gen. Py. I 59: *χάρμα δ' οὐκ ἀλλότριον νικαφορία πατέρος.* Ne. II 4: *ὅδ' ἀνὴρ καταβολὰν ἱερῶν ἀγώνων νικαφορίας δέδεκται.*

νικαφόρος (sg. m. *νικαφόρῳ*. f. *νικαφόρον*, *-ον*. pl. m. *νικαφόρων*, *-οις*. n. *νικαφόροις*) *victoriam referens*, *victor* Ol. II 5: *Θήρωνα δὲ τετραορίας ἕνεκα νικαφόρου γεγωνητέον.* XIII 14: *ὔμμιν δέ, παῖδες Ἀλάτα, πολλὰ μὲν νικαφόρον ἀγλαΐαν ὤπασαν.* Py. VIII 26: *ἀείδεται νικαφόροις ἐν ἀέθλοις.* Ne. I 7: *ἔργμασιν νικαφόροις ἐγκώμιον ζεῦξαι μέλος.* Is. I 22: *γενόμενοι στεφάνων νικαφόρων.* Ne. III 67: *βοὰ δὲ νικαφόρῳ σὺν Ἀριστοκλείδᾳ πρέπει.* plur. pro subst. Ol. I 119 (116): *ἐμέ τε τοσσάδε νικαφόροις ὁμιλεῖν.*

νικάω (act. praes. *νικᾷ*. *νικᾶν*. *νικῶν*, *-ῶντος*, *-ῶντι*, *-ῶντ'*, *-ώντεσσιν*. ipf. *νίκη* (ci.). aor. *ἐνίκᾱσε*, *-ασαν*. *νικᾶσαι*. *νικάσαις*, *-αντα*. pass. praes. *νικώμενοι*. perf. *νενίκανται*) *vinco*, *supero*, plerumque praes. pro perf. *victor sum* 1) in certaminibus publicis, abs. Is. V (VI) 7: *Φυλακίδᾳ νικῶντος.* Ol. I 100 (98): *ὁ νικῶν.* IX 112. Ne. VII 75. aor. Ol. V 8. fr. 12. Pass. fr. 229 (253): *νικώμενοι — ἄνδρες.* Ne. VI 49 (43): *βοτάνα τέ νίν ποθ' ἁ λέοντος νικῶντ' ἤρεφε δασκίοις Φλιοῦντος ὑπ' ὠγυγίοις ὄρεσιν.* Ol. VII 86. Ne. V 53. Ol. X 16: *πύκτας δ' ἐν Ὀλυμπιάδι νικῶν.* Py. XI 16 (Herm. et Bergk. subst. *νικᾶν*). Ol. VII 10: *ἀεθλοφόροις ἀνδράσιν — Ὀλυμπίᾳ Πυθοῖ τε νικώντεσσιν.* aor. Py. IX 97: *πλεῖστα νικάσαντά σε καὶ τελεταῖς ὡρίαις ἐν Παλλάδος εἶδον.* IX 73: *ἔνθα νικάσαις ἀνέφανε Κυράναν.* Ne. X 24. de curru Is. III 43 (IV 25): *κὴν γουνοῖς Ἀθανᾶν ἅρμα καρύξαισα νικᾶν.* — add. dat. et acc. Is. IV (V) 9: *ὄντιν' ἀθρόοι στέφανοι χερσὶ νικάσαντ' ἀνέδησαν ἔθειραν ἢ ταχυτᾶτι ποδῶν.* VII 65 (VIII 70): *περικτίονας ἐνίκασε δή ποτε καὶ κεῖνος ἄνδρας ἀφύκτῳ χερὶ κλονέων.* Py. XII 6: *αὐτόν τέ νιν Ἑλλάδα νικάσαντα τέχνᾳ.* acc. interioris q. v. obiecti Ol. IV 20 (24): *χαλκέοισι δ' ἐν ἔντεσι νικῶν δρόμον.* XIII 30: *πενταέθλῳ ἅμα σταδίου νικῶν δρόμον.* Ne. V 5: *Πυθέας εὐρυσθενὴς νίκη Νεμείοις παγκρατίου στέφανον* (Heynius, libri *νικῇ*, quod tuetur Bergk.): vincendo tulit; cf. Ne. X 48: *ὄντε* (sc. *χαλκὸν*) — *Λύκαιον πὰρ Διὸς θῆκε δρόμῳ σὺν ποδῶν χειρῶν τε νικᾶσαι σθένει* (Bergk. *χειρῶν τ' ἐνίκασαν σθένει*). — 2) met. fr. 38 (16): *ἐν ἔργμασι δὲ νικᾷ τύχα, οὐ σθένος.* Pass. c. gen. Ne. IX 2: *κωμάσομεν — ἐς Αἴτναν, ἔνθ' ἀναπεπταμέναι ξείνων νενίκανται θύραι:* *ἀντὶ τοῦ ἥττηνται· παντὶ οὖν εἴκουσαι ξένῳ καὶ οὐδένα ἀπελαύνουσαι νικῶνται τῇ φιλοξενίᾳ τοῦ νικηφόρου.* Schol. (de Py. VIII 80 et Ne. IX 55 v. *νίκα*.)

Νῑκεύς *Niceus*, egregius iaculator Ol. X 72: *μᾶκος δὲ Νικεὺς ἔδικε πέτρῳ χέρα κυκλώσαις ὑπὲρ ἁπάντων* (vulgo *δ' Ἐνικεὺς*): „*Νικεὺς* Argivi hominis nomen CIGr. I 1120" Bergk.

Νῑκŏκλέης *Nicocles* Aegineta, patruelis Cleandri, pugilatu victor in Isthmiis, in proelio interfectus Is. VII 62 (VIII 67): *ἔσσονταί τε Μοισαῖον ἅρμα Νικοκλέος μνᾶμα πυγμάχου κελαδῆσαι* (var. *Νικοκλέους*).

Νῑκόμαχος *Nicomachus* Atheniensis, auriga Xenocratis, pro quo Atticam (secundum Bergkium etiam Pythiam) victoriam reportavit Is. II 22: *οὐκ ἐμέμφθη ῥυσίδιφρον χεῖρα πλαξίπποιο φωτός, τὰν Νικόμαχος κατὰ καιρὸν νεῖμ' ἁπάσαις ἁνίαις.*

νῐν acc. encl. 1) sing. a) *eum*, *illum* Ol. I 26: *τοῦ μεγασθενὴς ἐράσσατο Γαιάοχος Ποσειδᾶν, ἐπεί νιν καθαροῦ λέβητος ἔξελε Κλωθώ.* Py. XII 29: (*ὄλβος*) *ἄνευ καμάτου οὐ φαίνεται· ἐκ δὲ τελευτάσει νιν ἤτοι σάμερον δαίμων*: sc. laborem; alii cum schol. ad *ὄλβον* referunt, v. *σάμερον*. Py. IV 287: *εὖ νιν ἔγνωκεν*: h. e. *καιρόν*. Ol. I 70 (68). II 62 (56). III 26. 33. IV 12 (16). VI 56. 62. 96. VII 6. 59. 61. 83. IX 32. 60. 63. 76. XIII 80. Py. I 51 (Bergk. c. Rauchen-

steinio *μή*). 97. II 28. III 12. 29. 45. IV 79. 233. 240. V 6 (var. *νυν*). 124. IX 63. 73. 88. Ne. I 66. II 7. III 11. IV 21. V 26. 31. 52. VI 47 (42). VII 42. 84. VIII 8. IX 50. X 34. 68. 74. Is. I 16. 36. 64. II 18. 25. III 90 (IV 71). V (VI) 50. 53. 72. VII 53 (VIII 57). VII 67 (VIII 74). fr. 81 (49) Bergk. fr. 110 (76), 2. add. *αὐτόν* Ol. VI 14 (*αὐτόν τέ νιν*). Py. XII 6. sequ. sent. relativa Is. VII 63 (VIII 68). — b) *eam, illam* Ol. II 29 (26): *ζώει μὲν ἐν Ὀλυμπίοις — Σεμέλα, φιλεῖ δέ νιν Παλλὰς αἰεὶ καὶ Ζεύς.* Py. VIII 16: *βία δὲ καὶ μεγάλαυχον ἔσφαλεν ἐν χρόνῳ. Τυφὼς Κίλιξ ἑκατόγκρανος οὔ νιν ἄλυξεν*: „h. e. *βίαν*, eventum, poenam superbiae" Dissen. sec. Boeckh.; „Hesychiam" intellegit Mezger. Ol. VII 38. 67. 70. Py. I 32. 37. III 35. IV 40. 43. 109. IX 6 (var. *νῦν*). 26. 33 (var. *μὲν*). 54. 71. 80. XI 22. Ne. IV 3 (sc. *εὐφροσύναν*). Is. I 43, v. tamen *χράω*. fr. 1 (4), 2. 88 (58), 2 Porson. — c) *id, illud* Ol. III 45: *τὸ πόρσω δ' ἔστι σοφοῖς ἄβατον κἀσόφοις. οὔ νιν διώξω· κεινὸς εἴην* (var. *οὔ μιν* v. *οὐ μὴν*, Bergk. c. Mingarellio *οὐ μή*). VIII 33: *τὸν — Ἰλίῳ μέλλοντες ἐπὶ στέφανον τεῦξαι καλέσαντο συνεργὸν τείχεος, ἦν ὅτι νιν πεπρωμένον — ἐν μάχαις λάβρον ἀμπνεῦσαι καπνόν*, ubi *νιν* ad *Ἰλίῳ* vel ad *τείχεος* Mezgerus, ad *στέφανον* Boeckhius vult referri. Ol. XIII 69. Py. II 57. IV 242. XII 22. — 2) plur. *eos* fr. 7 (2): *ἔτι καὶ ἡ νὶν τάσσεται ἐπὶ πλήθους· ὅστις δὴ τρόπος ἐξεκύλισέ νιν* (Apollon Dysc. de Pron. p. 368 A), cf. Bergk. ad Is. I 43. — Ceterum ubique fere fluctuant libri inter *νὶν* et *μὶν*, nec raro haec sola forma exstat; v. *μὶν*. (de Py. IV 36 v. *ἶν*; de Ne. III 39 et XI 17 v. *μὶν*.)

Νῖσος *Nisus*, Pandionis filius, rex Megarensium Py. IX 91: *Αἰγίνᾳ τε γὰρ φαμὶ Νίσου τ' ἐν λόφῳ τρὶς δὴ πόλιν τάνδ' εὐκλεΐξαι.* Ne. V 46: *ἅλικας δ' ἐλθόντας οἴκοι τ' ἐκράτει Νίσου τ' ἐν εὐαγκεῖ λόφῳ: τουτέστιν ἐν Μεγάροις. διατίθεται δὲ Ἀπόλλωνι, καὶ Πύθια καλεῖται ὁ ἀγών.* Schol.

νίσσομαι *eo, venio* Ol. III 34: *καί νυν ἐς ταύταν ἑορτὰν ἵλαος ἀντιθέοισιν νίσσεται σὺν — παισὶ Λήδας* (var. *νίσεται, νείσεται, νήσεται*): sc. Apollo. Ne. V 37: *Αἰγᾶθεν ποτὶ κλεινὰν θαμὰ νίσσεται Ἰσθμὸν Δωρίαν*: sc. Neptunus. — met. Ol. III 10: *τᾶς ἄπο θεόμοροι νίσσοντ' ἐπ' ἀνθρώπους ἀοιδαί* (var. *νίσοντ'*, Mosch. *νείσσοντ'*).

νῖφάς *nix, imber* Ol. X 51: *πρόσθε γὰρ — βρέχετο πολλᾷ νιφάδι* (sc. ὁ λόφος). met. Ol. VII 34: *ἔνθα ποτὲ βρέχε θεῶν βασιλεὺς ὁ μέγας χρυσέαις νιφάδεσσι πόλιν* (sc. Rhodiorum): *ὅτι πολὺν χύδην πλοῦτον αὐτοῖς κατεσκεύασεν.* Schol. Is. III 35 (IV 17): *τραχεῖα νιφὰς πολέμοιο τεσσάρων ἀνδρῶν ἐρήμωσεν μάκαιραν ἑστίαν.*

νῖφετός *nix* fr. 107 (74), 11: *νιφετοῦ σθένος ὑπέρφατον.*

νῖφόεις *nivosus* Py. I 20: *νιφόεσσ' Αἴτνα, πάνετες χιόνος ὀξείας τιθήνα.*

νίφω *ningo*, met. Is. VI (VII) 5: *χρυσῷ μεσονύκτιον νίφοντα δεξαμένα τὸν φέρτατον θεῶν.*

νοέω 1) *intellego, cognosco* Ne. V 18: *τὸ σιγᾶν πολλάκις ἐστὶ σοφώτατον ἀνθρώπῳ νοῆσαι*, ubi infin. per pleonasmum additur. Ol. XIII 48: *ἕπεται δ' ἐν ἑκάστῳ μέτρον· νοῆσαι δὲ καιρὸς ἄριστος*: nosse modum et observare. — 2) *cogito, volo*, c. inf. Ne. X 86: *εἰ δὲ κασιγνήτου πέρι μάρνασαι, πάντων δὲ νοεῖς ἀποδάσσασθαι ἴσον.*

νόημα *mens, consilium* Py. VI 29: *ἔγεντο καὶ πρότερον Ἀντίλοχος βιατὰς νόημα τοῦτο φέρων.* fr. 122 (87), 5: *πολλάκι ματέρ' ἐρώτων οὐρανίαν πτάμεναι νόημα ποττὰν Ἀφροδίταν* (Herm., v. *νοήματι*): „mentibus vestris" Boeckh. Ol. VII 72: *τέκεν ἑπτὰ σοφώτατα νοήματ' ἐπὶ προτέρων ἀνδρῶν παραδεξαμένους παῖδας.*

νόθος *nothus, ex pellice natus* Ol. VII 27: *Ἀλκμήνας κασίγνητον νόθον — Λικύμνιον.*

Νομάδες *Nomades* fr. 105 (72), 3: *Νομάδεσσι γὰρ ἐν Σκύθαις ἀλᾶται Στράτων.* Py. IX 123: *παρθένον — ἄγεν ἱππευτᾶν Νομάδων δι' ὅμιλον*: dicuntur Libyes circa Barcam habitantes, ubi Irasa urbs.

νομίζω *rite exerceo atque observo* Is. II 38: *αἰδοῖος μὲν ἦν ἀστοῖς ὁμιλεῖν ἱπποτροφίας τε νομίζων ἐν Πανελλάνων νόμῳ.* IV (V) 2: *σέο ἕκατι καὶ μεγασθενῆ νόμισαν χρυσὸν ἄνθρωποι περιώσιον ἄλλων*: aor. gnom. „in honore habent, aestimant" Dissen.

νόμιμος *legitimus, iustus* fr. 215

(152): ἄλλα δ' ἄλλοισιν νόμιμα, σφετέραν δ' αἰνεῖ δίκαν ἕκαστος.

Νόμιος *Nomius, Pastoralis* Py. IX 65: ἄγχιστον ὀπάονα μήλων, Ἀγρέα καὶ Νόμιον, τοῖς δ' Ἀρισταῖον καλεῖν.

νομός *pascuum, arvum* Ol. VII 33: ἐς ἀμφιθάλασσον νομόν: dicit insulam Rhodum imitatus oraculorum orationem. fr. 153 (125): δενδρέων δὲ νομὸν πολυγαθὴς Διόνυσος αυξάνοι, ἁγνὸν φέγγος ὀπώρας (Boeckh., vulgo νόμον). fr. 154 (126), 2: ἐλαφρὰν κυπάρισσον φιλέειν, ἐᾶν δὲ νομὸν Κρήτας περιδαῖον.

νόμος (sg. νόμος, -ῳ, -ον. pl. νόμων, -οις) 1) *usus, mos, institutum, lex* Ol. VIII 78: ἔστι δὲ καί τι θανόντεσσιν μέρος κὰν νόμον ἐρδομένων (var. καννόμον v. κἄννομον, quod rec. Mommsen.): „rite, ut inferiae" Dissen. Is. II 38: ἱπποτροφίας τε νομίζων ἐν Πανελλήνων νόμῳ. Ne. X 28: τρὶς δὲ καὶ σεμνοῖς δαπέδοις ἐν Ἀδραστείῳ νόμῳ (sc. λαχὼν στέφανον). Py. II 43: τέκεν γόνον ὑπερφίαλον μόνα καὶ μόνον οὔτ' ἐν ἀνδράσι γερασφόρον οὔτ' ἐν θεῶν νόμοις (var. νομοῖς). Ne. I 72: πὰρ Δὶ Κρονίδᾳ σεμνὸν αἰνήσειν νόμον (Mommsen. ex schol., libri δόμον v. γάμον, Bergk. σταθμόν). fr. 169 (151): νόμος ὁ πάντων βασιλεὺς θνατῶν τε καὶ ἀθανάτων ἄγει δικαιῶν τὸ βιαιότατον ὑπερτάτᾳ χειρί. c. gen. rei Py I 62: πόλιν κείναν — Ὑλλίδος στάθμας Ἱέρων ἐν νόμοις ἔκτισσε. Ne. III 55: Ἀσκλαπιόν, τὸν φαρμάκων δίδαξε μαλακόχειρα νόμον (var. νομόν). de republica ad certam quandam formam et legem constituta Py. II 86: ἐν πάντα δὲ νόμον εὐθύγλωσσος ἀνὴρ προφέρει (var. νομὸν): κατὰ πᾶσαν ἀρχήν. Schol. Py. X 70: ὑψοῦ φέροντι νόμον Θεσσαλῶν αὔξοντες (var. νόμους v. νόμων). — 2) de re musica: *nomus, modus* Py. XII 23: ἀλλά νιν (h. e. μέλος) εὗροισ' ἀνδράσι θνατοῖς ἔχειν ὠνόμασεν κεφαλᾶν πολλᾶν νόμον: v. κεφαλά. Ol. I 104 (101): ἐμὲ δὲ στεφανῶσαι κεῖνον ἱππίῳ νόμῳ Αἰοληίδι μολπᾷ χρή: v. ἵππιος. Ne. V 25: φόρμιγγ' Ἀπόλλων — πλάκτρῳ διώκων ἁγεῖτο παντοίων νόμων (Tricl. νομῶν). fr. 178 (169): νόμων ἀκούοντες θεόδματον κέλαδον (Bergk. θεοδμάτων).

νόος (sg. νόος, νόῳ, νόον, νοῦν?) *animus, mens* 1) vis cogitandi Is. I 40: ὁ πονήσαις δὲ νόῳ καὶ προμάθειαν φέρει. Py. V 110: κρέσσονα μὲν ἁλικίας νόον φέρβεται γλῶσσάν τε. Is. IV (V) 61: δεξιὸν νόῳ ἀντίπαλον. Py. III 29: Λοξίας κοινᾶνι παρ' εὐθυτάτῳ γνώμαν πιθὼν πάντα ἴσαντι νόῳ. Ol. II 101 (92): αὐδάσομαι ἐνόρκιον λόγον ἀλαθεῖ νόῳ. I 20 (19): εἴ τί τοι Πίσας τε καὶ Φερενίκου χάρις νόον ὑπὸ γλυκυτάταις ἔθηκε φροντίσιν. Ne. VI 6 (5): ἀλλά τι προσφέρομεν ἔμπαν ἢ μέγαν νόον ἤτοι φύσιν ἀθανάτοις: magna vi ingenii. Py. I 40: ἐθελήσαις ταῦτα νόῳ τιθέμεν εὔανδρόν τε χώραν. III 103: εἰ δὲ νόῳ τις ἔχει θνατῶν ἀλαθείας ὁδόν. VI 47: νόῳ δὲ πλοῦτον ἄγει: „cum sapientia, prudenter" Boeckh. et Dissen.; „in seinem Herzen" Mezger. fr. 213 (232), 4: δίχα μοι νόος ἀτρέκειαν εἰπεῖν. fr. 43 (173), 2: ὦ τέκνον, ποντίου θηρὸς πετραίου χρωτὶ μάλιστα νόον προσφέρων πάσαις πολίεσσιν ὁμίλει. — 2) vis sentiendi Ol. X 87: μάλα δέ οἱ θερμαίνει φιλότατι νόον (var. νέον). Py. II 89: οὐδὲ ταῦτα νόον ἰαίνει φθονερῶν. III 5: Φῆρ' ἀγρότερον νοῦν ἔχοντ' ἀνδρῶν φίλον (Tricl. probante Boeckhio, „ne tribrachys videretur pro trochaeo"; vulgo νόον, quod tenet Bergk.). Py. X 68: πειρῶντι δὲ καὶ χρυσὸς ἐν βασάνῳ πρέπει καὶ νόος ὀρθός. I 95: τὸν δὲ ταύρῳ χαλκέῳ καυτῆρα νηλέα νόον ἐχθρὰ Φάλαριν κατέχει παντᾷ φάτις, ubi νόον acc. limitationis. fr. 177 (168), 5: ἐν δασκίοισιν πατὴρ νηλεεῖ νόῳ. Py. VIII 18: εὐμενεῖ νόῳ Ξενάρκειον ἔδεκτο — υἱόν. V 44: ἑκόντι τοίνυν πρέπει νόῳ τὸν εὐεργέταν ὑπαντιάσαι, cf. VIII 67. Py. VI 51: τίν τ', Ἐλέλιχθον, — μάλα ἁδόντι νόῳ, Ποσειδᾶν, προσέχεται. Ne. VII 88: φαμέν κε γείτον' ἔμμεναι νόῳ φιλήσαντ' ἀτενέι γείτονι χάρμα πάντων ἐπάξιον. III 42: μυριᾶν δ' ἀρετᾶν ἀτελεῖ νόῳ γεύεται. Ol. IX 75: μαθεῖν Πατρόκλου βιατὰν νόον. — voluntas Py. V 122: Διός τοι νόος μέγας κυβερνᾷ δαίμον' ἀνδρῶν φίλων.

νόσος, νοῦσος (sg. νούσῳ, -ον. pl. νόσοι, -ων, νούσων, νόσους) *morbus* Py. X 41: νόσοι δ' οὔτε γῆρας οὐλόμενον κέκραται ἱερᾷ γενεᾷ. III 7: Ἀσκλαπιόν, ἥρωα παντοδαπᾶν ἀλκτῆρα νούσων. III 46: πόρε Κενταύρῳ διδάξαι πολυπήμονας ἀνθρώποισιν ἰᾶσθαι νόσους. V 63: βαρειᾶν νόσων

ἀκέσματ᾽ ἄνδρεσσι καὶ γυναιξὶ νέμει (sc. Apollo). Ol. VIII 85: ὀξείας δὲ νόσους ἀπαλάλκοι (sc. Ζεύς): „ideo precatur poeta, quod Iphion, fortasse etiam Callimachus, nuper morbo absumpti erant, pestifera opinor aliqua lue grassante" Boeckh. Py. III 66: ἰατῆρα — ἐσλοῖσι παρασχεῖν ἀνδράσιν θερμᾶν νόσων: „quum calculo laboraret Hiero Aristotele teste in Schol. ad Py. I 89, gravior tum forte videri potest fuisse hic morbus, orta inflammatione et febri" Dissen. fr. 139, 8: Ἰάλεμον, ὠμοβόλῳ νούσῳ πεδαθέντα σθένος. — met. Py. IV 293: ἀλλ᾽ εὔχεται οὐλομέναν νοῦσον διαντλήσαις ποτὲ οἶκον ἰδεῖν, ubi plerique exsilium intellegunt cum schol., verum morbum propter articulum non appositum Mezgerus.

νοστέω *redeo* Ne. XI 26: παρ᾽ εὐδένδρῳ μολὼν ὄχθῳ Κρόνου κάλλιον ἂν δηριώντων ἐνόστησ᾽ ἀντιπάλων (var. ἐνοστήσαντ᾽).

νόστος (sg. νόστος, -ου, -οιο, -ῳ, -ον) *reditus* in patriam Py. VIII 83: τοῖς οὔτε νόστος ὁμῶς ἔπαλπνος ἐν Πυθιάδι κρίθη. Is. VII 51 (VIII 56): γεφύρωσε τ᾽ Ἀτρεΐδαισι νόστον. Py. IV 196: φιλίαν νόστοιο μοῖραν. IV 32: νόστου πρόφασις γλυκεροῦ κώλυεν μεῖναι. Ne. IX 23: γλυκὺν νόστον ἐρυσσάμενοι (var. ἐρεισάμενοι). Py. I 35: ἐοικότα γὰρ καὶ τελευτᾷ φερτέρου νόστου τυχεῖν. Ne. II 24: κωμάξατε Τιμοδήμῳ σὺν εὐκλέι νόστῳ. Ol. VIII 69: ἐν τέτρασιν παίδων ἀπεθήκατο γυίοις νόστον ἔχθιστον. Ne. III 25: ἰδίᾳ τ᾽ ἐρευνάσε τεναγέων ῥοάς, ὅπᾳ πόμπιμον κατέβαινε νόστου τέλος, ubi sunt qui explicent „viae, itineris".

νοσφίζω *eripio*, c. dupl. acc. Ne. VI 70 (62): δύο μὲν Κρονίου πὰρ τεμένει, παῖ, σέ τ᾽ ἐνόσφισε καὶ Πολυτιμίδαν κλᾶρος προπετὴς ἄνθε᾽ Ὀλυμπιάδος.

νότιος *humidus* fr. 107 (74), 13: νότιον θέρος (sc. φέρεις).

Νότος *Notus, Auster* Py. IV 203: σὺν Νότου δ᾽ αὔραις ἐπ᾽ Ἀξείνου στόμα πεμπόμενοι ἤλυθον.

νύμφα 1) *sponsa* Ol. VII 14: τὰν ποντίαν ὑμνέων παῖδ᾽ Ἀφροδίτας Ἀελίοιό τε νύμφαν, Ῥόδον. Py. IX 56: Λιβύα δέξεται εὐκλέα νύμφαν: Cyrenen. Ne. V 33: εὐθὺς δ᾽ ἀπανάνατο νύμφαν: Hippolytam; „pro ἀπανάνατο εὐνήν, ut est. Hom. Od. X 297" Dissen. — 2) **Νύμφαι** *Nymphae* deae Ol. XII 19: δὶς ἐκ Πυθῶνος Ἰσθμοῖ τ᾽, Ἐργότελες, θερμὰ Νυμφᾶν λουτρὰ βαστάζεις: v. λουτρόν.

νυμφεῖος *uxorius* Ne. V 30: συνέπαξε λόγον, ὡς ἄρα νυμφείας ἐπείρα κεῖνος ἐν λέκτροις Ἀκάστου εὐνᾶς: „concubitum cum coniuge iuvenili Acasti" Dissen.

νυμφεύω *despondeo* Ne. III 56: νύμφευσε δ᾽ αὖτις ἀγλαόκολπον Νηρέος θύγατρα (sc. Chiron).

νύμφιος *nuptialis* Py. III 16: οὐκ ἔμειν᾽ ἐλθεῖν τράπεζαν νυμφίαν (var. νυμφιδίαν): sc. Coronis.

νυμφίος *sponsus* Py. IX 118: οὕτω δ᾽ ἐδίδου Λίβυς ἁρμόζων κόρᾳ νυμφίον ἄνδρα.

νῦν 1) *nunc, hoc tempore* a) c. ind. praes. v. perf. Py. VIII 49: ὁ δὲ καμὼν προτέρᾳ πάθᾳ νῦν ἀρείονος ἐνέχεται ὄρνιχος ἀγγελίᾳ Ἄδραστος. Is. V (VI) 44: εἴ ποτ᾽ ἐμᾶν, ὦ Ζεῦ πάτερ, θυμῷ θέλων ἀρᾶν ἄκουσας, νῦν σε, νῦν εὐχαῖς ὑπὸ θεσπεσίαις λίσσομαι. Ne. VI 15 (14): νῦν πέφαντ᾽ οὐκ ἄμμορος ἀμφὶ πάλᾳ. Ol. I 93 (91): νῦν δ᾽ ἐν αἱμακουρίαις ἀγλααῖσι μέμικται. Ol. III 43. VII 25. VIII 65. XIII 104. Py. I 17. IV 64. 290. V 20. Ne. V 43. Is. II 9. III 76 (IV 58). V (VI) 47. VII 61 (VIII 67). pro praes. est opt. c. κεν Is. IV (V) 48. omisso praedicato Ol. X 9: νῦν ψᾶφον ἑλισσομέναν ὅπᾳ κῦμα κατακλύσσει ῥέον, quod dictum esse pro νῦν ἔστιν ὅπᾳ v. ὅπως: „jetzt gilt es den Fall, wie" docuit Hermannus. Ne. VII 101: παίδων δὲ παῖδες ἔχοιεν αἰεὶ γέρας τό περ νῦν (sc. ἔχουσιν). add. neutr. articuli τὸ νῦν Py. V 117: θεὸς δέ οἱ τὸ νῦν τε πρόφρων τελεῖ δύνασιν, καὶ τὸ λοιπὸν ὁμοῖα, Κρονίδαι μάκαρες, διδοῖτ᾽ — ἔχειν. — c. aor. Py. I 50: νῦν γε μὰν τὰν Φιλοκτήταο δίκαν ἐφέπων ἐστρατεύθη. Is. I 39. III 36 (IV 18). V (VI) 5. VI (VII) 37. — c. fut. Py. IX 55: νῦν δ᾽ εὐρυλείμων πότνιά σοι Λιβύα δέξεται εὐκλέα νύμφαν. — b) c. imper. praes. v. aor., imprimis ubi fit transitus ad nova Ol. II 98 (89): ἔπεχε νῦν σκοπῷ τόξον, ἄγε θυμέ, τίνα βάλλομεν. VI 87: ὄτρυνον νῦν ἑταίρους, Αἰνέα. XI 11. XIV 15 (Bergk. νυν). 20. Py. IV 263. Is. IV (V) 38. add. ἀλλά Ol. IX 5. μή Ol. IX 40. — c) adduntur particulae νῦν δέ Ol. I 93 (91). XIII 104.

Py. IX 55. Is. I 39. II 9. III 36 (IV 18). III 76 (IV 58). *νῦν γε* Ol. III 43. Py. IV 290. add. *μέν* Py. IV 50. *μάν* Py. I 17. 50. *νῦν μέν* Ol. VIII 65. *νῦν αὖτ'* (Bergk. *αὖ*) Is. V 5. *ἀλλὰ νῦν* Ol. IX 5. Is. VI (VII) 37. *καὶ νῦν* Py. IV 64. V 20. Ne. V 43. Is. IV (V) 48. VII 61 (VIII 67). — d) c. artic. pro subst. *οἱ νῦν huius aetatis homines* Py. VI 44: *τῶν νῦν δὲ καὶ Θρασύβουλος πατρῴαν μάλιστα πρὸς στάθμαν ἔβα.* Ol. I 108 (105). — 2) *nunc (vero)*, quum ita res se habeat, in hac rerum conditione Py. IV 50: *νῦν γε μὲν ἀλλοδαπᾶν κριτὸν εὑρήσει γυναικῶν ἐν λέχεσιν γένος*: „quum ad Theram dissoluta gleba sit; opp. *εἰ γὰρ οἴκοι νιν βάλε* v. 43" Boeckh. post sent. conditionalem Ol. XII 17: *ἤτοι καὶ τεά κεν — ἀκλεὴς τιμὰ κατεφυλλορόησεν ποδῶν, εἰ μὴ στάσις — σ' ἄμερσε πάτρας. νῦν δ' Ὀλυμπίᾳ στεφανωσάμενος — θερμὰ Νυμφᾶν λουτρὰ βαστάζεις.*

νὺν part. encl. *nunc, hoc tempore* a) (part. *καὶ* ubique praemissa praeter Py. VI 19. XI 44) c. praes. v. perf. Ne. VI 10 (8): *τεκμαίρει καί νυν Ἀλκιμίδας τὸ συγγενὲς ἰδεῖν* (var. *νῦν*). Py. IV 42: *καί νυν ἐν τᾷδ' ἄφθιτον νάσῳ κέχυται Λιβύας εὐρυχόρου σπέρμα πρὶν ὥρας.* Ol. III 34. X 78. Py. VI 19 (var. *νιν*). XI 7. inf. aor. Py. III 66. add. neutr. articuli *τό γέ νυν* Py. XI 44. — c. aor. Ol. VII 13: *καί νυν ὑπ' ἀμφοτέρων σὺν Διαγόρᾳ κατέβαν.* Py. IX 71. — b) c. imper. Ne. I 13: *σπεῖρέ νυν ἀγλαΐαν τινὰ νάσῳ* (Beck. et Herm., libri *ἔγειρε νῦν*): iam. Is. II 43: *μή νυν — μήτ' ἀρετάν ποτε σιγάτω πατρῴαν μηδὲ τούσδ' ὕμνους* (var. *νῦν*): „nunc" Boeckh.; „igitur" Dissen. (de Ne. IV 77 v. *ἵνα*.)

νύξ (sg. *νυκτός, -ί, -(α).* pl. *νύκτες, -εσσιν, -ας*) *nox* Ol. I 2: *ὁ δὲ χρυσὸς αἰθόμενον πῦρ ἅτε διαπρέπει νυκτὶ μεγάνορος ἔξοχα πλούτου.* XIII 76: *ἀνὰ βωμῷ θεᾶς κοιτάξατο νύκτ'.* fr. 129 (95): *τοῖσι λάμπει μὲν μένος ἀελίου τὰν ἐνθάδε νύκτα κάτω.* Ol. II 67 (61): *ἴσαις δὲ νύκτεσσιν αἰεί, ἴσαις δ' ἀμέραις ἅλιον ἔχοντες.* fr. 142 (106): *θεῷ δὲ δυνατὸν ἐκ μελαίνας νυκτὸς ἀμίαντον ὄρσαι φάος.* fr. 130 (95), 2: *ἔνθεν τὸν ἄπειρον ἐρεύγονται σκότον βληχροὶ δνοφερᾶς νυκτὸς ποταμοί.* Py. IV 195: *νύκτας τε καὶ πόντου κελεύθους* (sc. *ἐκάλει*): v. *καί* I) A) 1). Py. IV 115: *νυκτὶ κοινάσαντες ὁδόν*: v. *κοινάω*. Py. IV 256: *ὑμετέρας ἀκτῖνος ὄλβου δέξατο μοιρίδιον ἆμαρ ἢ νυκτες*: „horae nocturnae h. e. nox" Dissen., cf. Ne. VI 7: *ἐφαμερίαν οὐκ εἰδότες οὐδὲ μετὰ νύκτας ἄμμε πότμος οἵαν τιν' ἔγραψε δραμεῖν ποτὶ στάθμαν*: „nach Verfluſs der Nacht" Mezger. Ol. VI 101: *ἐν χειμερίᾳ νυκτί.* Is. III 54 (IV 36): *ὀψίᾳ ἐν νυκτί.* Py. IV 130: *ἀθρόαις πέντε δραπὼν νύκτεσσιν ἔν θ' ἁμέραις ἱερὸν εὐζωᾶς ἄωτον.* Ol. VI 61: *ἐκάλεσσε Ποσειδᾶν' εὐρυβίαν — νυκτὸς ὑπαίθριος*: noctu.

νωδῡνία *indolentia* Py. III 6: *τέκτονα νωδυνίας ἅμερον γυιαρκέος Ἀσκλαπιόν* (var. *τέκτον' ἀνωδυνίας*).

νώδυνος *doloris expers* Ne. VIII 50: *ἐπαοιδαῖς δ' ἀνὴρ νώδυνον καί τις κάματον θῆκεν.*

νωμάω (praes. *νώμα, -άτω. νωμῶν, -ῶντα.* fut. *νωμάσοισιν.* aor. *νωμάσαντ'*) 1) *distribuo* Ne. IX 51: *ἀργυρέαισι δὲ νωμάτω φιάλαισι βιατὰν ἀμπέλου παῖδ'.* — 2) *verso, rego* Py. VII 47: *θαέομαι σαφὲς δράκοντα ποικίλον αἰθᾶς Ἀλκμᾶν' ἐπ' ἀσπίδος νωμῶντα.* fr. 111 (77): *πολλὰ δ' ἔμβαλ' ἕλκεα νωμῶν τραχὺ ῥόπαλον.* Py. IV 18: *ἀνία τ' ἀντ' ἐρετμῶν δίφρους τε νωμάσοισιν ἀελλόποδας* (var. *νωμάσουσιν*). Is. I 15: *ἀνία τ' ἀλλοτρίαις οὐ χερσὶ νωμάσαντ' ἐθέλω — ἐναρμόξαι νιν ὕμνῳ.* met. Py. I 86: *νώμα δικαίῳ πηδαλίῳ στρατόν.* (de Ol. VII 32 v. *ναῦς*.)

νώνυμνος *nomine carens, obscurus, ignobilis* Ol. X 51: *καὶ πάγον Κρόνου προσεφθέγξατο· πρόσθε γὰρ νώνυμνος, ἇς Οἰνόμαος ἆρχε, βρέχετο πολλᾷ νιφάδι* (var. *νώνυμος* v. *νώνυμον*).

νῶτον (sg. *νώτῳ, -ον.* pl. *νώτων, -οισιν, -α*) *tergum, dorsum* 1) animantium Py. IV 83: *ἅπαν νῶτον καταίθυσσον* (*κομᾶν πλόκαμοι*). Ne. X 44: *ἐκ δὲ Πελλάνας ἐπιεσσάμενοι νῶτον μαλακαῖσι κρόκαις* (*ἀπέβαν*): v. *κρόκα.* Py. I 28: *στρωμνὰ δὲ χαράσσοισ' ἅπαν νῶτον ποτικεκλιμένον κεντεῖ*: sc. Typhoei sub Aetna iacentis. Py. IV 183: *Ζήταν Κάλαΐν τε —, ἄνδρας πτεροῖσιν νῶτα πεφρίκοντας ἄμφω πορφυρέοις.* I 9: *ὁ δὲ* (aquila) *κνώσσων ὑγρὸν νῶτον αἰωρεῖ.* plur. pro sing. Ne. IX 26: *κρύψεν δ' ἅμ' ἵπποις* (Amphiaraum), *δουρὶ Περικλυμένου πρὶν νῶτα τυπέντα μαχατὰν*

θυμὸν αἰσχυνθῆμεν. met. Ne. VI 65 (57): *ἑκόντι δ' ἐγὼ νώτῳ μεθέπων δίδυμον ἄχθος ἄγγελος ἔβαν.* — 2) regionum Py. IV 228: *ἀνὰ βωλακίας δ' ὀρόγυιαν σχίζε νῶτον γᾶς.* IV 26: *ἐξ Ὠκεανοῦ φέρομεν νώτων ὕπερ γαίας ἐρήμων* (var. *ἐρήμου*) *εἰνάλιον δόρυ*: dicuntur deserta Libyae. Ol. VII 87: *ὦ Ζεῦ πάτερ, νώτοισιν Ἀταβυρίου μεδέων*: in iugis.

Ξ

ξανθοκόμας *flavicomus* Ne. IX 17: *ξανθοκομᾶν Δαναῶν.*

ξανθός (sg. m. ξανθός, -ῶ. f. ξανθά, -άν. pl. f. ξανθᾶν, -αῖς, -αῖσι, -άς. n. ξανθά) *flavus, fulvus* 1) de hominibus deisve: flavicomus Ne. III 43: *ξανθὸς δ' Ἀχιλεύς.* VII 28: *ξανθῷ Μενέλᾳ δάμαρτα κομίσαι* (var. *ξανθῶ Μενέλα*). fr. 34 (9): *ξανθὰν Ἀθάναν.* Ne. X 7: *ξανθά — Γλαυκῶπις.* V 54: *ξανθαῖς Χάρισσιν.* — 2) de animalibus Py. IV 149: *βοῶν ξανθὰς ἀγέλας.* IV 225: *βόας, οἳ φλόγ' ἀπὸ ξανθᾶν γενύων πνέον.* fr. 237 (261): *ξανθὸς λέων.* — 3) de rebus Ol. VII 49: *κείνοις ὁ μὲν ξανθὰν ἀγαγὼν νεφέλαν πολὺν ὗσε χρυσόν: τὴν ἔγκυον οὖσαν χρυσοῦ.* Schol. Ol. VI 55: *ἴων ξανθαῖσι καὶ παμπορφύροις ἀκτῖσι βεβρεγμένος.* fr. 122 (87): *τᾶς χλωρᾶς λιβάνου ξανθὰ δάκρη θυμιᾶτε.* fr. 79 (48), 5: *αἰθομένα δὲ δᾴς ὑπὸ ξανθαῖσι πεύκαις* (var. *ξανθῆσι*).

Ξάνθος *Xanthus* fluvius Ol. VIII 47: *Ξάνθον ἤπειγ' ἢ καὶ Ἀμαζόνας εὐίππους καὶ ἐς Ἴστρον ἐλαύνων* (sc. Apollo): „recte Heynium arbitror Xanthum Troadis intelligere, ubi equi Apollinis relicti pabulum carpserint, ut ap. Hom." Boeckh.

ξείνιος, ξεῖνος v. **ξένιος, ξένος.**

ξεινοδοκέω fr. 311 (278): *ὁ δὲ Πίνδαρος· ξεινοδόκησέν τε δαίμων· ἀντὶ τοῦ ἐμαρτύρησε* (Apollon. Lex. Hom. 117, 25).

ξεναγέτας *hospites circumducens et excipiens* Ne. VII 43: *βάρυνθεν δὲ περισσὰ Δελφοὶ ξεναγέται*: h. e. hospitales.

ξενἀπάτας *hospitum deceptor* Ol. X 34: *ξεναπάτας Ἐπειῶν βασιλεύς*: dicitur Augias, quia Herculem hospitem fraudaverat.

Ξενάρκειος *Xenarceus*, ad Xenarcem pertinens Py. VIII 19: *Ξενάρκειον ἔδεκτο Κίρραθεν ἐστεφανωμένον υἱόν*: Aristomenem.

Ξενάρκης *Xenarces* Aegineta, pater Aristomenis Py. VIII 72: *θεῶν δ' ὄπιν ἄφθιτον αἰτέω, Ξέναρκες, ὑμετέραις τύχαις* (Tricl. *Ξείναρκες*).

ξεναρκής *hospites defendens ab iniuria aut inopia* Ne. IV 12: *δέξαιτο δ' Αἰακιδᾶν ἠύπυργον ἕδος, δίκᾳ ξεναρκέι κοινὸν φέγγος* (Tricl, libri *ξεναρκεῖ*).

ξενία *hospitium, hospitalitas* Ne. X 49: *Κάστορος δ' ἐλθόντος ἐπὶ ξενίαν πὰρ Παμφάη* (Tricl. *ξεινίαν*, Bergk. coni. *ξένια πρὸς*). Py. X 64: *πέποιθα ξενίᾳ προσανέι Θώρακος*: „Thessalorum gentes nobiles *φιλοξενίᾳ* insignes erant, cf. Xen. Hist. Gr. VI 1, 3" Dissen. plur. Ol. IV 13 (17): *χαίροντά τε ξενίαις πανδόκοις* (var. *ξεινίαις*). (de Ne. VII 65 v. *προξενία*.)

ξένιος, ξείνιος (sg. m. ξενίου, ξεινίου. f. ξενίαν, ξεινίαν. n. ξένιον. pl. f. ξεινίαις. n. ξείνι(α)) 1) adi. *hospitalis* Ne. IV 23: *φίλοισι γὰρ φίλος ἐλθὼν ξένιον ἄστυ κατέδραμεν Ἡρακλέος ὀλβίαν πρὸς αὐλάν.* Py. III 23: *γνοὺς Ἴσχυος Εἰλατίδα ξεινίαν κοίταν ἄθεμίν τε δόλον.* Is. II 39: *οὐδέ ποτε ξενίαν οὖρος ἐμπνεύσαις ὑπέστειλ' ἱστίον ἀμφὶ τράπεζαν* (var. *ξενίοις*). Ol. III 40: *πλείσταισι βροτῶν ξεινίαις αὐτοὺς ἐποίχονται τραπέζαις.* Ne. XI 8: *καὶ ξενίου Διὸς ἀσκεῖται θέμις αἰενάοις ἐν τραπέζαις.* Ol. VIII 21: *ἔνθα Σώτειρα Διὸς ξενίου πάρεδρος ἀσκεῖται Θέμις ἔξοχ' ἀνθρώπων.* Ne. V 33: *ἀπανάνατο νύμφαν ξεινίου πατρὸς χόλον δείσαις*: h. e. Iovis. — 2) subst. **τὸ ξένιον** *donum hospitale* Py. IV 35: *ἂν δ' εὐθὺς ἁρπάξαις ἀρούρας δεξιτερᾷ προτυχὸν ξένιον μάστευσε δοῦναι.* plur. pro sing. Py. IV 22: *γαῖαν διδόντι ξείνια πρῴραθεν Εὔφαμος καταβὰς δέξατ'.* de epulis hospitalibus Py. IV 129: *ξείνι' ἁρμόζοντα τεύχων.* (de Is. V 46 v. *ξένος.*)

Ξε(ι)νο͂κράτης *Xenocrates* Agrigentinus, pater Thrasybuli, bis in Pythiis et in Isthmiis curru victor, quarum victoriarum memoria celebratur Py. VI et Is. II carminibus; Py. VI 6: *Πυθιόνικος ἔνθ' ὀλβίοισιν Ἐμμενίδαις ποταμίᾳ τ' Ἀκράγαντι καὶ μὰν Ξενοκράτει ἑτοῖμος ὕμνων θησαυρὸς ἐν πολυχρύσῳ Ἀπολλωνίᾳ τετείχισται νάπᾳ.* Is. II 14: *ἀείδω Ἰσθμίαν ἵπποισι νίκαν, τὰν Ξενο͂κράτει Ποσειδάων ὀπάσαις Δωρίων αὐτῷ στεφάνωμα κόμᾳ πέμπεν ἀναδεῖσθαι σελίνων.* II 36: *μακρὰ δισκήσαις ἀκοντίσσαιμι τοσοῦθ', ὅσον ὀργὰν Ξεινοκράτης ὑπὲρ ἀνθρώπων γλυκεῖαν ἔσχεν.*

πεδάω (act. ipf. ἐπέδα. aor. πέδασον. πεδᾶσαι. pass. aor. πεδάθη. πεδαθέντα) 1) *impedio, cohibeo* Py. VI 32: Νεστόρειον γὰρ ἵππος ἅρμ' ἐπέδα Πάριος ἐκ βελέων δαϊχθείς. Ol. I 78 (76): πέδασον ἔγχος Οἰνομάου χάλκεον. — 2) *opprimo, occido* Ne. V 26: ὥς τέ νιν ἁβρὰ Κρηθεῒς Ἱππολύτα δόλῳ πεδᾶσαι ἤθελε: ἀνελεῖν ἐβουλήθη. Schol. fr. 135 (100): πέφνε δὲ τρεῖς καὶ δέκ' ἄνδρας· τετράτῳ δ' αὐτὸς πεδάθη (sc. Oenomaus). fr. 139, 8: Ἰάλεμον ὠμοβόλῳ νούσῳ πεδαθέντα σθένος (Schneidew. et Welcker., cod. παῖδα θέντοι).

πεδιάς *plana* Py. V 92: εὐθύτομόν τε κατέθηκεν Ἀπολλωνίαις ἀλεξιμβρότοις πεδιάδα πομπαῖς ἔμμεν ἱππόκροτον σκυρωτὰν ὁδόν.

πέδῑλον 1) *calceus* Py. IV 95: τάφε δ' αὐτίκα παπτάναις ἀρίγνωτον πέδιλον δεξιτερῷ μόνον ἀμφὶ ποδί (sc. Iasonis). met. Ol. VI 8: ἴστω γὰρ ἐν τούτῳ πεδίλῳ δαιμόνιον πόδ' ἔχων Σωστράτου υἱός: h. e. „sors illius magnifica convenit huic condicioni, quam dixi; proverbialiter dictum" Boeckh. — 2) *rhythmus*, qui pede pulsatur Ol. III 5: Δωρίῳ φωνὰν ἐναρμόξαι πεδίλῳ.

πεδίον (sg. πεδίον, -ῳ, -ον. pl. πεδίων) *campus, ager* et ad colendum et ad pugnandum aptus Ne. VIII 37: χρυσὸν εὔχονται, πεδίον δ' ἕτεροι ἀπέραντον. VI 12 (10): ἀρούραισιν, αἵτ' ἀμειβόμεναι τόκα μὲν ὦν βίον ἀνδράσιν ἐπηετανὸν ἐκ πεδίων ἔδοσαν. Py. IV 52: φῶτα κελαινεφέων πεδίων δεσπόταν. Is. VII 54 (58): ταί νιν ῥύοντό ποτε μάχας ἐναριμβρότου ἔργον ἐν πεδίῳ κορύσσοντα. VII 50 (VIII 55): ὃ καὶ Μύσιον ἀμπελόεν αἵμαξε Τηλέφου μέλανι ῥαίνων φόνῳ πεδίον. fr. 172 (158), 2: Τρώϊον ἂμ πεδίον (var. πέδιλα). add. gen. Is. VII 40 (VIII 44): ὄντ' εὐσεβέστατον φρασὶν Ἰωλκοῦ τράφεν πεδίον. Py. V 52: ἦλθες ἤδη Λιβύας πεδίον. cf. IV 259. Ol. XIII 29: τεθμόν, τὸν ἄγει πεδίων Πίσας. Ne. I 67: ὅταν θεοὶ ἐν πεδίῳ Φλέγρας Γιγάντεσσιν μάχαν ἀντιάζωσιν. Ol. IX 71: Τεύθραντος πεδίον μολὼν ἔστα σὺν Ἀχιλλεῖ μόνος (sc. Patroclus).

πεδόθεν *a fundo, funditus* Ol. VII 62: ὁρᾶν ἔνδον θαλάσσας αὐξομέναν πεδόθεν πολύβοσκον γαῖαν. met. Is. IV (V) 38: ἔλα νῦν μοι πεδόθεν: ἐπ' εὐθείας ὁδοῦ καὶ δι' ὁμαλοῦ. Schol. „über den Grund" Mezger., qui comparat Homericum

πεδίοιο δίεσθαι v. διώκειν; dicit autem poeta nunc se firmum quasi fundamentum nactum esse ac commodam viam canendi; plerique tamen cum Dissenio πεδόθεν hic pro ἐξ ἀρχῆς dici existimant.

πέδοικος fr. 25: καὶ τὸ πέδοικος ὅ ἐστι μέτοικος (Eust. Pr. 21).

πέδον *solum, campus* Py. I 28: Αἴτνας ἐν μελαμφύλλοις δέδεται κορυφαῖς καὶ πέδῳ (sc. Τυφώς). Ol. X 46: τὸ δὲ κύκλῳ πέδον ἔθηκε δόρπου λύσιν. fr. 107 (74), 12: ἢ πόντου κενέωσιν ἀνὰ πέδον χθονός.

πεζοβόας *miles pedes* Ne. IX 34: Χρομίῳ κεν ὑπασπίζων παρὰ πεζοβόαις ἵπποις τε ναῶν τ' ἐν μάχαις: „h. e. πεζομάχαι, nam βοή est μάχη, ut ἀυτή, usu Homerico" Dissen.

πεζομάχας *miles pedes* Py. II 65: τὰ μὲν ἐν ἱπποσόαισιν ἄνδρεσσι μαρνάμενον, τὰ δ' ἐν πεζομάχαισι (var. πεζομάχοισι).

πεζός 1) *terrestri itinere incedens* Py. X 29: ναυσὶ δ' οὔτε πεζὸς ἰὼν τάχ' εὕροις ἐς Ὑπερβορέων ἀγῶνα θαυματὰν ὁδόν. — 2) *pedes* fr. 206 (222): παρὰ Λύδιον ἅρμα πεζὸς οἰχνέων.

πείθω (act. praes. πειθέμεν. aor. I ἔπεισε. πείσαις, -αισ'. πιθήσαντα. aor. II πίθον. πιθών. πεπιθών. perf. πέποιθ(α). — med. praes. πείθονται. πείθεσθ'. aor. II πίθεο. πιθέσθαι. πιθόμενοι) I) Act. 1) trans. *permoveo* aliquem verbis vel alio modo ut faciat aliquid aut credat, *flecto, persuadeo*, c. acc. Ol. II 88 (80): Ἀχιλλέα τ' ἔνεικ', ἐπεὶ Ζηνὸς ἦτορ λιταῖς ἔπεισε, μάτηρ. III 16: δᾶμον Ὑπερβορέων πείσαις Ἀπόλλωνος θεράποντα λόγῳ. Ne. V 28: ξυνᾶνα Μαγνήτων σκοπὸν πείσαισ' ἀκοίταν ποικίλοις βουλεύμασιν: inducens. Ne. V 37: Ποσειδάωνα πείσαις. Py. III 28: γνώμαν πιθών (E. Schmid., libri γνώμαν v. γνώμᾳ πεπιθών, unde Boeckh. γνώμᾳ πιθών): animo h. e. sibi persuadens, licet nolens. — add. inf. Py. III 65: ἰατῆρά τοί κέν νιν πίθον καί νυν ἐσλοῖσι παρασχεῖν ἀνδράσιν θερμᾶν νόσων. Ne. VII 95, si probamus emendationem Bergkii verba δύνασαι δέ, ut mediae inserta orationi, a ceteris separantis. — 2) intr. a) perf. *persuasum habeo* Ol. I 106 (103): πέποιθα δὲ ξένον μή τιν' ἀμφότερα καλῶν τε ἴδριν ἅμμε καὶ δύναμιν κυριώτερον τῶν γε νῦν — δαιδαλωσέμεν. — c. dat. *fretus sum* Py. X 64: πέποιθα ξενίᾳ προσανέι Θώρακος. cf. Ne. VII 65. fr. 219 (240): οἱ δ' ἄφνει πεποίθασιν (var. ὃ . . . πέποιθεν). — b) aor. *obsequor* Py. IV 109: Πελίαν — λευκαῖς πιθήσαντα φρασίν. Is. III 90 (IV 72): κυβερνατῆρος οἰακοστρόφου γνώμᾳ πεπιθὼν πολυβούλῳ. — II) Med. 1) *obsequor, pareo* Py. I 3: πείθονται δ' ἀοιδοὶ σάμασιν (sc. φόρμιγγος). Ne. VIII 10: ἤθελον κείνου γε πείθεσθ' ἀναξίαις ἑκόντες. Ol. XIII 79. add. inf. Py. I 59: Μοῖσα, καὶ πὰρ Δεινομένει κελαδῆσαι πίθεό μοι ποινὰν τεθρίππων (Tricl., libri πείθεο). — 2) *confido* Py. IV 200: ἀμπνοὰν δ' ἥρωες ἔστασαν θεοῦ σάμασιν πιθόμενοι (var. πειθόμενοι).

Πειθώ *Suada* dea, socia Veneris amorumque conciliatrix Py. IV 219: ἐν φρασὶ καιομέναν — μάστιγι Πειθοῦς. IX 39: κρυπταὶ κλαΐδες ἐντὶ σοφᾶς Πειθοῦς ἱερᾶν φιλοτάτων (Bergk. σοφοῖς). fr. 122 (87), 2: πολύξεναι νεάνιδες, ἀμφίπολοι Πειθοῦς ἐν ἀφνειῷ Κορίνθῳ. 123 (88), 10: ἐν δ' ἄρα καὶ Τενέδῳ Πειθώ τε ναίει καὶ Χάρις υἱὸν Ἁγησίλα.

πεῖρα *experimentum, periculum* Ne. III 70: ἐν δὲ πείρᾳ τέλος διαφαίνεται, ὧν τις ἐξοχώτερος γένηται. de certamine Ne. IV 76: ἔνθα πεῖραν ἔχοντες οἴκαδε κλυτοκάρπων οὐ νέοντ' ἄνευ στεφάνων. IX 28: πεῖραν μὲν ἀγάνορα Φοινικοστόλων ἐγχέων ταύταν θανάτου πέρι καὶ ζωᾶς ἀναβάλλομαι ὡς πόρσιστα.

πειραίνω *finio, compono* Is. VII 24 (VIII 25): ὃ (Aeacus) καὶ δαιμόνεσσι δίκας ἐπείραινε (var. ἐπέραινε).

Πειράνα *Pirene*, nobilissimus fons in Acrocorintho Ol. XIII 61: ἐξεύχετ' ἐν ἄστεϊ Πειράνας σφετέρου πατρὸς ἀρχὰν — ἔμμεν.

πεῖρας, πέρας 1) *finis, exitus* Py. IV 220: καὶ τάχα πείρατ' ἀέθλων δείκνυεν πατρωίων: „quomodo superari et ad felicem exitum perduci possent certamina" Dissen. — 2) *terminus* Ol. II 34 (31): ἤτοι βροτῶν γε κέκριται πεῖρας οὔ τι θανάτου (var. πέρας): „meta mortis" Dissen. Ne. VII 19: ἀφνεὸς πενιχρός τε θανάτου πέρας ἅμα νέονται (Wieseler., libri

πάρα σᾶμα, Bergk. *πόρον σάμα*). — 3) *fastigium, summa* Py. I 81: *καιρὸν εἰ φθέγξαιο, πολλῶν πείρατα συντανύσαις ἐν βραχεῖ, μείων ἕπεται μῶμος ἀνθρώπων.*

πειράω (act. praes. *πειρῶντι*. ipf. *ἐπείρα*. med. praes. *πειρᾶσθαι*. *πειρώμενος*, *-ον*. ipf. (*ἐ*)*πειρᾶτο*. perf. *πεπειραμένων*) *periculum facio, experior* 1) Act. Py. X 67: *πειρῶντι δὲ καὶ χρυσὸς ἐν βασάνῳ πρέπει καὶ νόος ὀρθός*: exploranti. — c. gen. Ne. V 30: *συνέπαξε λόγον, ὡς ἄρα νυμφείας ἐπείρα κεῖνος ἐν λέκτροις Ἀκάστου εὐνᾶς*: illum tentasse; sensu obscoeno. — 2) Med. c. gen. Ol. II 57 (52): *τὸ δὲ τυχεῖν πειρώμενον ἀγωνίας παραλύει δυσφρονᾶν.* Ne. XI 23: *ἐν Πυθῶνι πειρᾶσθαι καὶ Ὀλυμπίᾳ ἀέθλων.* I 43: *πειρᾶτο δὲ πρῶτον μάχας.* fr. 110 (76): *γλυκὺ δ' ἀπείροισι πόλεμος· πεπειραμένων δέ τις ταρβεῖ προσιόντα νιν καρδίᾳ περισσῶς*, ubi suppl. gen. Py. IV 84: *σφετέρας ἐστάθη γνώμας ἀταρβάκτοιο πειρώμενος ἐν ἀγορᾷ πλήθοντος ὄχλου*: *πρὸς παρρησίαν ὅλον ἑαυτὸν παρεσκεύαζεν.* Schol. — c. acc. Py. II 34: *Διὸς ἄκοιτιν ἐπειρᾶτο*: tentabat; obscoeno sensu, ut activum Ne. V 30.

Πειρίθοος *Pirithous*, amicus Thesei fr. 175 (161). 258 (163); v. *Ἀντιόπη* et *Διόσκουροι*.

Πείσανδρος *Pisander* Achaeus, oriundus ab Amyclis Ne. XI 33: *συμβαλεῖν μὰν εὐμαρὲς ἦν τό τε Πεισάνδρου πάλαι αἷμ' ἀπὸ Σπάρτας — Ἀμύκλαθεν γὰρ ἔβα σὺν Ὀρέστᾳ Αἰολέων στρατιὰν χαλκεντέα δεῦρ' ἀνάγων — καὶ κτλ.*: „quum Dorienses Peloponnesum invasissent, Pisander cum Pelopidis Amyclis migraverat et per Boeotiam, ubi Cadmeos etiam et Boeotos suscepit permultos, pervenit in insulam Tenedum; quum autem postea Doriensibus in illis terris regnantibus Sparta sedes imperii esset, Pindarus praesentium temporum rationem secutus simul Spartanum dicit Pisandrum“ Dissen.

πεισιχάλῑνος *parens habenis* Py. II 11: *ξεστὸν ὅταν δίφρον ἔν θ' ἅρματα πεισιχάλινα καταζευγνύῃ σθένος ἵππιον.*

πέλᾰγος (sg. *πελάγει*, *πελάγεϊ*. pl. *πελάγεσσιν*) *pelagus, mare, aequor* Py. IV 40: *πεύθομαι δ' αὐτὰν* (glebam) *κατακλυσθεῖσαν ἐκ δούρατος ἐναλίαν βᾶμεν σὺν ἅλμᾳ ἑσπέρας ὑγρῷ πελάγει σπομέναν.* Ne. III 23: *δάμασε δὲ θῆρας ἐν πελάγεϊ ὑπερόχους* (var. *πελάγει* v. *πελάγεσϊ*). Ol. VII 56: *φανερὰν ἐν πελάγει Ῥόδον ἔμμεν ποντίῳ.* Ne. IV 49: *ἐν δ' Εὐξείνῳ πελάγει φαεννὰν Ἀχιλεὺς νᾶσον* (sc. *ἔχει*). fr. 235 (259): *ἀκύμονος ἐν πόντου πελάγει.* Py. IV 251: *ἐν τ' Ὠκεανοῦ πελάγεσσι μίγεν πόντῳ τ' ἐρυθρῷ*: in undis. — met. pro *copia* fr. 218 (239): *πελάγει δ' ἐν πολυχρύσοιο πλούτου πάντες ἴσα πλέομεν ψευδῆ πρὸς ἀκτάν.*

πελάζω *admoveo, affero* Py. IV 227: *τοὺς* (sc. *βόας*) *ἀγαγὼν ζεύγλᾳ πέλασσεν μοῦνος.* Ne. X 81: *τόνδε δ' ἔπειτα πόσις σπέρμα θνατὸν ματρὶ τεᾷ πελάσαις στάξεν ἥρως.* met. Ol. I 80 (78): *κράτει δὲ πέλασον* (sc. *ἐμέ*): fac compotem.

πέλας *prope* Is. I 29: *ῥεέθροισί τε Δίρκας ἔφανεν καὶ παρ' Εὐρώτᾳ πέλας.* c. dat. Ol. VII 18: *Ἀσίας εὐρυχόρου τρίπολιν νᾶσον πέλας ἐμβόλῳ ναίοντας* (var. *ἐμβόλω*). Ne. XI 4: *εὖ μὲν Ἀρισταγόραν δέξαι τεὸν ἐς θάλαμον, εὖ δ' ἑταίρους ἀγλαῷ σκάπτῳ πέλας* (var. *πύλας*): „stabat igitur in illo prytaneo statua Vestae sceptrum tenentis, prope aram publicam, ad quam accesserant preces facturi“ Dissen.

Πελειάδες *Pleiades, Vergiliae* Ne. II 11: *ἔστι δ' ἐοικὸς ὀρειᾶν γε Πελειάδων μὴ τηλόθεν Ὠαρίωνα νεῖσθαι*: „fuerunt filiae Atlantis et Pleiones, degentes in monte Cyllene, unde nunc montanae dicuntur; Orion quum earum amore flagraret, fugerunt et in columbas conversae sunt, postea in stellas, quae in coelo non longe distant ab Orione“ Dissen. et Mezger.; v. *Πληιόνα*. hic autem lusus est, cuius sensum iam perspexit schol.: *εἰκός ἐστι καὶ προσδοκητέον τὸ νικῆσαι αὐτὸν* (Timodemum) *ἐν τοῖς προειρημένοις ἀγῶσι, Τιμονόου ὄντα παῖδα καὶ κατ' ἴχνος βαίνοντα τοῦ πατρός.*

πέλεκυς *securis* Py. IV 263: *εἰ γάρ τις ὄζους ὀξυτόμῳ πελέκει ἐξερείψῃ μὲν μεγάλας δρυός.* Ol. VII 36: *ἀνίχ' Ἁφαίστου τέχναισιν χαλκελάτῳ πελέκει πατέρος Ἀθαναία κορυφὰν κατ' ἄκραν ἀνορούσαισ' ἀλάλαξεν*, ubi dat. pendere a *τέχναισιν* existimat Mezger. fr. 34 (9): *ὃς καὶ*

τυπεὶς ἀγνῷ πελέκει τέκετο ξανθὰν Ἀθάναν.

πελεμίζω *moveo, concutio* Ne. VIII 29: ἦ μὰν ἀνόμοιά γε δάοισιν ἐν θερμῷ χροΐ ἕλκεα ῥῆξαν πελεμιζόμενοι ὑπ' ἀλεξιμβρότῳ λόγχᾳ (Wakefield., libri πολεμιζόμενοι): κινούμενοι. Schol. (de Ol. IX 32 v. πολεμίζω.)

Πελίας (Πελίας, -α, -αο, -αν) *Pelias*, Crethei vel Neptuni (v. Py. IV 138) et Tyrus filius, rex Iolci Py. IV 71: θέσφατον ἦν Πελίαν ἐξ ἀγαυῶν Αἰολιδᾶν θανέμεν χείρεσσιν ἢ βουλαῖς ἀκάμπτοις. IV 109: πεύθομαι γάρ νιν Πελίαν ἄθεμιν λευκαῖς πιθήσαντα φρασὶν ἁμετέρων ἀποσυλᾶσαι βιαίως ἀρχεδικᾶν τοκέων. IV 94: Πελίας ἵκετο σπεύδων. IV 156: ἀκᾷ δ' ἀνταγόρευσεν καὶ Πελίας. IV 134: ἦλθον Πελία μέγαρον. IV 250: κλέψεν τε Μήδειαν σὺν αὐτᾷ, τὰν Πελίαο φόνον (var. πελιαοφόνον). Ne. IV 60: φύτευέ οἱ θάνατον ἐκ λόχου Πελίαο παῖς: Acastus.

Πελινναῖον *Pelinnaeum* (s. *Pelinna, Pelina*), oppidum haud procul a Peneo, patria Phriciae et Hippocleae Py. X 4: ἀλλά με Πυθώ τε καὶ τὸ Πελινναῖον ἀπύει Ἀλεύα τε παῖδες.

Πελλᾱνα *Pellene*, urbs Achaica Ol. IX 98: ψυχρᾶν — εὐδιανὸν φάρμακον αὐρᾶν Πελλάνᾳ φέρε: „ludi Pellanenses fuerunt Theoxenia et Hermaea Apollini et Mercurio dicata, praeterea Iovialia, in quibus omnibus olim laenas pro praemiis datas suspicatur Boeckhius" Dissen., v. κρόκα. Ne. X 44: ἐκ δὲ Πελλάνας (sc. ἀπέβαν) ἐπιεσσάμενοι νῶτον μαλακαῖσι κρόκαις. Ol. XIII 109: Πέλλανά τε καὶ Σικυών (Herm., v. Πελλάνα): sc. μαρτυρήσει. VII 86: Πέλλανά τ' Αἴγινά τε νικῶνθ' ἑξάκις (var. Πελλάνᾳ τ' Αἰγίνᾳ, Αἴγινα Πελλάνα τε): sc. ἔγνω.

Πελοπηιάδαι *Pelopidae* h. e. Pelopis posteri Ne. VIII 12: οἵ τε κρανααῖς ἐν Ἀθάναισιν ἅρμοζον στρατὸν οἵ τ' ἀνὰ Σπάρταν Πελοπηιάδαι (Schmid., libri Πελοπίδαι).

Πέλοψ (Πέλοψ, -οπος) *Pelops*, Tantali filius, coniux Hippodamiae, rex Pisae Ol. IX 9: ἀκρωτήριον Ἄλιδος —, τὸ δή ποτε Λυδὸς ἥρως Πέλοψ ἐξάρατο κάλλιστον ἕδνον Ἱπποδαμείας. I 24: λάμπει δέ οἱ κλέος ἐν εὐάνορι Λυδοῦ Πέλοπος ἀποικίᾳ: „Pisa Olympiae vicina" Boeckh. Ol. III 23: ἀλλ' οὐ καλὰ δένδρε' ἔθαλλεν χῶρος ἐν βάσσαις Κρονίου Πέλοπος, v. Κρόνιος. Ne. II 21: ἐν ἐσλοῦ Πέλοπος πτυχαῖς ὀκτὼ στεφάνοις ἔμιχθεν: h. e. in Peloponneso. Ol. X 24: ἀγῶνα —, ὃν ἀρχαίῳ σάματι πὰρ Πέλοπος βωμῶν ἑξάριθμον ἐκτίσσατο (sc. Hercules). Ol. V 9: ἵκων δ' Οἰνομάου καὶ Πέλοπος παρ' εὐηράτων σταθμῶν. I 98 (95): τὸ δὲ κλέος τηλόθεν δέδορκε τᾶν Ὀλυμπιάδων ἐν δρομοῖς Πέλοπος, ἵνα ταχυτὰς ποδῶν ἐρίζεται ἀκμαί τ' ἰσχύος θρασύπονοι, ubi Πέλοπος iungendum cum δρομοῖς, cf. v. 24.

πέλω (act. praes. πέλει. πέλοι. ipf. ἔπελες. med. praes. πέλοντ(αι). ipf. ἔπλετο) 1) *exsisto, evenio*, Py. IV 145: Μοῖραι δ' ἀφίσταντ', εἴ τις ἔχθρα πέλει ὁμογόνοις, αἰδῶ καλύψαι (Bergk. c. Hartungio πέλῃ). I 56: οὕτω δ' Ἱέρωνι θεὸς ὀρθωτὴρ πέλοι. — 2) *sum*, c. subst. et adi. Py. V 112: θάρσος δὲ τανυπτέροις ἐν ὄρνιξιν αἰετὸς ἔπλετο (var. ἔπλετ'). IX 109: ἐπεὶ θαητὸν εἶδος ἔπλετο. Is. IV (V) 6: νᾶες ἐν πόντῳ — θαυμασταὶ πέλονται. Ol. I 47 (46): ἄφαντος ἔπελες. VI 100: ἀγαθαὶ δὲ πέλοντ' ἐν χειμερίᾳ νυκτὶ θοᾶς ἐκ ναὸς ἀπεσκίμφθαι δύ' ἄγκυραι (var. πέλονται om. ἐν).

πελώριος *ingens*, de statura Ol. VII 15: εὐθυμάχαν ὄφρα πελώριον ἄνδρα παρ' Ἀλφειῷ στεφανωσάμενον αἰνέσω. de rerum magnitudine Ol. X 21: ποτὶ πελώριον ὁρμάσαι κλέος. Py. VI 41: ἔργον πελώριον τελέσαις.

πεμπταῖος *qui est quinque dierum* Ol. VI 53: τοὶ δ' οὔτ' ὦν ἀκοῦσαι οὔτ' ἰδεῖν εὔχοντο πεμπταῖον γεγεναμένον.

πεμπτάμερος *quinti diei v. quinto die factus* Ol. V 5: βωμοὺς ἓξ διδύμους ἐγέραρεν ἑορταῖς θεῶν μεγίσταις ὑπὸ βουθυσίαις ἀέθλων τε πεμπταμέροις ἁμίλλαις ἵπποις ἡμιόνοις τε μοναμπυκίᾳ (var. πενθαμέροις v. πεμπαμέροις, quod plerique probaverunt, Bergk. πεμπαμέρους ἁμίλλας): διὰ τὸ ἀπὸ τοῦ πέμπτου συγκεῖσθαι. Schol.; qui vero tenent πεμπαμέροις, intellegunt certamina per quinque dies facta.

πέμπτος *quintus* Ne. VI 66 (58): ἄγγελος ἔβαν πέμπτον ἐπ' εἴκοσι τοῦτο γαρύων εὖχος ἀγώνων ἄπο.

πέμπω (act. praes. πέμπω. πέμπῃ.

πέμπων, -οισ'. ipf. πέμπε(ν), -ον. fut. πέμψω. aor. πέμψεν, ἔπεμψαν, πέμψαν. πέμψῃ. πέμψαντος. — pass. praes. πέμπεται. πεμπόμενοι. aor. πεμφθείς, -εῖσαν, -έν) 1) *mitto* a) aliquem Ol. VI 32: πέμποισ' ἀμφιπόλους. cf. Ne. I 40. alicui Is. V (VI) 49: ταῦτ' ἄρα οἱ φαμένῳ πέμψεν θεὸς — αἰετόν. aliquo Py. III 32: πέμψεν κασιγνήταν — ἐς Λακέρειαν. Py. IV 178: πέμπε δ' Ἑρμᾶς — υἱοὺς ἐπ' ἄτρυτον πόνον. Pass. Ne. III 59: θαλασσίαις ἀνέμων ῥιπαῖσι πεμφθεὶς ὑπὸ Τρωΐαν. Py. IV 203: σὺν Νότου δ' αὔραις ἐπ' Ἀξείνου στόμα πεμπόμενοι ἤλυθον. — b) aliquid Ol. II 23 (21): ὅταν θεοῦ Μοῖρα πέμπῃ ἀνεκὰς ὄλβον ὑψηλόν (var. πέμψῃ). alicui Ne. III 77: ἐγὼ τόδε τοι πέμπω μεμιγμένον μέλι. cf. Ol. VII 8. fr. 124 (89), 2. fr. 225 (247): ὁπόταν θεὸς ἀνδρὶ χάρμα πέμψῃ. Is. II 16: Δωρίων αὐτῷ στεφάνωμα κόμᾳ πέμπεν ἀναδεῖσθαι σελίνων. aliquo Ol. IX 25: παντᾷ ἀγγελίαν πέμψω ταύταν. Pass. Py. II 68: μέλος ὑπὲρ πολιᾶς ἁλὸς πέμπεται. Ol. VIII 44: ὣς ἐμοὶ φάσμα λέγει Κρονίδα πεμφθέν. VII 67: ἐς αἰθέρα νιν (insulam) πεμφθεῖσαν. — 2) *emitto* Py. IV 114: τοί μ' — κρύβδα πέμπον σπαργάνοις ἐν πορφυρέοις. — 3) *adduco* aliquem Ol. IV 2: τεαὶ γὰρ ὧραι — μ' ἔπεμψαν ὑψηλοτάτων μάρτυρ' ἀέθλων. aliquid Ne. IX 52: φιάλαισι —, ἅς ποθ' ἵπποι κτησάμεναι Χρομίῳ πέμψαν θεμιπλέκτοις ἅμα Λατοΐδα στεφάνοις ἐκ τᾶς ἱερᾶς Σικυῶνος. IV 18: ὕμνον κελάδησε καλλίνικον Κλεωναίου τ' ἀπ' ἀγῶνος ὅρμον στεφάνων πέμψαντος καὶ — ἀπ' Ἀθανᾶν (var. πέμψαντα, Bergk. pro ὕμνον scr. υἱόν).

πένθος (sg. πένθος, -εος, -ος. pl. πενθέων) *luctus* Is. VI (VII) 37: ἔτλαν δὲ πένθος οὐ φατόν. Ol. II 25 (23): πένθος δ' ἐπίτνει βαρὺ κρεσσόνων πρὸς ἀγαθῶν. fr. 133 (98): οἷσι δὲ Φερσεφόνα ποινὰν παλαιοῦ πένθεος δέξεται: luctum dicit caede alicuius olim excitatum. Ne. X 77: τίς δὴ λύσις ἔσσεται πενθέων; Is. VII (VIII) 5: ἐκ μεγάλων δὲ πενθέων λυθέντες. fr. 154 (126), 4: πενθέων οὐκ ἔλαχον οὐδὲ στασίων.

πενία *egestas* fr. 109 (228), 5: στάσιν — ἀνελών, πενίας δότειραν.

πενιχρός *pauper* Ne. VII 19: ἀφνεὸς πενιχρός τε θανάτου πέρας ἅμα νέονται.

πενταέθλιον, πεντάθλιον *quinquertium* Py. VIII 66: οἴκοι δὲ πρόσθεν ἁρπαλέαν δόσιν πενταεθλίου σὺν ἑορταῖς ὑμαῖς ἐπάγαγες. Is. I 26: οὐ γὰρ ἦν πεντάθλιον, ἀλλ' ἐφ' ἑκάστῳ ἔργματι κεῖτο τέλος (Boeckh., libri πένταθλον).

πεντάεθλον *quinquertium* Ol. XIII 30: πενταέθλῳ ἅμα σταδίου νικῶν δρόμον (var. πεντάθλῳ).

πεντάεθλος *quinquertio* Ne. VII 8: εὔδοξος ἀείδεται Σωγένης μετὰ πενταέθλοις (var. πεντάθλοις).

πεντάετηρίς *quinquennalis*, de Pythiis fr. 193 (205): πενταετηρὶς ἑορτὰ βουπομπός. de Olympiis Ol. X 57: πενταετηρίδ' — ἔστασεν ἑορτὰν σὺν Ὀλυμπιάδι πρώτᾳ νικαφορίαισί τε (sc. Hercules). Ne. XI 27: πενταετηρίδ' ἑορτὰν Ἡρακλέος τέθμιον κωμάσαις. — subst. *tempus v. festum quinquennale* Ol. III 21: μεγάλων ἀέθλων ἁγνὰν κρίσιν καὶ πενταετηρίδ' ἁμᾶ θῆκε ζαθέοις ἐπὶ κρημνοῖς Ἀλφεοῦ (sc. Hercules).

πεντάκις *quinquies* Ne. VI 19: καὶ πεντάκις Ἰσθμοῖ στεφανωσάμενος.

πέντε *quinque* Py. VII 13: ἄγοντι δέ με πέντε μὲν Ἰσθμοῖ νῖκαι. Py. IV 130: ἀθρόαις πέντε δραπὼν νύκτεσσιν ἔν θ' ἁμέραις ἱερὸν εὐζωᾶς ἄωτον.

πεντήκοντα *quinquaginta* Is. V (VI) 6: Νηρεΐδεσσί τε πεντήκοντα. Ne. X 1: Δαναοῦ πόλιν ἀγλαοθρόνων τε πεντήκοντα κορᾶν.

πεντηκονταέρετμος fr. 176 (259): καὶ Πίνδαρος πεντηκονταερέτμους φησὶ τὰς ναῦς τῶν Ἀχαιῶν εἶναι (Schol. Il. π 170), ubi Boeckh. πεντηκοντηρέτμους.

πεντηκόντορος *quinquaginta remorum* Py. IV 245: δράκοντος —, ὃς πάχει μάκει τε πεντηκόντορον ναῦν κράτει.

πεξαμένης fr. 320 (283): καὶ παρὰ τούτων Δωρικῶς τουτάκι, ὡς παρὰ Πινδάρῳ· Τουτάκι πεξαμένης (Et. M. 172, 10): pro corrupto πεξαμένης Boeckh. τε ξαμενής coni., Bergk. παῖς ἀμενής.

πεπἄρεῖν inf. def. *ostentare* Py. II 57: τὺ δὲ σάφα νιν ἔχεις, ἐλευ-

θέρᾳ φρενὶ πεπαρεῖν (var. *πεπορεῖν*): *πεπαρεῖν· ἐνδεῖξαι, σημῆναι.* Hesychius.

πέπλος *peplus*, vestis muliebris Py. IX 120: *εἶπε δ' ἐν μέσσοις ἀπάγεσθαι, ὃς ἂν πρῶτος θορὼν ἀμφί οἱ ψαύσειε πέπλοις.*

πεπρωμένος v. **ΠΟΡΩ.**

πὲρ part. enclit. *admodum, quidem, quamvis* additur 1) adiectivis Py. IV 237: *ἴυξεν δ' ἀφωνήτῳ περ ἔμπας ἄχει δύνασιν Αἰήτας ἀγασθείς.* fr. 194 (206), 4: *ὃς καὶ πολυκλειτάν περ ἐοῖσαν ὅμως Θήβαν ἔτι μᾶλλον ἐπασκήσει.* — 2) adverbiis Ne. III 80: *πέμπω — πόμ' ἀοίδιμον — ὀψέ περ.* — 3) articulo et relat. Ne. VII 101: *παίδων δὲ παῖδες ἔχοιεν αἰεὶ γέρας τό περ νῦν καὶ ἄρειον ὄπιθεν.* v. *ὅσπερ* et *ὅθενπερ.* — 4) coniunctionibus, v. *καίπερ* et *εἴπερ.*

περαίνω *penetro, decurro, emetior*, met. Py. X 28: *ὅσαις δὲ βροτὸν ἔθνος ἀγλαΐαις ἁπτόμεσθα, περαίνει πρὸς ἔσχατον πλόον* (var. *περαίνοι*): sc. victor; v. *πλόος.*

περαίτερος *ulterior* Ol. IX 105: *ἐντὶ γὰρ ἄλλαι ὁδῶν ὁδοὶ περαίτεραι*: „führen weiter" Mezger.; *ἕτεραι δὲ ἀμείνονες, παρασημότεραι, εὐοδώτεραί εἰσιν ὁδοί, δι' ὧν τις δύναται περαιῶσαι.* Schol. — neutr. sing. pro adv., met. Ol. VIII 63: *κεῖνα δὲ κεῖνος ἂν εἴποι ἔργα περαίτερον ἄλλων*: h. e. „melius; nempe sapit Milesias ulterius aliis aliptis" Dissen.

πέρᾱν 1) *trans*, c. gen. Ne. V 21: *καὶ πέραν πόντοιο πάλλοντ' αἰετοί.* — 2) *ultra*, c. gen. Is. V (VI) 23: *μυρίαι δ' ἔργων καλῶν τέτμηνθ' ἑκατόμπεδοι ἐν σχερῷ κέλευθοι καὶ πέραν Νείλοιο παγᾶν καὶ δι' Ὑπερβορέους* (var. *πέρα*). — sine casu Ne. VII 75: *νικῶντί γε χάριν, εἴ τι πέραν ἀερθεὶς ἀνέκραγον, οὐ τραχύς εἰμι καταθέμεν* (Herm., libri *εἴ τί περ ἂν*): ultra scopum vel modum h. e. paulo altius.

περάπτω *circumligo* Py. III 52: *γυίοις περάπτων πάντοθεν φάρμακα* (var. *περιάπτων*).

πέρας v. **πεῖρας.**

περᾱτός *qui transiri potest* Ne. IV 69: *Γαδείρων τὸ πρὸς ζόφον οὐ περατόν.*

περάω *traiicio* Py. III 76: *ἐξικόμαν κε βαθὺν πόντον περάσαις* (var. *περάσσαις* v. *περάσσας*, Tricl. *περήσας*). Ne. III 21: *οὐκέτι πρόσω ἀβάταν ἅλα κιόνων ὑπὲρ Ἡρακλέος περᾶν εὐμαρές.* sine obi. Is. II 41: *ἀλλ' ἐπέρα ποτὶ μὲν Φᾶσιν θερείαις, ἐν δὲ χειμῶνι πλέων Νείλου πρὸς ἀκτάν*: h. e. patuit Xenocratis, liberalissimi hominis, domus omni anni tempore advenis. — met. Ne. XI 10: *ἀλλὰ σὺν δόξᾳ τέλος δυωδεκάμηνον περᾶσαι σὺν ἀτρώτῳ κραδίᾳ* (lemma D et paraphr., libri *περάσαι*): h. e. transigat, peragat.

Περγᾰμία *Pergamia, Pergamus* Is. V (VI) 31: *εἷλε δὲ Περγαμίαν* (sc. Hercules).

Πέργαμος *Pergamus, Troia* Ol. VIII 42: *Πέργαμος ἀμφὶ τεαῖς, ἥρως, χερὸς ἐργασίαις ἁλίσκεται.*

πέρθω (act. aor. I *πέρσεν*, *ἔπερσεν*, -*αν*. aor. II *ἔπρᾰθε, πράθε*, -*ον*. pass. praes. *περθόμενοι*) *perdo, deleo* 1) urbes Is. IV (V) 36: *δὶς πόλιν Τρώων πράθον.* Py. I 54. Ne. VII 35. — 2) homines Ne. III 37: *Λαομέδοντα δ' εὐρυσθενὴς Τελαμὼν Ἰόλᾳ παραστάτας ἐὼν ἔπερσεν.* Py. IX 81: *Εὐρυσθῆος ἐπεὶ κεφαλὰν ἔπραθε φασγάνου ἀκμᾷ.* Ol. X 32: *Τιρύνθιον ἔπερσαν αὐτῷ στρατόν.* Pass. Py. III 50: *ἢ θερινῷ πυρὶ περθόμενοι δέμας ἢ χειμῶνι*: laesi.

περί (ante consonas *περί* et *πέρι*, ante vocales *περ'*) *circumcirca, eximie, prorsus* I) adv. 1) *circum* in tmesi, v. *περιελαύνω, περιπάγνυμι, περιτίθημι.* — 2) *eximie, prorsus* Py. IV 122: *ἂν πέρι ψυχὰν ἐπεὶ γάθησεν*, ubi *πέρι* Hermanno debetur, libri exhibent *περί* et schol. explicant: *κατὰ τὴν ἑαυτοῦ ψυχήν.* — II) praep. (quinquies casui postponitur cum anastrophe, interponitur inter adi. et subst. ter, inter subst. et adi. semel) A) c. gen. 1) *de, propter*, (*pro*), apud verba dimicandi fr. 52 (24): *ἀμφιπόλοισι μαρνάμενον μοιριᾶν περὶ τιμᾶν ἀπολωλέναι* (Boeckh., libri *μυρίαν περὶ τίμαν*). Ne. X 85: *εἰ δὲ κασιγνήτου πέρι μάρνασαι*: pro. IX 29: *πεῖραν μὲν ἀγάνορα Φοινικοστόλων ἐγχέων ταύταν θανάτου πέρι καὶ ζωᾶς ἀναβάλλομαι.* Ol. III 37: *ἀγῶνα νέμειν ἀνδρῶν τ' ἀρετᾶς πέρι καὶ ῥιμφαρμάτου διφρηλασίας.* — 2) *de*, apud verba sentiendi et dicendi Ol. VI 38: *ᾤχετ' ἰὼν μαντευσόμενος ταύ-*

τας περ' ἀτλάτον πάθας (var. περ v. πέρ'). Py. IV 265: διδοῖ ψᾶφον περ' αὐτᾶς (var. περὶ v. περ). Ne. V 40: πότμος δὲ κρίνει συγγενὴς ἔργων περὶ πάντων. Is. IV (V) 47: πολλὰ μὲν ἀρτιεπὴς γλῶσσά μοι τοξεύματ' ἔχει περὶ κείνων κελαρύσαι. Ol. VIII 4: παραπειρῶνται Διὸς —, εἴ τιν' ἔχει λόγον ἀνθρώπων πέρι. — 3) *supra*, *prae* Ol. VI 50: περὶ θνατῶν δ' ἔσεσθαι μάντιν ἐπιχθονίοις ἔξοχον (Bergk. c. plerisque libris πέρι). — B) c. dat. 1) *circum* Is. III 54 (IV 36): Αἴαντος ἀλκὰν φοίνιον, τὰν ὀψίᾳ ἐν νυκτὶ ταμὼν περὶ ᾧ φασγάνῳ μομφὰν ἔχει: sc. „ferro in corpus adacto" Dissen. — 2) *circa, de*, apud verba dimicandi Ol. XIII 45: δηρίομαι πολέσιν περὶ πλήθει καλῶν. Ne. V 47: ἐσλοῖσι μάρναται πέρι πᾶσα πόλις (Ceporinus, libri περὶ). X 31: ὅστις ἁμιλλᾶται περὶ ἐσχάτων ἀέθλων κορυφαῖς. fr. 123 (88), 6: περὶ χρήμασι μοχθίζει βιαίως. praeterea Py. II 59: εἰ δέ τις ἤδη κτεάτεσσί τε καὶ περὶ τιμᾷ λέγει ἕτερόν τιν' ἀν' Ἑλλάδα τῶν πάροιθε γενέσθαι ὑπέρτερον. — 3) *prae* Py. V 58: λέοντες περὶ δείματι φύγον: „voll Angst" Mezger. — C) c. acc. *circa* Ol. III 33: τῶν (δενδρέων) νιν γλυκὺς ἵμερος ἔσχεν δωδεκάγναμπτον περὶ τέρμα δρόμου ἵππων φυτεῦσαι.

περίαλλος *eximius*, *prae aliis*, neutr. plur. pro adv. Py. XI 5: ὃν περίαλλ' ἐτίμασε Λοξίας.

περιβάλλω v. **παραβάλλω.**

περίγλωσσος *valde disertus* Py. I 42: καὶ σοφοὶ καὶ χερσὶ βιαταὶ περίγλωσσοί τ' ἔφυν: de facultate publice dicendi cogitat Boeckh.; „monendum est paulo post ex Sicilia prodiisse rhetoricen Corace et Tisia auctoribus, statim post eversum principatum Hieronis et Thrasybuli; sed antea etiam bene dicebant, etsi non ex artis praeceptis, et ipsum Coracem iam sub Hierone insignem eloquentia apud hunc multum valuisse probabile habeo."

περιδαῖος *circum Idam situs* fr. 154 (126), 2: ἐὰν δὲ νομὸν Κρήτας περιδαῖον (Herm., vulgo περιδαίων).

περιδῑνέω *circumago* fr. 101 (70): περιδιναθεὶς ἐπήει γᾶν καὶ θάλασσαν (Bergk., vulgo κινηθεὶς, var. περικινηθεὶς).

περιέναι fr. 314: ἐπὶ τῆς περὶ Πίνδαρος πέροδον ἔφη ἀντὶ τοῦ περίοδον καὶ περιέναι τετρασυλλάβως (Cramer. An. Ox. IV 309, 20): „quamquam hoc fortasse ex Attico sermone petitum est exemplum, velut Thuc. 1 30, 3 περιόντι τῷ θέρει scripsit" Bergk.

περιελαύνω *circumveho*, intr. Ol. VI 75: οἷς ποτε πρώτοις περὶ δωδέκατον δρόμον ἐλαυνόντεσσιν αἰδοία ποτιστάξῃ Χάρις εὐκλέα μορφάν: circumvectis atque emensis.

περικᾱδομαι *valde curam gero* Ne. X 54: μάλα μὲν ἀνδρῶν δικαίων περικαδόμενοι (sc. Castor et Pollux).

περίκειμαι *circumiaceo* Ol. VIII 76: ἔκτος οἷς ἤδη στέφανος περίκειται φυλλοφόρων ἀπ' ἀγώνων.

Περῑκλῠμενος *Periclymenus*, Nelei et Chloridis a Tiresia genitae filius, frater Nestoris Py. IV 175: τῶν μὲν κλέος ἐσλὸν Εὐφάμου τ' ἐκράνθη σόν τε, Περικλύμεν' εὐρυβία. Ne. IX 26: δουρὶ Περικλυμένου πρὶν νῶτα τυπέντα μαχατὰν (Amphiaraum) θυμὸν αἰσχυνθήμεν.

περικτίονες *circa habitantes, vicini* Ne. IX 19: ἐκ δὲ περικτιόνων ἐκκαίδεκ' Ἀρισταγόραν ἀγλααὶ νῖκαι — ἐστεφάνωσαν: „vicinas Tenedo puta civitates" Dissen. Is. VII 64 (VIII 69): ἐπεὶ περικτίονας ἐνίκασε δή ποτε καὶ κεῖνος ἄνδρας.

περιναιετάω *circumcolo* Ne. VIII 9: ἡρώων ἄωτοι περιναιεταόντων.

περιπᾱγνυμι *circumfigo, circumsepio*, per tmesin Ol. X 45: περὶ δὲ πάξαις Ἄλτιν μὲν ὅγ' ἐν καθαρῷ διέκρινε.

περῑπλανάομαι *circumfundor, cingo*, de amictu fluitante Is. V (VI) 47: ὥσπερ τόδε δέρμα με νῦν περιπλανᾶται θηρός.

περῐπνέω *circumflo*, *perspiro* Ol. II 79 (72): μακάρων νᾶσον ὠκεανίδες αὖραι περιπνέοισιν (var. περιπνέουσιν, περιπνείουσιν).

περισθενής *praevalidus, robustus* Ne. III 16: ἐν περισθενεῖ μαλαχθεὶς παγκρατίου στόλῳ. fr. 131 (96), 2: σῶμα μὲν πάντων ἕπεται θανάτῳ περισθενεῖ.

περισσός *abundans*, *nimius* Py. II 91: στάθμας δέ τινος ἑλκόμενοι περισσᾶς ἐνέπαξαν ἕλκος — καρδίᾳ. — neutr. plur. pro adv. Ne. VII 43: βάρυνθεν δὲ περισσὰ Δελφοὶ ξενα-

γέται: nimium quantum, valde; eademque significatione adv. **περισσῶς** fr. 110 (76): ταρβεῖ προσιόντα νιν καρδίᾳ περισσῶς. 216 (235): σοφοὶ δὲ καὶ τὸ μηδὲν ἄγαν ἔπος αἴνησαν περισσῶς.

περιστέλλω 1) *amicio, vestio*, met. Ne. XI 15: θνατὰ μεμνάσθω περιστέλλων μέλη. — 2) *adorno, ornate compono*, met. Is. I 33: Ποσειδάωνι — περιστέλλων ἀοιδάν: θεραπεύων, ἐπιμελῶς παρέχων. Schol.

περιτίθημι v. **τίθημι** et **πρόσοψις.**

περιφεύγω *refugio*, met. Ol. II 108 (98): ἐπεὶ ψάμμος ἀριθμὸν περιπέφευγεν (var. περιφεύγει): h. e. numerari non potest.

περιώσιος *nimius*, neutr. sing. pro adv. c. gen. Is. IV (V) 3: νόμισαν χρυσὸν ἄνθρωποι περιώσιον ἄλλων: prae ceteris.

πέρνημι *vendo*, pass. Is. II 7: οὐδ' ἐπέρναντο γλυκεῖαι μελιφθόγγου ποτὶ Τερψιχόρας ἀργυρωθεῖσαι πρόσωπα μαλθακόφωνοι ἀοιδαί.

πέροδος *circuitus, orbis* Ne. XI 40: δένδρεά τ' οὐκ ἐθέλει πάσαις ἐτέων περόδοις ἄνθος εὐῶδες φέρειν (Schmid., libri περιόδοις).

Περσεύς (Περσεύς, -έος) *Perseus*, Iovis et Danaes filius, Medusae interfector Py. X 31: παρ' οἷς (apud Hyperboreos) ποτε Περσεὺς ἐδαίσατο λαγέτας: ad quos duce Minerva venit post necatam Medusam. Py. XII 11: Περσεὺς ὁπότε τρίτον ἄνυσσεν κασιγνητᾶν μέρος εἰναλίᾳ Σερίφῳ λαοῖσί τε μοῖραν ἄγων. Ne. X 4: μακρὰ μὲν τὰ Περσέος ἀμφὶ Μεδοίσας Γοργόνος. Is. IV (V) 33: Περσεὺς δ' ἐν Ἄργει (sc. γέρας ἔχει). fr. 164 (142): φιλόμαχον γένος ἐκ Περσέος (Boeckh., libri Περσέως).

πεσσός *calculus* fr. 129 (95), 4: καὶ τοὶ μὲν ἵπποις γυμνασίοις τε, τοὶ δὲ πεσσοῖς, τοὶ δὲ φορμίγγεσσι τέρπονται.

πέσσω *concoquo*, met. Py. IV 186: μή τινα λειπόμενον τὰν ἀκίνδυνον παρὰ ματρὶ μένειν αἰῶνα πέσσοντ': „h. e. foventem, colentem“ Dissen. „in behaglicher Ruhe geniessend“ Passow.

πέτᾰλον *folium*, met. fr. 326 (220): Ὠκεανοῦ τὰ πέταλα τὰς κρήνας λέγων οὐκ ἐπαινεῖται (Galen. de puls. diff. VIII 681 ed. Lips.). Is. VII 43 (VIII 46): μηδὲ Νηρέος θυγάτηρ νεικέων πέταλα δὶς ἐγγυαλιζέτω ἄμμιν: h. e. suffragia; foliis veteres interdum usos in suffragiis ferendis constat, unde nomen habuit πεταλισμὸς Syracusanus et apud Atticos τὸ ἐκφυλλοφορεῖν“ Dissen.

πέταμαι *volito*, met. Ne. VI 55 (48): πέταται δ' ἐπί τε χθόνα καὶ διὰ θαλάσσας τηλόθεν κλέος αὐτῶν. de animi motu, c. dat. termini Py. VIII 90: ὁ δὲ καλόν τι νέον λαχὼν ἁβρότατος ἐπὶ μεγάλας ἐξ ἐλπίδος πέταται ὑποπτέροις ἀνορέαις (var. τέταται). fr. 122 (87), 4: πολλάκι ματέρ' ἐρώτων οὐρανίαν πτάμεναι νόημα ποττὰν Ἀφροδίταν (Herm., libri ἱπτάμεναι): „evolantes; quod de precibus est, eximie vero convenit amatoriis sensibus et votis puellarum; alatus enim amor est et menti alas addit“ Dissen.

πέτρα (sg. πέτρας, -αν. pl. πετρᾶν, -αις, -ας. paenultimae vocalis bis non producitur) 1) *rupes* humo affixa Py. X 16: θῆκεν δὲ καὶ βαθυλείμων' ὑπὸ Κίρρας ἀγὼν πέτραν κρατησίποδα Φρικίαν: Crisaeus est collis, v. Κρισαῖος. Ol. VI 64: ἵκοντο δ' ὑψηλοῖο πέτραν ἀλίβατον Κρονίου: v. Κρόνιος. fr. 325 (285): ὑψικέρατα πέτραν (Et. M. 304, 3). — prope mare vel in mari: *rupes, scopulus* Py. IV 209: συνδρόμων κινηθμὸν ἀμαιμάκετον ἐκφυγεῖν πετρᾶν. X 52: ταχὺ δ' ἄγκυραν ἔρεισον χθονὶ πρῴραθε, χοιράδος ἄλκαρ πέτρας. — 2) *saxum, lapis* fr. 88 (58), 5: ἂν δ' ἐπικράνοις σχέθον πέτραν ἀδαμαντοπέδιλοι κίονες. Py. I 23: ἀλλ' ἐν ὄρφναισιν πέτρας φοίνισσα κυλινδομένα φλὸξ ἐς βαθεῖαν φέρει πόντου πλάκα. Is. V (VI) 73: φαίης κέ νιν ἄνδρ' ἐν ἀεθληταῖσιν ἔμμεν Ναξίαν πέτραις ἐν ἄλλαις χαλκοδάμαντ' ἀκόναν.

πετρᾱεις *saxosus v. in rupe situs* Ol. VI 48: πετραέσσας ἐλαύνων ἵκετ' ἐκ Πυθῶνος.

πετραῖος 1) *saxatilis* fr. 43 (173), 2: ποντίου θηρὸς πετραίου χρωτί: v. θήρ. — 2) **Πετραῖος** *Petraeus* Py. IV 138: παῖ Ποσειδᾶνος Πετραίου: Πετραῖος τιμᾶται Ποσειδῶν παρὰ Θετταλοῖς, ὅτι διατεμὼν τὰ ὄρη τὰ Θετταλικά, λέγω δὴ τὰ Τέμπη, πεποίηκε δι' αὐτῶν ἐπιτρέχειν τὸν πο-

ταμὸν Πηνειόν, πρότερον διὰ μέσης τῆς πόλεως ῥέοντα καὶ πολλὰ τῶν χωρίων διαφθείροντα. Schol.

πέτρος *saxum* Ne. X 67: *ἁρπάξαντες ἄγαλμ' Ἀίδα, ξεστὸν πέτρον*: „dicit *στήλην*, cippum tumulo impositum" Heynius et Dissen. Ne. IV 28: *τετραορίας — δυώδεκα πέτρῳ ἥρωάς τ' ἐπεμβεβαῶτας ἱπποδάμους ἕλεν.* Ol. X 72: *μᾶκος δὲ Νικεὺς ἔδικε πέτρῳ χέρα κυκλώσαις ὑπὲρ ἁπάντων*: *μακρὸν ἐδίσκευε δίσκῳ λιθίνῳ. οὕτως οἱ ἀρχαῖοι*" Schol.; cf. Hom. Od. VIII 190.

πεύθομαι *audio* Py. IV 38: *πεύθομαι δ' αὐτὰν* (glebam) — *ἐναλίαν βᾶμεν σὺν ἅλμᾳ.* IV 109: *πεύθομαι γάρ νιν Πελίαν — ἁμετέρων ἀποσυλᾶσαι βιαίως ἀρχεδικᾶν τοκέων.* VII 8: *τίνα πάτραν τίνα τ' οἶκον αἰνέων ὀνυμάξομαι ἐπιφανέστερον Ἑλλάδι πυθέσθαι*: auditu.

πεύκα *taeda* fr. 79 (48), 4: *αἰθομένα δὲ δᾴς ὑπὸ ξανθαῖσι πεύκαις.*

Πήγασος *Pegasus* fr. 317 (183): *εἶτά φησιν* (Aristophanes Byzantius) *ὡς καὶ Πίνδαρός που τὰς Διομήδους ἵππους πρόβατα καλεῖ, τὴν φάτνην αὐτῶν λέγων προβάτων τράπεζαν· οὕτω δέ που, φησί, καὶ ἐπὶ τοῦ Πηγάσου ποιεῖ* (Eust. Il. λ 877, 55).

πηδάλιον *gubernaculum*, met. Py. I 86: *νώμα δικαίῳ πηδαλίῳ στρατόν.* fr. 40 (15): *οὐ μὲν γὰρ ἀπευθὴς ἡ Τύχη κατὰ Πίνδαρον, οὐδὲ δίδυμον στρέφουσα πηδάλιον*, ubi num etiam ultima verba ad Pindarum sint referenda dubitat Bergkius, quum in recentioris demum artis monumentis Fortuna gestet gubernacula.

πηκτίς *pectis*, instrumentum musicum magadidi simile, genus fidium Lydis usitatum fr. 125 (91): *τόν ῥα Τέρπανδρός ποθ' ὁ Λέσβιος εὗρεν πρῶτος ἐν δείπνοισι Λυδῶν ψαλμὸν ἀντίφθογγον ὑψηλᾶς ἀκούων πηκτίδος*, ubi gen. *πηκτίδος* pendere a *ψαλμὸν* monet Boeckh.

Πηλεΐδας *Pelides* h. e. Achilles Py. VI 23: *τά ποτ' ἐν οὔρεσι φαντὶ μεγαλοσθενῆ Φιλύρας υἱὸν ὀρφανιζομένῳ Πηλεΐδᾳ παραινεῖν* (Tricl., libri *Πηλείδᾳ*).

Πηλεύς (*Πηλεύς, -έος, -εῖ, -έι, -έᾶ*) *Peleus,* Aeaci filius, coniux Thetidis, pater Achillis Py. VIII 100: *σὺν Αἰακῷ Πηλεῖ τε.* III 87: *αἰὼν δ' ἀσφαλὴς οὐκ ἔγεντ' οὔτ' Αἰακίδᾳ παρὰ Πηλεῖ οὔτε παρ' ἀντιθέῳ Κάδμῳ.* Ol. II 86 (78): *Πηλεύς τε καὶ Κάδμος ἐν τοῖσιν ἀλέγονται*: in iis qui sunt in Elysio. Ne. III 33: *παλαιαῖσι δ' ἐν ἀρεταῖς γέγαθε Πηλεὺς ἄναξ, ὑπέραλλον αἰχμὰν ταμών.* IV 56: *Παλίον δὲ πὰρ ποδὶ λατρείαν Ἰαωλκὸν πολεμίᾳ χερὶ προστραπὼν Πηλεὺς παρέδωκεν Αἱμόνεσσιν, δάμαρτος Ἱππολύτας Ἀκάστου δολίαις τέχναισι χρησάμενος.* V 26: *ὕμνησαν — Θέτιν Πηλέα θ', ὥς τέ νιν ἁβρὰ Κρηθεῒς Ἱππολύτα δόλῳ πεδᾶσαι ἤθελε.* Is. VII 38 (VIII 42): *Πηλέι γάμον θεόμορον ὀπάσσαι γέρας Αἰακίδᾳ* (Herm., libri *Πηλεῖ*). V (VI) 25: *ἅτις οὐ Πηλέος ἀίει κλέος ἥρωος εὐδαίμονος γαμβροῦ θεῶν.* fr. 172 (158): *οὐ Πηλέος ἀντιθέου μόχθοις νεότας ἐνέλαμψεν μυρίοις* (Boeckh., libri *Πηλέως*); fr. 48 (17): *πέπονθας ταὐτὸν τῷ Πινδάρου Πηλεῖ, ὃς τῆς τε θήρας διήμαρτε καὶ τὸν Εὐρυτίωνα φίλτατον ὄντα ἑαυτῷ προσδιέφθειρεν* (Aristides II 168), ubi schol.: *ἐν Ὕμνοις μέμνηται Πίνδαρος, ὅτι τὸν Εὐρυτίωνα, τὸν τοῦ Ἴρου τοῦ Ἄκτορος παῖδα, ἕνα ὄντα τῶν Ἀργοναυτῶν, συνθηρεύοντα ἄκων ἀπέκτεινε Πηλεύς.* Eurytion autem affinis erat Peleo, qui Polymelen Actoris filiam habebat uxorem ante Thetidem.

πῆμα (sg. *πῆμα, -ατος, -(α).* pl. *πήματα*) *malum, damnum* Ol. II 21 (19): *ἐσλῶν γὰρ ὑπὸ χαρμάτων πῆμα θνάσκει παλίγκοτον δαμασθέν, ὅταν θεοῦ Μοῖρα πέμπῃ ἀνεκὰς ὄλβον ὑψηλόν.* II 41 (37): *Μοῖρ' — θεόρτῳ σὺν ὄλβῳ ἐπί τι καὶ πῆμ' ἄγει παλιντράπελον ἄλλῳ χρόνῳ.* XII 12: *οἱ δ' ἀνιαραῖς ἀντικύρσαντες ζάλαις ἐσλὸν βαθὺ πήματος ἐν μικρῷ πεδάμειψαν χρόνῳ.* Py. III 81: *ἓν παρ' ἐσλὸν πήματα σύνδυο δαίονται βροτοῖς ἀθάνατοι.* IV 297: *μήτ' ὤν τινι πῆμα πορών, ἀπαθής δ' αὐτὸς πρὸς ἀστῶν.* ad personam transfertur Py. II 40: *ἅντε* (Nebulam) *δόλον αὐτῷ θέσαν Ζηνὸς παλάμαι, καλὸν πῆμα.*

Πηνεϊός, Πηνειός *Penēus* 1) fluvius Thessaliae Py. X 56: *Ἐφυραίων ὄπ' ἀμφὶ Πηνεϊὸν γλυκεῖαν προχεόντων ἐμάν* (var. *Πηνειὸν*): „h. e. Pelinnae haud procul a Peneo sitae" Dissen. — 2) deus fluminis, Oceani filius Py. IX 16: *ὅν ποτε* (Hypseum) *Πίνδου κλεενναῖς ἐν πτυ-*

χαῖς Ναῒς εὐφρανθεῖσα Πηνειοῦ λέχει Κρείοισ' ἔτικτεν, Γαίας θυγάτηρ.

Πηνελόπη v. **Πάν**.

πῑαίνω (correpta prima syllaba Py. IV 150) *pinguefacio* Ne. IX 23: *Ἰσμηνοῦ δ' ἐπ' ὄχθαισι γλυκὺν νόστον ἐρυσσάμενοι λευκανθέα σώμασι πίαναν καπνόν* (Herm., libri *ἐπίαναν*): sc. caesi et in rogis concremati. — met. Py. IV 150: *ἀγρούς τε πάντας, τοὺς ἀπούρας ἁμετέρας τοκέων νέμεαι πλοῦτον πιαίνων*: ditans, augens; „cum reprehensione dictum" Dissen. Py. II 56: *εἶδον — ἐν ἀμαχανίᾳ ψογερὸν Ἀρχίλοχον βαρυλόγοις ἔχθεσιν πιαινόμενον*: „se ditantem et satiantem; per oxymoron dictum est" Boeckh.

πιέζω *premo* Py. I 19: *Σικελίᾳ τ' αὐτοῦ πιέζει στέρνα λαχνάεντα.* met. fr. 207 (223): *Ταρτάρου πυθμὴν πιέζει σ' ἀφανέος σφυρηλάτοις . . . ἀνάγκαις* (Boeckh. *πιέσει*). Ne. I 53: *τὸ γὰρ οἰκεῖον πιέζει πάνθ' ὁμῶς.* Ol. VI 37: *ἐν θυμῷ πιέσαις χόλον οὐ φατὸν ὀξείᾳ μελέτᾳ* (Boeckh., libri *πιέσσαις* v. *πιέσας*): „premens, celans, cohibens" Dissen.

πῖειρα *opima* Ne. I 15: *Σικελίαν πίειραν ὀρθώσειν κορυφαῖς πολίων.*

Πῑερίδες (pl. *Πιερίδες, -ων*) *Pierides* h. e. Musae Pieriam incolentes, Iovis filiae Ol. X 96: *τρέφοντι δ' εὐρὺ κλέος κόραι Πιερίδες Διός.* Py. I 14: *ὅσσα δὲ μὴ πεφίληκε Ζεύς, ἀτύζονται βοὰν Πιερίδων ἀίοντα.* VI 49: *νόῳ δὲ πλοῦτον ἄγει, — σοφίαν δ' ἐν μυχοῖσι Πιερίδων*: v. *μυχός*. Is. I 65: *εὐφώνων πτερύγεσσιν ἀερθέντ' ἀγλααῖς Πιερίδων*: „h. e. celebrantibus Musis s. inter cantus Musarum" Dissen. Py. X 65: *ἐμὰν ποιπνύων χάριν τόδ' ἔζευξεν ἅρμα Πιερίδων τετράορον.* Ne. VI 37 (32): *Πιερίδων ἀρόταις δυνατοὶ παρέχειν πολὺν ὕμνον.* fr. 90 (60), 5: *ἐν ζαθέῳ με δέξαι χορῷ ἀοίδιμον Πιερίδων προφάταν* (Canter., vulgo *Πιερίων*).

πίθων *simius* Py. II 72: *καλός τοι πίθων παρὰ παισίν, αἰεὶ καλός*: h. e. „placent quidem adulatores iuniorum imprudenti aetati et mirifice placent, sed alienum hoc a prudentia provectioris aetatis" Dissen. Bergkius vero part. *μαθὼν* e prioribus adiuncto et mutata distinctione interpretatur: „simia si artes didicit placet, puerorum admiratione semper gaudet".

πῐκρός *acerbus*, met. Is. VI (VII) 48: *τὸ δὲ πὰρ δίκαν γλυκὺ πικροτάτα μένει τελευτά.*

Πινδόθεν *ex Pindo* Py. I 66: *ἔσχον δ' Ἀμύκλας ὄλβιοι Πινδόθεν ὀρνύμενοι* (sc. Pamphyli et Heraclidarum posteri).

Πίνδος *Pindus*, mons inter Thessaliam et Epirum situs Py. IX 15: *Πίνδου κλεενναῖς ἐν πτυχαῖς.*

πῐνῠτός *prudens* Is. VII 25 (VIII 28): *σώφρονές τ' ἐγένοντο πινυτοί τε θυμόν* (sc. Aeacidae).

πῑνω *bibo* fr. 166 (147): *αὐτόματοι δ' ἐξ ἀργυρέων κεράτων πίνοντες ἐπλάζοντο.* Py. III 52: *τοὺς δὲ προσανέα πίνοντας.* Ol. VI 86: *Μετώπα, πλάξιππον ἃ Θήβαν ἔτικτεν, τᾶς ἐρατεινὸν ὕδωρ πίομαι*: „cuius aquam Dircam bibo, h. e. ubi habito" Dissen. c. Boeckhio; contra Mezgerus Hartungium secutus futurum esse existimat: „eius (Metopae) aquam bibam, sc. ut divino quodam instinctu conciter".

πιπίσκω *facio ut bibat quis, potum praebeo*, c. dupl. acc. met. Is. V (VI) 74: *πίσω σφε Δίρκας ἁγνὸν ὕδωρ*: „recreabo eos (Lamponem filiosque)" Dissen. *τουτέστι τῷ ἐμῷ ῥεύματι, ἤτοι τῷ ποιήματι, ποτιῶ αὐτούς. Θηβαῖος γάρ, ἡ δὲ Δίρκη ἐν Θήβαις.* Schol.

πίπτω (aor. *ἔπεσε(ν), πέσε(ν). πέσωμεν. πεσών. πετόντεσσιν, πετοῖσαν, -αι*) *cado*, abs. Py. V 50: *ἐν τεσσαράκοντα γὰρ πετόντεσσιν ἁνιόχοις ὅλον δίφρον κομίξαις ἀταρβεῖ φρενί*: inter lapsos. c. praep. Py. II 41: *ἐν δ' ἀφύκτοισι γυιοπέδαις πεσών* (sc. *Ἰξίων*): coniectus. — met. Ne. IV 41: *φθονερὰ δ' ἄλλος ἀνὴρ βλέπων γνώμαν κενεὰν σκότῳ κυλίνδει χαμαὶ πετοῖσαν* (Peter. et Bergk. c. uno cod. et Tricl., vulgo *χαμαιπετοῖσαν*): h. e. caducam, vanam. Ne. VII 31: *ἀλλὰ κοινὸν γὰρ ἔρχεται κῦμ' Ἀίδα, πέσε δ' ἀδόκητον ἐν καὶ δοκέοντα*: ruit. Py. VIII 21: *ἔπεσε δ' οὐ Χαρίτων ἑκὰς ἁ δικαιόπολις ἀρεταῖς κλειναῖσιν Αἰακιδᾶν θιγοῖσα νᾶσος*: non excidit; „*οὐκ ἀπέπεσε*, non aliena est a Gratiis" Boeckh.; metaphora a sortibus ducta, cf. Ol. VII 69: *τελεύταθεν δὲ λόγων κορυφαὶ ἐν ἀλαθείᾳ πετοῖσαι* (var. *πεσοῖσαι*): „quae vera ceciderant ab ore divino" Boeckh.;

„vere evenientes" Dissen., cf. Ol. XII 10: *πολλὰ δ' ἀνθρώποις παρὰ γνώμαν ἔπεσεν*: cadere, evenire solent. — Is. III 41 (IV 23): *ἐν ὕπνῳ γὰρ πέσεν* (*φάμα*): inciderat; cf. Is. VII (VIII) 6: *μήτ' ἐν ὀρφανίᾳ πέσωμεν στεφάνων.*

Πῖσα (*Πίσα*, -*ας*, -*ᾳ*) *Pisa*, urbs in Elide ad Alpheum sita prope Olympiam ideoque saepe pro Olympia posita, caput regni Pelopis Ol. III 9: *ἅ τε Πίσα με γεγωνεῖν* (sc. *πράσσει χρέος*). Ol. I 19: *Πίσας τε καὶ Φερενίκου χάρις νόον ὑπὸ γλυκυτάταις ἔθηκε φροντίσιν, ὅτε παρ' Ἀλφεῷ σύτο.* VIII 9: *ὦ Πίσας εὔδενδρον ἐπ' Ἀλφεῷ ἄλσος.* XIII 29: *στεφάνων ἐγκώμιον τεθμόν, τὸν ἄγει πεδίων ἐκ Πίσας.* XIV 23: *κόλποις παρ' εὐδόξου Πίσας.* Ne. X 32: *ὕπατον δ' ἔσχεν Πίσα Ἡρακλέος τεθμόν.* Ol. II 3: *ἤτοι Πίσα μὲν Διός· Ὀλυμπιάδα δ' ἔστασεν Ἡρακλέης ἀκρόθινα πολέμου.* VI 5: *εἰ δ' εἴη μὲν Ὀλυμπιονίκας, βωμῷ τε μαντείῳ ταμίας Διὸς ἐν Πίσᾳ.* X 43: *ὁ δ' ἄρ' ἐν Πίσᾳ ἔλσαις ὅλον τε στρατὸν λαίαν τε πᾶσαν Διὸς ἄλκιμος υἱὸς σταθμᾶτο ζάθεον ἄλσος πατρί.*

Πισᾱ́τας *Pisaeus*, ad Pisam pertinens Ol. I 72 (70): *Πισάτα παρὰ πατρὸς εὔδοξον Ἱπποδάμειαν σχεθέμεν*: ab Oenomao. — plur. pro subst. Ol. IX 68: *ἀφίκοντο δέ οἱ ξένοι ἔκ τ' Ἄργεος ἔκ τε Θηβᾶν, οἱ δ' Ἀρκάδες, οἱ δὲ καὶ Πισᾶται.*

Πισᾶτις *Pisaea* Ol. IV 10 (13): *ἐλαίᾳ στεφανωθεὶς Πισάτιδι*: h. e. Olympica.

πιστός (sg. n. *πιστόν.* pl. m. *πιστοί.* n. *πιστά.* superl. *πιστοτάτα*) *fidus, certus* 1) de personis Py. I 88: *πολλοὶ μάρτυρες ἀμφοτέροις πιστοί.* XII 27: *πιστοὶ χορευτᾶν μάρτυρες.* Ne. X 54: *καὶ μὰν θεῶν πιστὸν γένος.* add. infin. Ne. X 78: *παῦροι δ' ἐν πόνῳ πιστοὶ βροτῶν καμάτου μεταλαμβάνειν*: „satis fidi, ut . . ." Dissen. — 2) de rebus Ol. XII 8: *σύμβολον δ' οὔ πώ τις ἐπιχθονίων πιστὸν ἀμφὶ πράξιος ἐσσομένας εὗρεν θεόθεν.* XI 6: *πιστὸν ὅρκιον.* Ne. IX 16: *ὅρκιον — πιστόν.* fr. 180 (172), 2: *ἔσθ' ὅτε πιστοτάτα σιγᾶς ὁδός.* — sine subst. Ol. I 32 (31): *χάρις — ἄπιστον ἐμήσατο πιστὸν ἔμμεναι τοπολλάκις*: credibile. fr. 233 (257): *πιστὸν δ' ἀπίστοις οὐδέν*: fidum. Ol. III 17: *πιστὰ φρονέων*: „fida mente" Boeckh. *φιλικῶς διανοούμενος.* Schol. — neutr. sing. pro subst. Ne. VIII 44: *μαστεύει δὲ καὶ τέρψις ἐν ὄμμασι θέσθαι πιστόν* (Mommsen. ex schol., libri *πιστὰ* v. *πίσταν*, Tricl. *πίστιν*): fidem (sc. amicorum).

πῐ́σῠνος *fretus* Py. IV 232: *θεῷ πίσυνος εἴχετ' ἔργου* (*Ἰάσων*).

Πῐτᾰ́να *Pitana*, Eurotae filia, mater Euadnes Ol. VI 28: *πρὸς Πιτάναν δὲ παρ' Εὐρώτα πόρον δεῖ σάμερόν μ' ἐλθεῖν ἐν ὥρᾳ*: „fuit autem Pitana locus antiquus, post Doriensium adventum pars Spartae in occidentali latere, quum *πόλις* circumdata esset *κώμαις* ei adhaerentibus" Dissen.

πιτνέω (vocalis ante *τν* semel non producitur Py. III 93) *cado*, met. Py. VIII 93: *ἐν δ' ὀλίγῳ βροτῶν τὸ τερπνὸν αὔξεται· οὕτω δὲ καὶ πιτνεῖ χαμαὶ ἀποτρόπῳ γνώμᾳ σεσεισμένον.* Ol. II 25 (23): *Κάδμοιο κούραις, ἔπαθον αἳ μεγάλα, πένθος δ' ἐπίτνει βαρὺ κρεσσόνων πρὸς ἀγαθῶν* (Beck. et Bergk., libri *δὲ πιτνεῖ*, Christ. c. Herm. et Dissen. *δ' ἔπιτνεν*): concidebat; *ἀφανίζεται.* Schol. Is. II 26: *ἀδυπνόῳ τέ νιν ἀσπάζοντο φωνᾷ χρυσέας ἐν γούνασιν πιτνόντα* (Christ., libri *πιτνῶντα* v. *πίτνοντα*, quod rec. Bergk.): illapsum h. e. nactum victoriam; cf. Ne. V 42: *Νίκας ἐν ἀγκώνεσσι πιτνὼν ποικίλων ἔψαυσας ὕμνων* (var. *πιτνῶν* v. *πίτνων*, quod rec. Bergk.).

πίτνημι *tendo* Ne. V 11: *πίτναν τ' εἰς αἰθέρα χεῖρας* (Tricl. *πίτναντ'*). fr. 162: *πίτναντες θοὰν κλίμακ' ἐς οὐρανὸν αἰπύν* (Herm., vulgo *πίτνοντες*).

πίων *pinguis*, met. IV 56: *Νείλοιο πρὸς πῖον τέμενος Κρονίδα.*

πλᾱγά *ictus* Py. IV 246: *ναῦν κράτει, τέλεσαν ἃν πλαγαὶ σιδάρου.* Ol. X 37: *ἴδε πατρίδα πολυκτέανον ὑπὸ στερεῷ πυρὶ πλαγαῖς τε σιδάρου βαθὺν εἰς ὀχετὸν ἄτας ἵζοισαν.* Ne. III 17: *καματωδέων δὲ πλαγᾶν ἄκος ὑγιηρὸν ἐν βαθυπεδίῳ Νεμέᾳ τὸ καλλίνικον φέρει.* Is. IV (V) 60: *αἰνέω καὶ Πυθέαν ἐν γυιοδάμαις Φυλακίδᾳ πλαγᾶν δρόμον εὐθυπορῆσαι*: a Pythea arte gymnastica institutum fratrem existimat Mezgerus, Dissenius

vero Pytheam, victorem in Nemeis, certamina praeeundo fratrem vincere docuisse.

πλᾰ́γιος *obliquus, perversus*, met. Is. III 5: *ζώει δὲ μάσσων ὄλβος ὀπιζομένων, πλαγίαις δὲ φρένεσσιν οὐχ ὁμῶς πάντα χρόνον θάλλων ὁμιλεῖ: τοῖς σκολιόφροσι καὶ παρανόμοις ἀνθρώποις*. Schol. Ne. I 65: *καί τινα σὺν πλαγίῳ ἀνδρῶν κόρῳ στείχοντα: οὐ κατ' εὐθὺ ἰόντι, οὐκ ἀπὸ τοῦ δικαίου περιουσιαζομένῳ*. Schol. Bergkius quum mutata lectione *κεῖ . . . κυροῖ*, scribat, *σὺν πλαγίῳ* adverbii vice fungi censet.

πλάζω *perturbo,* met. fr. 166 (147), 4: *αὐτόματοι δ' ἐξ ἀργυρέων κεράτων πίνοντες ἐπλάζοντο*. (de Ne. VII 37 v. *πλάνης*.)

πλᾱ́κτρον *plectrum,* instrumentum quo percutiebantur chordae citharae Ne. V 24: *φόρμιγγ' Ἀπόλλων ἑπτάγλωσσον χρυσέῳ πλάκτρῳ διώκων ἁγεῖτο παντοίων νόμων*.

πλάνα v. **πλάνης**.

πλᾰνάομαι *aberro*, met. c. gen. Ne. VIII 4: *ἀγαπατὰ δὲ καιροῦ μὴ πλαναθέντα πρὸς ἔργον ἕκαστον τῶν ἀρειόνων ἐρώτων ἐπικρατεῖν δύνασθαι*: „h. e. *τυχόντα*“ Dissen. √(II 37

πλάνης *errans* Ne. VII 37: *ἵκοντο δ' εἰς Ἐφύραν πλάνητες* (Bergk., qui in ed. IV scr. *πλάναισιν*, libri adversus metrum *πλαγχθέντες* v. *πλαχθέντες*).

πλάξ *aequor* Py. I 24: *πέτρας — φλὸξ ἐς βαθεῖαν φέρει πόντου πλάκα*.

πλᾱ́ξιππος *equos agitans, equestris* Is. II 21: *οὐκ ἐμέμφθη ῥυσίδιφρον χεῖρα πλαξίπποιο φωτός*: Nicomachi aurigae. Ol. VI 85: *Μετώπα, πλάξιππον ἃ Θήβαν ἔτικτεν*: „propter civium morem, qui curulia certamina magnopere amabant“ Dissen.

πλάσσω *coniicio, contorqueo* Ne. X 71: *Ζεὺς δ' ἐπ' Ἴδᾳ πυρφόρον πλᾶξε ψολόεντα κεραυνόν*.

πλᾰτύς *latus* Ne. VI 51 (45): *πλατεῖαι πάντοθεν λογίοισιν ἐντὶ πρόσοδοι νᾶσον εὐκλέα τάνδε κοσμεῖν*.

πλειστόμβροτος *plurimos homines habens, frequentissimus* Ol. VI 69: *ἑορτάν τε κτίσῃ πλειστόμβροτον τεθμόν τε μέγιστον ἀέθλων*.

πλέκω *necto* Is. VII 66 (VIII 73): *ἁλίκων τῷ τις ἁβρὸν ἀμφὶ παγκρατίου Κλεάνδρῳ πλεκέτω μυρσίνας στέφανον*. met. Ol. VI 86: *ἀνδράσιν αἰχματαῖσι πλέκων ποικίλον ὕμνον*: „ut coronam“ Dissen. Ne. IV 94: *οἷον αἰνέων κε Μελησίαν ἔριδα στρέφοι, ῥήματα πλέκων, ἀπάλαιστος ἐν λόγῳ ἕλκειν*: nectens, flectens; „mit verschlungenen Worten“, metaphora a luctae flexibus ducta.

πλευρά *latus* hominis Ne. X 70: *ἤλασε Λυγκέος ἐν πλευραῖσι χαλκόν*. fr. 111 (77), 2: *στιβαρὰς ἐσπάραξε πλευράς*.

πλέω *navigo* Is. II 42: *ἐν δὲ χειμῶνι πλέων Νείλου πρὸς ἀκτάν*: v. *περάω*. Py. IV 69: *μετὰ γὰρ κεῖνο πλευσάντων Μινυᾶν*. fr. 51: *οἵ δὲ μεθ' Ἡρακλέους ἐκ Τρωίας πλεῦντες* (Meinek. et Schneidewin., libri *πλέοντες*). (de fr. 218 (239), 3 v. *νέω*.)

πλῆθος *multitudo* Ol. XIII 45: *δηρίομαι πολέσιν περὶ πλήθει καλῶν*.

πλήθω *sum frequens* Py. IV 86: *ἐστάθη — ἐν ἀγορᾷ πλήθοντος ὄχλου*: h. e. mane.

Πληιόνα *Pleione*, Oceani filia fr. 74 (53): *τρεχέτω δὲ μέτα Πληιόναν, ἅμα δ' αὐτῷ κύων λεοντοδάμας: λέγει δὲ Πίνδαρος περὶ τοῦ καταστερισμοῦ αὐτῶν, ὅτι τῆς Πληιόνης πορευομένης μετὰ τῶν θυγατρῶν κατὰ τὴν Βοιωτίαν συναντῆσαι αὐτῇ Ὠρίωνα· εἶτα ἐρασθεὶς ὥρμησε πρὸς τὸ ἁρπάσαι, τὴν δὲ φεύγουσαν μετὰ τῶν θυγατρῶν Ὠρίων ἐδίωκε, γενέσθαι δὲ αὐτῶν τὸν δρόμον πέντε ἔτη ἀδιάλειπτον· τὸν δὲ Δία διὰ τὴν κακοπάθειαν αὐτῶν οἱονεὶ μνήματα καταστερίσαι τὰς Πλειάδας φευγούσας τὸν Ὠρίωνα, ὅς ἐστιν ἐνιαυτός*. Etym. M. 675, 36. v. *Πελειάδες*.

πλόκᾰμος *cincinnus* Py. IV 82: *οὐδὲ κομᾶν πλόκαμοι κερθέντες ᾤχοντ' ἀγλαοί, ἀλλ' ἅπαν νῶτον καταίθυσσον*. met. fr. 246 (286): *μελιρρόθων δ' ἕπεται πλόκαμοι*.

πλόκος *sertum* Ol. XIII 33: *δύο δ' αὐτὸν ἔρεψαν πλόκοι σελίνων ἐν Ἰσθμιάδεσσιν φανέντα*.

πλόος (sg. *πλόος, -ου, -ον*. brevis vocalis antecedens non producitur) *navigatio, cursus* Py. IV 170: *ὤρνυεν κάρυκας ἐόντα πλόον φαινέμεν παντᾷ*. Is. V (VI) 36: *Αἰακίδαν καλέων ἐς πλόον*. Py. I 34: *ναυσιφορήτοις δ' ἀνδράσι πρώτα χάρις ἐς πλόον ἀρχομένοις πομπαῖον ἐλθεῖν οὖρον*. Ol. VI 103: *εὐθὺν δὲ πλόον καμάτων ἐκτὸς ἐόντα δίδοι*: „quum reditum pararet Agesias per mare Siculum“ Dissen. add. gen. Ol. VII

32: τῷ μὲν ὁ Χρυσοκόμας εὐώδεος ἐξ ἀδύτου ναῶν (Bergk. νωμᾶν) πλόον εἶπε Λερναίας ἀπ' ἀκτᾶς εὐθὺν ἐς ἀμφιθάλασσον νομόν. Py. IV 211: ἡμιθέων πλόος. fr. 172 (158), 4: τὸν Ἰάσονος εὔδοξον πλόον ἐκτελέσαις. — met. Py. XI 39: ἤ μέ τις ἄνεμος ἔξω πλόου ἔβαλεν, ὡς ὅτ' ἄκατον εἰναλίαν; Ne. III 27: θυμέ, τίνα πρὸς ἀλλοδαπὰν ἄκραν ἐμὸν πλόον παραμείβεαι; Py. X 29: ὅσαις δὲ βροτὸν ἔθνος ἀγλαΐαις ἁπτόμεσθα, περαίνει πρὸς ἔσχατον πλόον, ubi Bergk. πλόον ad sequentia refert.

πλουτέω *dives sum* Py. II 56: τὸ πλουτεῖν δὲ σὺν τύχᾳ πότμου σοφίας ἄριστον. fr. 218 (239), 4: τοὶ δ' αὖ πλουτέοντες . . . ἀέξονται φρένας ἀμπελίνοις τόξοις δαμέντες.

πλοῦτος (sg. πλοῦτος, -ου, -ῳ, -ον. brevis vocalis antecedens non producitur) *divitiae, opes, opulentia* Ol. II 58 (53): ὁ μὰν πλοῦτος ἀρεταῖς δεδαιδαλμένος φέρει τῶν τε καὶ τῶν καιρόν, βαθεῖαν ὑπέχων μέριμναν ἀγροτέραν, ἀστὴρ ἀρίζηλος, ἐτυμώτατον ἀνδρὶ φέγγος. Py. V 1: ὁ πλοῦτος εὐρυσθενής, ὅταν τις ἀρετᾷ κεκραμένον καθαρᾷ βροτήσιος ἀνὴρ πότμου παραδόντος αὐτὸν ἀνάγῃ πολύφιλον ἑπέταν. Ol. X 88: πλοῦτος ὁ λαχὼν ποιμένα ἐπακτὸν ἀλλότριον θνάσκοντι στυγερώτατος. I 2: ὁ δὲ χρυσὸς αἰθόμενον πῦρ ἅτε διαπρέπει νυκτὶ μεγάνορος ἔξοχα πλούτου. Py. X 18: ἕποιτο μοῖρα καὶ ὑστέραισιν ἐν ἁμέραις ἀγάνορα πλοῦτον ἀνθεῖν σφίσιν. Ne. XI 41: ἄνθος εὐῶδες φέρειν πλούτῳ ἴσον (nonnulli libri om. πλούτῳ, Bergk. πλουτώσιον). Ol. XIII 7: Δίκα καὶ ὁμότροφος Εἰράνα, ταμίαι ἀνδράσι πλούτου. Py. III 110: εἰ δέ μοι πλοῦτον θεὸς ἁβρὸν ὀρέξαι (Bergk. πότμον, nam „non solebat Pindarus mendicabundus potentiorum gratiam ambire"). Ne. VIII 18: ὅσπερ (θεὸς) καὶ Κινύραν ἔβρισε πλούτῳ. Ol. II 11: αἰὼν δ' ἔφεπε μόρσιμος, πλοῦτόν τε καὶ χάριν ἄγων γνησίαις ἐπ' ἀρεταῖς (Bergk. ἐπ' ὄλβον). Py. IV 150: ἀγρούς, τοὺς — νέμεαι πλοῦτον πιαίνων. Is. III 17: πλούτου διέστειχον. III 2: εὐτυχήσαις ἢ σὺν εὐδόξοις ἀέθλοις ἢ σθένει πλούτου. Py. I 50: εὑρίσκοντο — τιμάν, οἵαν οὔτις Ἑλλάνων δρέπει, πλούτου στεφάνωμ' ἀγέρωχον: praedam Himerensem. fr. 119 (84), 4: ἕσπετο δ' ἀενάου πλούτου νέφος. 218 (239), 2: πελάγει δ' ἐν πολυχρύσοιο πλούτου πάντες ἴσᾳ νέομεν ψευδῆ πρὸς ἀκτάν. Py. VIII 92: ἔχων κρέσσονα πλούτου μέριμναν. Ne. I 31: οὐκ ἔραμαι πολὺν ἐν μεγάρῳ πλοῦτον κατακρύψαις ἔχειν. Is. I 67: εἰ δέ τις ἔνδον νέμει πλοῦτον κρυφαῖον. — met. Py. VI 47: νόῳ δὲ πλοῦτον ἄγει, ἄδικον οὔθ' ὑπέροπλον ἥβαν δρέπων (Bergk. πλοῦτον, ἄγων . . . ἥβαν, δρέπει): „mente condit divitias sc. sapientiae" Heynius.

πλουτώσιος v. **πλοῦτος.**

πνέω (praes. πνέομεν. πνέοις. πνέων, -οντος, -όντων, -οισαν. ipf. πνέον. aor. πνεύσαις. brevis vocalis antecedens non producitur) *spiro* 1) spiritum duco, vivo Ne. VI 2: ἓν ἀνδρῶν, ἓν θεῶν γένος· ἐκ μιᾶς δὲ πνέομεν ματρὸς ἀμφότεροι. X 87: ἥμισυ μέν κε πνέοις γαίας ὑπένερθεν ἐών, ἥμισυ δ' οὐρανοῦ ἐν χρυσέοις δόμοισιν. c. neutr. adi. Py. XI 30: ὁ δὲ χαμηλὰ πνέων ἄφαντον βρέμει: „humilia spirans s. humili loco vivens" Gurlitt. — 2) halo, spiro, c. acc. Py. IV 225: βόας, οἳ φλόγ' ἀπὸ ξανθᾶν γενύων πνέον καιομένοιο πυρός (Herm. et Boeckh. πνεῦν). Ol. XIII 90: Χίμαιραν πῦρ πνέοισαν. VII 71: πῦρ πνεόντων ἀρχὸς ἵππων. fr. 146 (112): πῦρ πνέοντος — κεραυνοῦ. met. de animo Ol. X 93: κενεὰ πνεύσαις: „vana conatus" Dissen. Ne. III 41: ψεφεννὸς ἀνὴρ ἄλλοτ' ἄλλα πνέων οὔ ποτ' ἀτρεκεῖ κατέβα ποδί: spirans, agitans. — sine acc. Py. X 44: θρασείᾳ δὲ πνέων καρδίᾳ μόλεν.

πνοιά, πνοά (sg. πνοά, πνοιᾶς. pl. πνοαί, -αῖς, -αῖσιν, -άς. brevis vocalis antecedens semel producitur Ol. III 31) *flatus* 1) ventorum Ol. III 31: ἴδε καὶ κείναν χθόνα πνοιᾶς ὄπιθεν Βορέα (ed. Rom. et unus liber novicius, vulgo πνοιαῖς, quod rec. Bergk.). Py. V 121: μὴ φθινοπωρὶς ἀνέμων χειμερία κατὰ πνοὰ δαμαλίζοι χρόνον (Bergk. et Christ., vulgo καταπνοά). III 104: ἄλλοτε δ' ἀλλοῖαι πνοαὶ ὑψιπετᾶν ἀνέμων (var. πνοιαί). — 2) sonans instrumentorum musicorum: sonus Ne. III 79: πόμ' ἀοίδιμον Αἰολῇσιν ἐν πνοαῖσιν αὐλῶν (var. πνοαῖς). — vocis huma-

nae: cantus Ol. VI 83: δόξαν ἔχω τιν' ἐπὶ γλώσσᾳ ἀκόνας λιγυρᾶς, ἅ μ' ἐθέλοντα προσέλκει καλλιρόοισι πνοαῖς: dat. termini. — 3) animantium: spiritus Ne. X 74: καί νιν οὔπω τεθναότ', ἄσθματι δὲ φρίσσοντα πνοὰς ἔκιχεν (Schmid., libri φρίσσοντ' ἀμπνοὰς v. ἀναπνοὰς, Mommsen. φρίσσοντα γένυς, Bergk. γένει'). (de Ol. VI 97 v. λύρα.)

ποδαρκέω v. **ποδάρκης.**

ἰσχύος θρασύπονοι. Ne. III 81: ἔλαβεν αἶψα τηλόθε μεταμαιόμενος δαφοινὸν ἄγραν ποσίν (sc. aquila). — c) saepe in translatis sententiis Ol. VI 8: ἴστω γὰρ ἐν τούτῳ πεδίλῳ δαιμόνιον πόδ' ἔχων Σωστράτου υἱός. Py. IV 289: τοῦτ' ἀνιαρότατον, καλὰ γινώσκοντ' ἀνάγκᾳ ἐκτὸς ἔχειν πόδα. Ne. IX 47: οὐκ ἔστι πόρσω θνατὸν ἔτι σκοπιᾶς ἄλλας ἐφάψασθαι ποδοῖν. VI 17 (15): ἴχνεσιν ἐν Πραξιδάμαντος ἑὸν πόδα νέμων. III 42: ψεφεννὸς ἀνὴρ ἄλλοτ' ἄλλα πνέων οὔ ποτ' ἀτρεκέι κατέβα ποδί. Ol. XIII 114: ἄγε, κούφοισιν ἔκνευσαι ποσίν: „translatione ab argumento carminis, a cursu petita, quo Xenophontis praestabat familia" Boeckh. Ne. VIII 19: ἵσταμαι δὴ ποσσὶ κούφοις, ἀμπνέων τε πρίν τι φάμεν: sc. paratus ad currendum h. e. ad dicendum; v. Boeckh. ad Ol. XIII 114. Ne. VII 67: βίαια πάντ' ἐκ ποδὸς ἐρύσαις. Py. III 60: γνόντα τὸ πὰρ ποδός: h. e. praesentem conditionem; cf. Py. X 62: τῶν δ' ἕκαστος ὀρούει, τυχών κεν ἁρπαλέαν σχέθοι φροντίδα τὰν πὰρ ποδός. Is. VII (VIII) 13: τὸ δὲ πρὸ ποδὸς ἄρειον ἀεὶ σκοπεῖν χρῆμα πᾶν. Py. VIII 32: τὸ δ' ἐν ποσί μοι τράχον ἴτω τεὸν χρέος — ἐμᾷ ποτανὸν ἀμφὶ μαχανᾷ: quod praesto est v. proximum. — 2) rerum a) de montibus: radix Ne. IV 54: Παλίου δὲ πὰρ ποδί. Py. XI 36: Στρόφιον ἐξίκετο — Παρνασοῦ πόδα ναίοντ'. — b) de navi: carina Ne. VI 63 (55): τὸ δὲ πὰρ ποδὶ ναὸς ἑλισσόμενον αἰεὶ κυμάτων. pes, Schote fr. 315 (287): fecere pedem, i. e. podium, hoc est funem quo tenditur velum, quod Graeci πόδα vocant, ut est apud Pindarum et Aristophanem (Serv. ad Aen. V 830). (de Ne. I 50 v. παῖς.)

πρᾶγμα *res agenda, negotium* Py. IV 278: ἄγγελον ἐσλὸν ἔφα τιμὰν μεγίσταν πράγματι παντὶ φέρειν. Ol. XIII 75: δεῖξέν τε Κοιρανίδᾳ πᾶσαν τελευτὰν πράγματος. VII 46: παρέλκει πραγμάτων ὀρθὰν ὁδὸν ἔξω φρενῶν (sc. λάθα). Is. I 2: τὸ τεόν, χρύσασπι Θήβα, πρᾶγμα καὶ ἀσχολίας ὑπέρτερον θήσομαι.

πρᾶγος *res, negotium* Ne. III 6: διψῇ δὲ πρᾶγος ἄλλο μὲν ἄλλου, ἀεθλονικία δὲ μάλιστ' ἀοιδὰν φιλεῖ. fr. 108 (75): θεοῦ δὲ δείξαντος ἀρχὰν ἕκαστον ἐν πρᾶγος εὐθεῖα δὴ κέλευθος ἀρετὰν ἑλεῖν, τελευταὶ δὲ καλλίονες.

Πραξιδάμας *Praxidamas* Bassida, Soclidae filius, avus Alcimidae, „nobilis athleta sui temporis atque primus Aeginetarum Olympionices, vicerat Ol. 59, 1 teste Paus. VI 18, 5" Dissen. Ne. VI 17 (15): ἴχνεσιν ἐν Πραξιδάμαντος ἑὸν πόδα νέμων πατροπάτορος ὁμαιμίον.

πρᾶξις (brevis vocalis antecedens semel producitur Ol. XII 8) *effectio v. eventus rei* Py. IX 68: ὠκεῖα δ' ἐπειγομένων ἤδη θεῶν πρᾶξις ὁδοί τε βραχεῖαι (var. ὠκεῖαι ... πράξεις). Ol. I 87 (85): τὺ δὲ πρᾶξιν φίλαν δίδοι. XII 8: σύμβολον δ' οὔ πώ τις ἐπιχθονίων πιστὸν ἀμφὶ πράξιος ἐσσομένας εὗρεν θεόθεν. — per euphemismum fr. 127 (236), 2: μὴ πρεσβυτέραν ἀριθμοῦ δίωκε, θυμέ, πρᾶξιν: exercitationem v. fructum amoris.

πραπίς (sg. πραπίδος, -ι. pl. πραπίδες, -ων, -ίδεσσιν, -ίσιν, -ας) *praecordia, mens, animus* Py. II 61: χαύνᾳ πραπίδι παλαιμονεῖ κενεά. fr. 109 (228), 4: στάσιν ἀπὸ πραπίδος ἐπίκοτον ἀνελών (var. πραπίδων). Py. V 67: ἀπόλεμον ἀγαγὼν ἐς πραπίδας εὐνομίαν. Ol. II 104 (94): φίλοις ἄνδρα μᾶλλον εὐεργέταν πραπίσιν. XI 10: ἐκ θεοῦ δ' ἀνὴρ σοφαῖς ἀνθεῖ πραπίδεσσιν ὁμοίως. fr. 211 (230): κακόφρονά τ' ἀμφάνη πραπίδων καρπόν. add. gen. Is. VII 30 (VIII 33): ἀλλ' οὔ σφιν ἄμβροτοι τέλεσαν εὐνὰν θεῶν πραπίδες. Py. IV 281: ἐπέγνω μὲν Κυράνα — δικαιᾶν Δαμοφίλου πραπίδων.

πράσσω (act. praes. πράσσει, -οντι. πράσσετε. πράσσειν. πράσσων, πρασσόντων m. n. ipf. ἔπρασσεν. fut. πράξει. πράξειν. aor. ἔπραξε(ν). πράξαις. perf. πέπρᾶγεν. pass. perf. πεπραγμένων. med. praes. πράσσοιτο. aor. πράξασθ(αι). brevis vocalis antecedens semel producitur Ol. VIII 73) A) Act. I) trans. 1) *perficio, conficio; consequor* Ol. VIII 29: ὁ δ' ἐπαντέλλων χρόνος τοῦτο πράσσων μὴ κάμοι. cf. Py. X 11. Ol. XIII 106. Ne. IX 3: ἀλλ' ἐπέων γλυκὺν ὕμνον πράσσετε. Is. V (VI) 11: πράσσει θεοδμάτους ἀρετάς. mediali significatione Py. II 40: τὸν δὲ τετράκναμον ἔπραξε δεσμόν. Is. IV (V) 8: ποθεινὸν κλέος

ἔπραξεν. Ol. II 17 (15): τῶν δὲ πεπραγμένων ἐν δίκα τε καὶ παρὰ δίκαν. add. dat. Ne. III 46: λεόντεσσιν ἀγροτέροις ἔπρασσεν φόνον. add. acc. Ne. V 36: τινὰ Νηρεΐδων πράξειν ἄκοιτιν: comparaturum esse. — 2) *exigo*, c. dupl. acc., sequ. infin. Py. IX 104: ἐμὲ δ' ὦν τις ἀοιδᾶν δίψαν ἀκειόμενον πράσσει χρέος αὖτις ἐγεῖραι καὶ τεῶν δόξαν παλαιῶν προγόνων. Ol. III 7: στέφανοι πράσσοντί με τοῦτο θεόδματον χρέος, φόρμιγγα — Αἰνησιδάμου παιδὶ συμμῖξαι πρεπόντως. — 3) abs. *ago*, wirke, bin thätig Ne. I 26: πράσσει γὰρ ἔργῳ μὲν σθένος, βουλαῖσι δὲ φρὴν ἐσσόμενον προϊδεῖν, συγγενὲς οἷς ἕπεται. fr. 131 (96), 4: εὕδει δὲ (sc. αἰῶνος εἴδωλον) πρασσόντων μελέων. — II) intr. *ago, fortuna aliqua utor*, c. adv. Py. II 73: ὁ δὲ Ῥαδάμανθυς εὖ πέπραγεν. Ol. XI 4: εἰ δὲ σὺν πόνῳ τις εὖ πράσσει (Christ., libri πράσσοι v. πράσσων, Bergk. c. Hartungio πράσσῃ). IV 4: ξείνων δ' εὖ πρασσόντων. c. neutr. adi. Ol. VIII 73: Ἀίδα τοι λάθεται ἄρμενα πράξαις ἀνήρ. Py. VIII 52: τὸ δὲ οἴκοθεν ἀντία πράξει. — B) Med. 1) *viribus meis atque contentione perficio* Py. IV 243: ἤλπετο δ' οὐκέτι οἱ κεῖνόν γε πράξασθαι πόνον (Herm. et Bergk. πράξεσθαι). — 2) *mihi efficio* Py. III 115: παύροις δὲ πράξασθ' εὐμαρές: sc. „hoc ut celebrentur a poetis atque ita immortales fiant“ Dissen. — 3) *mihi exigo*, c. dupl. acc. Ol. X 30: ὡς Αὐγέαν λάτριον ἀέκονθ' ἑκὼν μισθὸν ὑπέρβιον πράσσοιτο.

πρᾱΰμητις *mitis animo* Ol. VI 42: τᾷ μὲν ὁ Χρυσοκόμας πραΰμητίν τ' Ἐλείθυιαν παρέστασέν τε Μοίρας.

πρᾱΰς *mitis, placidus* Py. III 71: ὃς Συρακόσσαισι νέμει βασιλεὺς πραΰς ἀστοῖς. IV 136: πραῢν δ' Ἰάσων μαλθακᾷ φωνᾷ ποτιστάζων ὄαρον βάλλετο κρηπῖδα σοφῶν ἐπέων. Ol. XIII 85: φάρμακον πραῢ τείνων ἀμφὶ γένυι: πραΰνοντα καὶ ἡμεροῦντα, ὡς ἀντιφάρμακον ἰατρικόν. λέγει δὲ τὸν χαλινόν. Schol.

πρέμνον *radix, fundamentum* fr. 88 (58), 4: τέσσαρες ὀρθαὶ πρέμνων ἀπώρουσαν χθονίων — κίονες (Herm. et Porson., libri πρεμνῶν v. πρυμνῶν).

πρέπω (praes. πρέπει. ipf. πρέπεν. adv. πρεπόντως. brevis vocalis antecedens non producitur) 1) *conspicuus sum, splendeo* Py. X 67: πειρῶντι δὲ καὶ χρυσὸς ἐν βασάνῳ πρέπει καὶ νόος ὀρθός: „h. e. probatione cognoscitur quid sincerum sit; sic etiam Thoracis amicitia usu mihi spectata“ Dissen. — 2) *similis sum* Py. II 38: εἶδος γὰρ ὑπεροχωτάτᾳ πρέπεν οὐρανιᾶν θυγατέρι Κρόνου (sc. νεφέλα). — 3) *decco* Is. IV (V) 16: θνατὰ θνατοῖσι πρέπει. — plerumque impers. πρέπει *decet, convenit*, c. inf. Py. V 43: ἑκόντι τοίνυν πρέπει νόῳ τὸν εὐεργέταν ὑπαντιάσαι. Ne. VII 82. add. dat. Py. IV 147: οὐ πρέπει νῷν (var. νῶι, νῶ, νὼ) χαλκοτόροις ξίφεσιν — προγόνων τιμὰν δάσασθαι. fr. 121 (86): πρέπει δ' ἐσλοῖσιν ὑμνεῖσθαι καλλίσταις ἀοιδαῖς, ubi Bergkius inserit καλὰ ἔργα. add. acc. Ol. II 50 (46): πρέπει τὸν Αἰνησιδάμου ἐγκωμίων τε μελέων λυρᾶν τε τυγχανέμεν. Py. V 104. — adv. a part. praes. ductum **πρεπόντως** *convenienter* Ol. III 9: φόρμιγγα — Αἰνησιδάμου παιδὶ συμμῖξαι πρεπόντως.

πρέσβυς (brevis vocalis antecedens non producitur) *senex* Py. IV 282: κεῖνος γὰρ ἐν παισὶν νέος, ἐν δὲ βουλαῖς πρέσβυς ἐγκύρσαις ἑκατονταετεῖ βιοτᾷ: οὕτως ἐστὶ φρόνιμος ὡς πολυετὴς ἀνήρ. Schol. — Compar. **πρεσβύτερος** *actate provectior* Ol. IX 90: οἷον δ' ἐν Μαραθῶνι συλαθεὶς ἀγενείων μένεν ἀγῶνα πρεσβυτέρων ἀμφ' ἀργυρίδεσσιν. de rebus fr. 127 (236), 2: μὴ πρεσβυτέραν ἀριθμοῦ δίωκε, θυμέ, πρᾶξιν: vetustiorem iusto numero. Py. II 65: βουλαὶ δὲ πρεσβύτεραι ἀκίνδυνον ἐμοὶ ἔπος σὲ ποτὶ πάντα λόγον ἐπαινεῖν παρέχοντι: οἷον, ὑπὲρ τὴν νεότητα βουλεύῃ. Schol. — Superl. **πρεσβύτατος** *natu maximus* Ol. VII 74: Κάμειρον πρεσβύτατόν τε Ἰάλυσον ἔτεκεν Λίνδον τ'.

Πρίαμος *Priamus*, rex Troianorum Ne. VII 35: Πριάμου πόλιν Νεοπτόλεμος ἐπεὶ πράθεν (var. Πριάμοιο). Py. I 54: ὃς Πριάμοιο πόλιν πέρσεν. XI 19: Δαρδανίδα κόραν Πριάμου Κασσάνδραν.

πρῐασθαι *redimere*, met. Py. VI 39: αὐτοῦ μένων ὁ θεῖος ἀνὴρ πρίατο μὲν θανάτοιο κομιδὰν πατρός.

πρῐν (brevis vocalis antecedens quater producitur, ter non producitur) I) adv. 1) *olim* Is. VII 68 (VIII 75): ἐπεί νιν Ἀλκαθόου τ' ἀγὼν σὺν

τύχα ἐν Ἐπιδαύρῳ τε νεότας δέκετο πρίν (Herm., libri νεότας πρὶν ἔδεκτο, Bergk. πρὶν ἔδεκτο νεότας). fr. 79 (47). — 2) *antea*, c. artic. Py. XI 39: ὀρθὰν κέλευθον ἰὼν τὸπρίν (var. τὸ πρίν). — c. gen. pro praep.: *ante* Py. IV 43: κέχυται Λιβύας εὐρυχόρου σπέρμα πρὶν ὥρας. — II) coni. *antequam* 1) c. indic. aor. Ol. XIII 65: πόλλ᾽ ἀμφὶ κρουνοῖς Πάγασον ζεῦξαι ποθέων ἔπαθεν, πρίν γέ οἱ χρυσάμπυκα κούρα χαλινὸν Παλλὰς ἤνεγκ᾽. IX 57. — post negationem Ne. IV 28: Ἀλκυονῆ (πόρθησε), οὐ τετραορίας γε πρὶν δυώδεκα πέτρῳ ἥρωάς τε ἐπεμβεβαῶτας ἱπποδάμους ἕλεν δὶς τόσους. — 2) c. infin. post. sent. affirmativam a) de praesenti tempore Ne. VIII 19: ἵσταμαι δὴ ποσσὶ κούφοις ἀμπνέων τε πρίν τι φάμεν. in sent. generalibus Is. III 50 (IV 32): ἔστιν δ᾽ ἀφάνεια τύχας καὶ μαρναμένων, πρὶν τέλος ἄκρον ἱκέσθαι. Ne. VII 73: ἄκονθ᾽ ὥτε —, ὃς ἐξέπεμψεν παλαισμάτων αὐχένα καὶ σθένος ἀδίαντον, αἴθωνι πρὶν ἀελίῳ γυῖον ἐμπεσεῖν (var. ὃς ἐξέπεμψας, Bergk. ὅ σ᾽ ἐξέπεμψεν). Py. II 92: ἐνέπαξαν ἕλκος ὀδυναρὸν ἑᾷ πρόσθε καρδίᾳ, πρὶν ὅσα φροντίδι μητίονται τυχεῖν. — b) de praeterito Ne. VIII 51: ἦν γε μὰν ἐπικώμιος ὕμνος δὴ πάλαι καὶ πρὶν γενέσθαι τὰν Ἀδράστου τάν τε Καδμείων ἔριν. IX 26: κρύψεν δ᾽ ἅμ᾽ ἵπποις, δουρὶ Περικλυμένου πρὶν νῶτα τυπέντα μαχατὰν θυμὸν αἰσχυνθῆμεν. Py. III 9: τὸν μὲν εὐίππου Φλεγύα θυγάτηρ πρὶν τελέσσαι ματροπόλῳ σὺν Ἐλειθυίᾳ, — δόμον εἰς Ἀίδα κατέβα. IX 113: ἄκουσεν Δάναόν ποτ᾽ ἐν Ἄργει οἷον εὗρεν — παρθένοισι, πρὶν μέσον ἆμαρ ἑλεῖν, ὠκύτατον γάμον (Bergk. εὑρεῖν . . . , πρὶν μέσον ἆμαρ, ἑλεῖν).

πρό (brevis vocalis antecedens bis producitur, semel non producitur) praep. c. gen. 1) de loco: *ante* Ol. XIII 56: πρὸ Δαρδάνου τειχέων — μαχᾶν τάμνειν τέλος. Is. III 38 (IV 20): γέφυραν ποντιάδα πρὸ Κορίνθου τειχέων (οἰκέων). Py. II 18: σὲ — Ζεφυρία πρὸ δόμων Λοκρὶς παρθένος ἀπύει. V 96: ατερθε δὲ πρὸ δωμάτων ἕτεροι λαχόντες αἴδαν βασιλέες ἱεροὶ ἐντί. I 77: ἐρέω πρὸ Κιθαιρῶνος μάχαν. I 72: ὕβριν ἰδὼν τὰν πρὸ Κύμας. Is. VII (VIII) 13: τὸ δὲ πρὸ ποδὸς ἄρειον ἀεὶ σκοπεῖν: h. e. quod praesens est. — 2) met. de praesidio: *pro* Is. VI (VII) 27: χάλαζαν αἵματος πρὸ φίλας πάτρας ἀμύνεται (Schmid., libri πρὸς). — 3) de praestantia: *prae* Py. IV 140: κέρδος αἰνῆσαι πρὸ δίκας δόλιον. Ol. X 23: ἄπονον δ᾽ ἔλαβον χάρμα παῦροί τινες, ἔργων πρὸ πάντων βιότῳ φάος.

προαμεύομαι v. **παραμεύομαι.**

προάστιον *suburbium* fr. 129 (95), 2: φοινικορόδοις δ᾽ ἐνὶ λειμώνεσσι προάστιον αὐτῶν καὶ λιβάνῳ σκιαρὸν καὶ χρυσέοις καρποῖς βεβριθός (Herm., vulgo προάστειον): „est urbs in Orco, ubi Pluto cum Proserpina habitat et heroes ceterique mortui, ante urbem vero amoenis in pratis suburbium pulcherrimum, veluti Athenis Κεραμεικός fuit. Etiam hic locus Pindarico more praesentibus rebus accommodatus. Videtur enim defunctus, qui canitur, in suburbio sepultus esse, ubi credo cognati fundum habebant“ Dissen.

προβαίνω 1) intr. *progredior, excedo*, met. Ne. VII 71: ἀπομνύω μὴ τέρμα προβὰς ἄκονθ᾽ ὥτε χαλκοπάραον ὄρσαι θοὰν γλῶσσαν: οὐχ ὑπερπέπτωκε τὸ τέρμα (ἡ γλῶσσά μου), ὡς ἀκόντιον. Schol. — 2) trans. *promoveo*, met. Ol. VIII 63: κεῖνα δὲ κεῖνος ἂν εἴποι ἔργα περαίτερον ἄλλων, τίς τρόπος ἄνδρα προβάσει ἐξ ἱερῶν ἀέθλων μέλλοντα ποθεινοτάταν δόξαν φέρειν.

πρόβατον fr. 316. 317 (182. 183): εἶτά φησιν (Aristoph. Byz.) ὡς καὶ Πίνδαρός που τὰς Διομήδους ἵππους πρόβατα καλεῖ, τὴν φάτνην αὐτῶν λέγων προβάτων τράπεζαν· οὕτω δέ που, φησί, καὶ ἐπὶ τοῦ Πηγάσου ποιεῖ (Eust. Il. λ 877).

πρόγονος (sg. πρόγονον. pl. πρόγονοι, -ων) 1) sing. *avus* Ol. VI 59: ἐκάλεσσε Ποσειδᾶν᾽ εὐρυβίαν, ὃν πρόγονον. — 2) plur. *maiores* Py. IV 148: μεγάλαν προγόνων τιμὰν δάσασθαι. Ne. VII 92: ναίειν — προγόνων εὐκτήμονα ζαθέαν ἀγυιάν. Py. IX 109: ἐγεῖραι καὶ τεῶν δόξαν παλαιῶν προγόνων, οἷοι Λιβύσσας ἀμφὶ γυναικὸς ἔβαν Ἴρασα: „est de Alexidamo, uno ex maioribus, quibus ut solet omnibus tribuitur, quod unus ex eorum societate fecit; hic enim totius ea aetate gentis personam sustinet“ Boeckh. Py. VII 17 (15): ὑμαί τε

καὶ προγόνων (sc. νῖκαι). Ol. IX 54: χαλκάσπιδες ὑμέτεροι πρόγονοι.

προδότας *proditor.* fr. 160: θανόντων δὲ καὶ [λόγοι] φίλοι προδόται, ubi λόγοι cancellis saepsit Bergk.

πρόθῠρον (sg. προθύρῳ, -ον. pl. προθύρων, -οισιν. brevis vocalis antecedens bis producitur) *vestibulum,* domus pars ante conclavis fores sita, nonnunquam columnis ornatum Py. III 78: Ματρί, τὰν κοῦραι παρ' ἐμὸν πρόθυρον σὺν Πανὶ μέλπονται θαμὰ σεμνὰν θεὸν ἐννύχιαι: v. μάτηρ. Is. VII (VIII) 3: ἀγλαὸν Τελεσάρχου παρὰ πρόθυρον ἰὼν ἀνεγειρέτω κῶμον. fr. 169 (151), 6: Γηρυόνα βόας Κυκλωπίων ἐπὶ προθύρων Εὐρυσθέος — ἤλασεν. de templo Ne. V 53: προθύροισιν δ' Αἰακοῦ ἀνθέων ποιάεντα φέρειν στεφανώματα. in comparatione Ol. VI 1: χρυσέας ὑποστάσαντες εὐτειχεῖ προθύρῳ θαλάμου κίονας, ὡς ὅτε θαητὸν μέγαρον, πάξομεν: „ut μεγάρῳ universum carmen, sic πρόθυρον prooemio comparatum est, per quod pervenias ad reliquum carmen θαλάμῳ comparatum“ Boeckh. — met. Ol. XIII 5: Κόρινθον, Ἰσθμίου πρόθυρον Ποτειδᾶνος: „verba situm indicant in introitu Isthmi; ut Isthmus τέμενος, ἕδος Neptuni, sic Corinthus πρόθυρον“ Dissen.

προϊδεῖν *prospicere* Ne. I 27: πράσσει γὰρ ἔργῳ μὲν σθένος, βουλαῖσι δὲ φρὴν ἐσσόμενον προϊδεῖν, συγγενὲς οἷς ἕπεται: „mens quae futura potest prospicere“ Mezger. sec. Rauchenstein.; vulgo c. Stephano φρήν, ἐσσόμενον προϊδεῖν συγγενὲς οἷς ἕπεται: „futura ut praevideant si quibus a natura datum“ Dissen.

προΐημι *emitto, dimitto* Ol. I 67 (65): τοὔνεκᾰ προῆκαν υἱὸν (Pelopem) ἀθάνατοί οἱ πάλιν μετὰ τὸ ταχύποτμον αὖτις ἀνέρων ἔθνος: sc. e coelo. — met. Py. IV 166: καί τοι μοναρχεῖν καὶ βασιλευέμεν ὄμνυμῐ προήσειν: me traditurum.

Προῖτος *Proetus,* rex Tirynthis v. Argorum Ne. X 41: νικαφορίαις γὰρ ὅσαις Προίτοιο καθ' ἱπποτρόφον ἄστυ θάλησαν: Argos significatur; „postquam enim cum aliis feminis Argivis Proetides sanatae erant a Melampode, Proetus cum Melampode et Biante regnum traditur divisisse; qui in schol. ad Ne. IX 30 rex Argorum dicitur, sive praesente Acrisio sive post fugam eius Tirynthe Argos redierit“ Dissen.

προκώμιον *prooemium* Ne. IV 11: τό μοι θέμεν Κρονίδᾳ τε Δὶ καὶ Νεμέᾳ Τιμασάρχου τε πάλᾳ ὕμνου προκώμιον εἴη: „quum κῶμοι sint ὕμνοι ἐπικώμιοι, nunc προκώμιον dicit poeta quod Py. VII init. προοίμιον dixit“ Dissen.

προλέγω *distinguo, primo loco pono* Ne. II 18: ὅσσα δ' ἀμφ' ἀέθλοις, Τιμοδημίδαι ἐξοχώτατοι προλέγονται.

προλείπω *relinquo, egredior* Py. IX 30: σεμνὸν ἄντρον — προλιπών.

προμάθεια *providentia, prudentia* Ne. XI 46: δέδεται γὰρ ἀναιδεῖ ἐλπίδι γυῖᾰ· προμαθείας δ' ἀπόκεινται ῥοαί. Is. I 40: ὁ πονήσαις δὲ νόῳ καὶ προμάθειαν φέρει.

προμᾱθεύς *providentia, prudentia* Ol. VII 44: ἐν δ' ἀρετὰν ἔβαλεν καὶ χάρματ' ἀνθρώποισῐ προμαθέος αἰδώς: „in appellativum cessit viri nomen προμηθεύς“ Boeckh.; alii, ut Dissen. et Christ., maiuscula littera scribunt, „fere ut sunt Ἥφαιστος, Ἀφροδίτη, alia nomina pro rebus“. Dissen.

προμανθάνω *praedisco* Ol. VIII 60: τὸ διδάξασθαι δέ τοι εἰδότι ῥᾴτερον· ἄγνωμον δὲ τὸ μὴ προμαθεῖν.

πρόμαχος *propugnator, antesignanus* Is. VI (VII) 35: ἀπέπνευσας ἁλικίαν προμάχων ἀν' ὅμιλον, ἔνθ' ἄριστοι ἔσχον πολέμοιο νεῖκος ἐσχάταις ἐλπίσιν.

προνέμω *prae aliis tribuo* Is. VII 16 (VIII 18): χρὴ δ' ἐν ἑπταπύλοισι Θήβαις τραφέντα Αἰγίνᾳ Χαρίτων ἄωτον προνέμειν (schol. προσνέμειν).

προνοέω *praevideo* Py. X 63: τὰ δ' εἰς ἐνιαυτὸν ἀτέκμαρτον προνοῆσαι.

προξενία *proxenia, hospitium publicum* Ol. IX 83: προξενίᾳ δ' ἀρετᾷ τ' ἦλθον τιμάορος Ἰσθμίαισι Λαμπρομάχου μίτραις: „coniunctio inter Pindarum et Opuntiam hanc, de qua agitur, familiam eo nititur, quod Lampromachus Thebanorum proxenus est, quo munere a Thebanis illi delato simul Pindaro Thebano conciliatur“ Boeckh.; de dat. προξ. v. ἔρχομαι 1) b). Ne. VII 65: προξενίᾳ πέποιθ' (Herm. et Boeckh., libri καὶ προξενίᾳ, Mommsen. καὶ ξενίᾳ, quod rec. Christ.): πρὸς τοὺς Αἰγινήτας. Schol. „suspicor Pindarum hospitia gratuita habuisse per Graeciam, qualia Amphictyones decrevere alio tempore Polygnoto“ Dissen.

πρόξενος *hospes publicus* Is. III

26 (IV 8): τοὶ μὲν ὦν (Cleonymidae) Θήβαισι τιμάεντες ἀρχᾶθεν λέγονται πρόξενοί τ' ἀμφικτιόνων.

προοίμιον *exordium* carminis vel cantus Ne. II 3: ὅθεν περ καὶ Ὁμηρίδαι ῥαπτῶν ἐπέων τὰ πόλλ' ἀοιδοὶ ἄρχονται, Διὸς ἐκ προοιμίου. Py. VII 2: κάλλιστον αἱ μεγαλοπόλιες Ἀθᾶναι προοίμιον Ἀλκμανιδᾶν εὐρυσθενεῖ γενεᾷ κρηπῖδ' ἀοιδᾶν ἵπποισι βαλέσθαι, ubi dat. γενεᾷ melius referatur ad βαλέσθαι an ad προοίμιον ambigitur. Py. I 4: πείθονται δ' ἀοιδοὶ σάμασιν, ἁγησιχόρων ὁπόταν προοιμίων ἀμβολὰς τεύχῃς ἐλελιζομένα: compellatur cithara. — met. fr. 78 (225): κλῦθ', Ἀλαλὰ Πολέμου θύγατερ, ἐγχέων προοίμιον: „praeludium hastarum, appellat hoc carmen cantatum ante exitum ad pugnam" Dissen.

προπάτωρ *avus* Ne. IV 89: Εὐφάνης — προπάτωρ ὁ σός.

προπετής *temerarius* Ne. VI 71 (63): δύο μὲν Κρονίου πὰρ τεμένει, παῖ, σέ τ' ἐνόσφισε καὶ Πολυτιμίδαν κλᾶρος προπετὴς ἄνθε' Ὀλυμπιάδος: „est sors, quae Alcimidae et Polytimidae, quum manus in urnam demitterent, temere prolapsa se obtulerat et educta eos composuerat cum adversariis nimis robustis (fort. cum ἐφέδρῳ), ut vincerentur" Dissen. „mature prolapsa est sors, quo factum est ut ἔφεδροι esse non possent" Mezger.

προπίνω *propino atque ita dono* Ol. VII 4: φιάλαν ὡς εἴ τις ἀφνειᾶς ἀπὸ χειρὸς ἑλὼν ἔνδον ἀμπέλου καχλάζοισαν δρόσῳ δωρήσεται νεανίᾳ γαμβρῷ προπίνων οἴκοθεν οἴκαδε: οὐ μόνον προπίνων ἀλλὰ καὶ τὴν φιάλην χαρίσεται χρυσῆν οὖσαν. δηλοῖ γὰρ τὸ δωρεῖσθαι. Schol.

πρόπολος *minister*, *ministra* Ol. XIII 54: ναῒ σώτειραν Ἀργοῖ καὶ προπόλοις: Argonautis. — met. Ne. IV 79: πάτραν ἵν' ἀκούομεν, Τιμάσαρχε, τεὰν ἐπινικίοισιν ἀοιδαῖς πρόπολον ἔμμεναι: „sc. sumptibus choro praebendis sive χορηγίᾳ" Dissen. „videtur Theandridarum familia tibicinum aut citharistarum fuisse, quae hereditario iure in deorum sollemnibus musicam exerceret, ut Athenis Lycomidae, Eunidae, alii" Leutsch.

προπρεών *benevolus* Ne. VII 86: σέο δὲ προπρεῶνα μὲν ξεῖνον ἀδελφεόν τ': ἀντὶ τοῦ πρόθυμον. Schol.

πρός, ποτί (1) πρός; brevis vocalis antecedens producitur ter Ol. VI 24. VIII 8. Ne. VIII 41. — 2) multo rarior dor. forma ποτί, semel ποτ' Ol. VII 90, semel per apocopen ποττάν fr. 122, 5) I) adv. in tmesi, v. ποθέρπω. — II) praep. (ubique fere ante casum leg. nonnunquam genet., partic. δέ, μέν, raro aliis vocibus interpositis; semel post casum Is. V 12; inter adi. et subst. ponitur sedecies, inter subst. et adi. semel, inter duo subst. semel Ne. IV 70) A) c. accus. *ad*, *usque ad*, *in*, *versus*, 1) c. verbis motum aliquo fieri significantibus a) ad personas Ol. VI 24: ἵκωμαι δὲ πρὸς ἀνδρῶν καὶ γένος. VI 28: πρὸς Πιτάναν δὲ παρ' Εὐρώτα πόρον δεῖ σάμερόν μ' ἐλθεῖν. Ne. VII 40: ᾤχετο δὲ πρὸς θεόν. Py. IV 239: πρὸς δ' ἑταῖροι καρτερὸν ἄνδρα φίλας ὤρεγον χεῖρας. fr. 122 (87), 5: πολλάκι ματέρ' ἐρώτων οὐρανίαν πτάμεναι νόημα ποττὰν Ἀφροδίταν (var. ποτὶ τὰν): Theocriti dialecto conveniens non Pindari esse quum censeat Boeckhius, poetae πρὸς τὰν fuisse arbitratur. — ad membra corporis fr. 111 (77), 2: τέλος δ' ἀείραις (clavam) πρὸς στιβαρὰς ἐσπάραξε πλευράς, ubi ἄκραν post πρὸς inseri iubet Bergk. — b) ad regiones v. res Is. II 41: ἐπέρα ποτὶ μὲν Φᾶσιν. II 42: πλέων Νείλου πρὸς ἀκτάν. cf. fr. 218 (239), 3. Ne. III 26. Ol. IX 34: βρότεα σώμαθ' ᾇ κατάγει κοίλαν πρὸς ἀγυιὰν θνασκόντων (var. ἐς). fr. 30 (6), 3: ποτὶ κλίμακα σεμνὰν αγον. Ne. V 37: ποτὶ κλειτὰν θαμὰ νίσσεται Ἰσθμόν. Py. IX 53: Διὸς ἔξοχον ποτὶ κᾶπον ἐνεῖκαι. IV 56: πολεῖς ἀγαγεῖν Νείλοιο πρὸς πῖον τέμενος. Ne. IV 70: ἀπότρεπε αὖτις Εὐρώπαν ποτὶ χέρσον ἔντεα ναός (Bergk. εὐρωπὰν). Py. IV 160: ἐλθόντας πρὸς Αἰήτα θαλάμους. Ol. I 43 (42): ὕπατον εὐρυτίμου ποτὶ δῶμα Διὸς μεταβᾶσαι. Ne. IV 24: κατέδραμεν Ἡρακλέος ὀλβίαν πρὸς αὐλάν (var. κατέδρακεν). Py. IX 106: ἔβαν Ἴρασα, πρὸς πόλιν Ἀνταίου. Ne. VII 30: πόρευσαν — πρὸς Ἴλου πόλιν. Py. II 36: ποτὶ κοῖτον ἰόντ' (Boeckh., libri ποτὶ v. ποτὲ καὶ τὸν ἵκοντ'). Ne. V 51: ἀνὰ δ' ἱστία τεῖνον πρὸς ζυγὸν καρχασίου: usque ad; cf. Ne. VIII 41: ἀερθεῖσ' (ἀρετὰ) πρὸς ὑγρὸν αἰθέρα. — met. Py. X 28: περαίνει πρὸς ἔσχατον πλόον: v. πλόος. Ol. III 13: πρὸς ἐσχατιὰν Θήρων ἀρεταῖσιν ἱκάνων. Is.

V (VI) 12: *ἐσχατιὰς ἤδη πρὸς ὄλβον βάλλετ' ἄγκυραν* (var. *ἐσχατιαῖς*, Bergk. coni. *ἐσχατιαῖς*). Ne. VI 27 (23): *πρὸς ἄκρον ἀρετᾶς ἦλθον*. Py. IV 140: *τραχεῖαν ἑρπόντων πρὸς ἐπίβδαν*. Is. III 10: *πρὸς εὐφροσύναν τρέψαι γλυκεῖαν ἦτορ*. cf. Ol. IV 14 (18). Ol. X 20: *φύντ' ἀρετᾷ ποτὶ πελώριον ὁρμᾶσαι κλέος*. Ne. X 23: *ἀγών τοι χάλκεος δᾶμον ὀτρύνει ποτὶ βουθυσίαν Ἥρας ἀέθλων τε κρίσιν*. — deest verbum Ne. IV 69: *Γαδείρων τὸ πρὸς ζόφον οὐ περατόν*: versus. — 2) c. verbis actionem significantibus, quae dirigatur aliquo ita ut fiat quasi motus Ne. IV 53: *πρῶνες ἔξοχοι κατάκεινται Δωδώναθεν ἀρχόμενοι πρὸς Ἰόνιον πόρον*. Py. II 82: *σαίνων ποτὶ πάντας*. fr. 181 (174): *ὁ γὰρ ἐξ οἴκου ποτὶ μῶμον ἔπαινος κίρναται*, ubi addendi vim habet praep. fr. 180 (172): *μὴ πρὸς ἅπαντας ἀναρρῆξαι τὸν ἀχρεῖον λόγον*. Py. IV 295: *θυμὸν ἐκδόσθαι πρὸς ἥβαν*: laetitiae. — 3) adversativam habet vim: adversus Py. II 88: *χρὴ δὲ πρὸς θεὸν οὐκ ἐρίζειν*. II 84: *ποτὶ δ' ἐχθρὸν ἅτ' ἐχθρὸς ἐὼν λύκοιο δίκαν ὑποθεύσομαι*. Ol. V 15: *πόνος δαπάνα τε μάρναται πρὸς ἔργον*. Ne. IX 38: *φόνου παρποδίου νεφέλαν τρέψαι ποτὶ δυσμενέων ἀνδρῶν στίχας*. Py. II 94: *ποτὶ κέντρον δέ τοι λακτιζέμεν τελέθει ὀλισθηρὸς οἶμος*. Ol. X 84: *μολπὰ πρὸς κάλαμον ἀντιάξει μελέων*: obviam ibit v. respondebit tibiae. — 4) significat relationem ad aliquid a) respectum: in Bezug auf, hinsichtlich Py. VI 42: *ὕπατος ἀμφὶ τοκεῦσιν ἔμμεν πρὸς ἀρετάν*: pietate. Py. II 66: *βουλαὶ δὲ πρεσβύτεραι ἀκίνδυνον ἐμοὶ ἔπος σὲ ποτὶ πάντα λόγον ἐπαινεῖν παρέχοντι*, ubi aliter Dissen.; v. *λόγος*. Ne. VIII 4: *καιροῦ μὴ πλαναθέντα πρὸς ἔργον ἕκαστον*. — b) convenientiam et comitatum: secundum, ad Py. VI 45: *τῶν νῦν δὲ καὶ Θρασύβουλος πατρῴαν μάλιστα πρὸς στάθμαν ἔβα*. Ne. VI 8: *οἵαν τιν' ἔγραψε δραμεῖν ποτὶ στάθμαν*: „nach welcher Richtschnur" Mezger. — Ol. IV 4 (6): *ξείνων δ' εὖ πρασσόντων ἔσαναν αὐτίκ' ἀγγελίαν ποτὶ γλυκεῖαν ἐσλοί*: ad nuntium, nuntio audito. — c) finem, quem quis spectat Ol. VIII 8: *ἄνεται δὲ πρὸς χάριν εὐσεβείας ἀνδρῶν λιταῖς*: in gratiam. — d) comparationem: prae, im Vergleich mit Ol. II 97 (88): *κόρακες ὣς ἄκραντα γαρύετον Διὸς πρὸς ὄρνιχα θεῖον*, ubi Dissen.: „adversus". — 5) de tempore: usque ad Ne. IX 44: *ἐκ πόνων — τελέθει πρὸς γῆρας αἰὼν ἁμέρα*. — — ad, sub, circa Py. IX 25: *ὕπνον ἐπὶ γλεφάροις παῦρ' ἀναλίσκοισα ῥέποντα πρὸς ἀῶ*. Ol. I 69 (67): *πρὸς εὐάνθεμον — φυάν*. — B) c. dat. significat versari aliquem v. aliquid in propinquitate alicuius rei, quae attingatur an non nihil interest: *prope, in, ad*, an, bei, auf Py. IV 24: *ἄγκυραν ποτὶ χαλκόγενυν ναΐ κρημνάντων ἐπέτοσσε*, ubi *ποτικρημνάντων* iunctim intellegit Boeckh. Py. I 86: *ἀψευδεῖ δὲ πρὸς ἄκμονι χάλκευε γλῶσσαν*. fr. 205 (221): *μὴ πταίσῃς ἐμὰν σύνθεσιν τραχεῖ ποτὶ ψεύδει* (libri *ποτὲ*). c. verbo movendi Py. IX 118: *ποτὶ γραμμᾷ μὲν αὐτὰν στᾶσε κοσμήσαις*. — C) c. gen. significat oriri proficiscique aliquid ab aliqua persona (v. re), plerumque ut efficiatur ab ea: 1) *a*, (*apud*), von Seiten, von, bei, maxime cum verbis passivam vim exhibentibus Is. II 7: *οὐδ' ἐπέρναντο γλυκεῖαι μελιφθόγγου ποτὶ Τερψιχόρας — ἀοιδαί*. Is. III 77 (IV 59). fr. 123 (88), 5. 133 (98), 5. Py. III 103: *χρὴ πρὸς μακάρων τυγχάνοντ' εὖ πασχέμεν*. Ne. IX 45: *ἴστω λαχὼν πρὸς δαιμόνων θαυμαστὸν ὄλβον*. Py. IV 297: *ἀπαθὴς δ' αὐτὸς πρὸς ἀστῶν*. IV 63: *ποινὰ τίς ἔσται πρὸς θεῶν*. Ne. X 42: *Κλεωναίων πρὸς ἀνδρῶν* (*θάλησαν*). Ol. II 26 (24): *πένθος δ' ἔπιτνεν βαρὺ κρεσσόνων πρὸς ἀγαθῶν: ἡττᾶται γὰρ τὸ κακὸν ὑπὸ τῶν ἀγαθῶν καὶ λύσις ἐστὶ τῆς συμφορᾶς*. Schol. Py. IV 286: *ὁ γὰρ καιρὸς πρὸς ἀνθρώπων βραχὺ μέτρον ἔχει*. Ol. VII 90: *δίδοι τέ οἱ αἰδοίαν χάριν καί ποτ' ἀστῶν καὶ ποτὶ ξείνων*. — 2) est invocantis deos ac testantis: *per* fr. 90 (62): *πρὸς Ὀλυμπίου Διός σε — λίσσομαι*. 107 (74), 7: *ἀλλά σε πρὸς Διὸς — ἱκετεύω*. (de fr. 225 (247) v. *πάρος*.)

προσάγω *adduco*, met. Is. V (VI) 69: *ξυνὸν ἄστει κόσμον ἑῷ προσάγων*.

προσαιτέω *postulo insuper v. praeterea* fr. 177 (166), 6: *οὐδὲν προσαιτέων ἐφθεγξάμαν ἐπί*.

προσᾱνής *mitis, lenis* Py. X 64: *πέποιθα ξενίᾳ προσανέι Θώρακος* (Tricl., rell. *προσανεῖ*). III 52: *τοὺς δὲ προσανέα πίνοντας*: sc. remedia.

προσάντης *arduus* Is. II 33: *οὐ γὰρ πάγος οὐδὲ προσάντης ἁ κέλευθος γίνεται.*

προσάπτω *adiicio, adspergo,* met. Ne. VIII 37: *θανὼν ὥς παισὶ κλέος μὴ τὸ δύσφαμον προσάψω.*

προσαυδάω *alloquor* Py. IV 119: *Φὴρ δέ με θεῖος Ἰάσονα κικλήσκων προσηύδα* (var. *προσηῦδα*, Bergk. coni. *προσαύδη*).

προσβάλλω *admoveo, affero,* met. Py. IV 271: *χρὴ μαλακὰν χέρᾰ προσβάλλοντα τρώμαν ἕλκεος ἀμφιπολεῖν*: es enim medicus civitatis. Is. IV (V) 29: *μελέταν δὲ σοφισταῖς Διὸς ἕκατι πρόσβαλον σεβιζόμενοι.*

πρόσειμι *advenio,* met. fr. 110 (76), 2: *γλυκὺ δ' ἀπείροισι πόλεμος· πεπειραμένων δέ τις ταρβεῖ προσιόντα νιν καρδίᾳ περισσῶς.*

προσειπεῖν *compellare, invocare* Is. I 56: *ἄμμι δ' ἔοικε — σέθεν, Ἀμφιτρύων, παῖδας προσειπεῖν.*

προσέλκω *attraho,* met. Ol. VI 83: *δόξαν —, ἅ μ' ἐθέλοντᾰ προσέλκει καλλιρόοισι πνοαῖς* (Tricl., rell. *προσέρπει*): *προσάγει, παροξύνει.* Schol.

προσεννέπω (brevis vocalis antecedens non producitur) *alloquor* Py. IX 29: *αὐτίκα δ' ἐκ μεγάρων Χείρωνα προσήνεπε φωνᾷ* (Heynius *προσέννεπε*): „allocutus est vocans e tectis" Dissen. Py. IV 97: *κλέπτων δὲ θυμῷ δεῖμα προσήνεπε* (var. *προσένεπε, προσέννεπε*). sequ. inf. Is. V (VI) 17: *ἐγὼ δ' ὑψίθρονον Κλωθὼ κασιγνήτας τε προσεννέπω ἕσπεσθαι κλυταῖς ἀνδρὸς φίλου Μοίρας ἐφετμαῖς*: precor.

προσέρπω *advenio,* de tempore Py. I 57: *οὕτω δ' Ἱέρωνι θεὸς ὀρθωτὴρ πέλοι τὸν προσέρποντα χρόνον, ὧν ἔραται, καιρὸν διδούς.* per tmesin Ne. VII 68: *ὁ δὲ λοιπὸς εὔφρων ποτὶ χρόνος ἕρποι.* (de Ol. VI 83 v. *προσέλκω.*)

προσέχω, Med. *applico me* Py. VI 51: *τίν τ', Ἐλέλιχθον —, μάλα ἁδόντι νόῳ, Ποσειδᾶν, προσέχεται* (Schmid., libri *προσέρχεται.*)

πρόσθε, πρόσθεν (*πρόσθε* ante consonas, *πρόσθεν* ante vocales, bis etiam ante consonas; brevis vocalis antecedens bis producitur, semel non producitur Ol. X 50, semel est anceps Py. VIII 65) *antea,* de tempore praeterito Py. III 14: *ἄλλον αἴνησεν γάμον κρύβδαν πατρός, πρόσθεν ἀκειρεκόμᾳ μιχθεῖσα Φοίβῳ.* IX 125: *πολλὰ δὲ πρόσθεν πτερὰ δέξατο Νίκας.* Ol. X 50. Py. VIII 65. Is. III 89 (IV 71). pro adi. est Ne. IX 15: *κρέσσων δὲ καππαύει δίκαν τὰν πρόσθεν ἀνήρ*: pristinam. add. *ποτέ* Ol. X 31: *ὅτι πρόσθε ποτὲ Τιρύνθιον ἔπερσαν αὐτῷ στρατόν.* sequ. *πρίν* Py. II 91: *ἐνέπαξαν ἕλκος ὀδυναρὸν ἑᾷ πρόσθε καρδίᾳ, πρὶν ὅσα φροντίδι μητίονται τυχεῖν* (var. *πρόσθεν*). (de fr. 225 (247) v. *πάρος.*)

προσιδεῖν *adspicere,* Med. Py. I 26: *τέρας μὲν θαυμάσιον προσιδέσθαι, θαῦμα δὲ καὶ παρεόντων ἀκοῦσαι* (var. *πυθέσθαι*).

πρόσκοπος *providus* fr. 231 (255): *τόλμα τέ μιν ζαμενὴς καὶ σύνεσις πρόσκοπος ἐσάωσεν.*

προσμένω *sustineo* Ne. III 60: *ὄφρα — δορίκτυπον ἀλαλὰν Λυκίων τε προσμένοι καὶ Φρυγῶν.*

προσμίγνυμι *adduco,* met. Ol. I 23 (22): *κράτει δὲ προσέμιξε δεσπόταν* (sc. equus).

πρόσοδος *aditus,* met. Ne. VI 52 (45): *πλατεῖαι πάντοθεν λογίοισιν ἐντὶ πρόσοδοι νᾶσον εὐκλέα τάνδε κοσμεῖν.*

προσοίχομαι *accedo* Py. VI 4: *ὀμφαλὸν ἐριβρόμου χθονὸς ἐς νάιον προσοιχόμενοι.*

πρόσοψις *facies* Py. IV 29: *φαιδίμαν ἀνδρὸς αἰδοίου πρόσοψιν θηκάμενος* (var. *πρόσωψιν*, Bergk. sec. paraphr. scr. *περ' ὄψιν θηκάμενος*).

προσπαλαίω *colluctor* Is. III 71 (IV 53): *προσπαλαίσων ἦλθ' ἀνὴρ τὰν πυροφόρον Λιβύαν.* met. Py. IV 290: *κεῖνος Ἄτλας οὐρανῷ προσπαλαίει νῦν γε πατρῴας ἀπὸ γᾶς.* v. *παλαίω.*

προσπτύσσω, Med. *studiose amplector,* met. Is. II 39: *καὶ θεῶν δαῖτας προσέπτυκτο πάσας*: „h. e. operam dabat sacrificiis deorum epulisque offerendis sacris" Dissen.

προστίθημι 1) *addo* Ol. V 24: *ἐξαρκέων κτεάτεσσι καὶ εὐλογίαν προστιθείς* — 2) *admoveo,* met. Ne. III 68: *ὃς τάνδε νᾶσον εὐκλέϊ προσέθηκε λόγῳ καὶ σεμνὸν ἀγλααῖσι μερίμναις Πυθίου Θεάριον.*

προστρέπω *accedo, aggredior* Ne. IV 55: *Ἰαωλκὸν πολεμίᾳ χερὶ προστραπὼν Πηλεὺς παρέδωκεν Αἱμόνεσσι* (Bergk. sec. Heynium *προτραπὼν*).

προστυγχάνω *contingo*, met. fr. 42 (171), 5: εἰ δέ τις ἀνθρώποισι θεόσδοτος ἄτα προστύχῃ, ταύταν σκότει κρύπτειν ἔοικεν (var. προστύχοι, πρὸς τύχῃ).

πρόσφᾰτος *recens*, neutr. sing. pro adv. Py. IV 299: πρόσφατον Θήβᾳ ξενωθείς: nuper.

προσφέρω (praes. προσφέρομεν. προσφέρων. aor. προσενεγκεῖν) 1) trans. *affero* a) admoveo Py. IX 36: ὁσίᾳ κλυτὰν χέρα οἱ προσενεγκεῖν: h. e. amplecti. — b) met. Ol. IX 108: τοῦτο δὲ προσφέρων ἄεθλον, ὄρθιον ὤρυσαι θαρσέων. Ne. X 30: προσφέρων τόλμαν. fr. 43 (173), 3: ποντίου θηρὸς πετραίου χρωτὶ μάλιστα νόον προσφέρων: h. e. assimilans. — 2) intr. *similis sum*, c. dat. Ne. VI 4: ἀλλά τι προσφέρομεν ἔμπαν ἢ μέγαν νόον ἤτοι φύσιν ἀθανάτοις.

προσφθέγγομαι *appello, nomen do* Ol. X 50: καὶ πάγον Κρόνου προσεφθέγξατο: h. e. τὸν πάγον προσεφθέγξατο πάγον Κρόνου.

πρόσφορος, ποτίφορος (sg. m. f. πρόσφορος, -ον. m. ποτίφορος, -ον. brevis vocalis antecedens non producitur) *aptus, accommodatus, conveniens, commodus* Ne. III 31: ποτίφορον δὲ κόσμον ἔλαχες, γλυκύ τι γαρυέμεν. c. dat. Ne. IX 7: θεσπεσία δ' ἐπέων καύχαις ἀοιδὰ πρόσφορος. VII 63: ποτίφορος δ' ἀγαθοῖσι μισθὸς οὗτος. c. praep. ἐν Ol. IX 81: εἴην εὑρησιεπὴς ἀναγεῖσθαι πρόσφορος ἐν Μοισᾶν δίφρῳ. Ne. VIII 48: χαίρω δὲ πρόσφορον ἐν μὲν ἔργῳ κόμπον ἱείς. — *utilis*, c. dat. fr. 183 (177): Δολόπων ἄγαγε θρασὺν ὅμιλον σφενδονᾶσαι, ἱπποδάμων Δαναῶν βέλεσι πρόσφορον (var. πρὸς φόνον).

πρόσω v. **πόρσω**.

πρόσωπον (sg. προσώπου, -ον. pl. πρόσωπα) *facies, frons*, hominis fr. 123 (88), 2: τὰς δὲ Θεοξένου ἀκτῖνας προσώπου μαρμαριζοίσας δρακείς (var. ὄσσων, unde Herm. ἀκτῖνάς τις ὄσσων, quod rec. Boeckh.). — met. rei Ol. VI 3: ἀρχομένου δ' ἔργου πρόσωπον χρὴ θέμεν τηλαυγές: exordium carminis dici omnes fere consentiunt; Boettigerus vero in Amalth. I p. 7 de templo sermonem esse affirmat; in fastigiis enim pronai interdum aureum clypeum infixum fuisse Medusae capite (προσώπῳ) insignem. Py. VI 14: φάει δὲ πρόσωπον ἐν καθαρῷ πατρὶ τεῷ, Θρασύβουλε, κοινάν τε γενεᾷ λόγοισι θνατῶν εὔδοξον ἅρματι νίκαν Κρισαίαις ἐνὶ πτυχαῖς ἀπαγγελεῖ: „structura haec est: ὁ ὕμνων θησαυρὸς h. e. ὁ ὕμνος, πρόσωπον ἐν φάει καθαρῷ (κατὰ τὸ πρόσωπον sive potius ἔχων πρόσωπον ἐν φ. κ.) . . . ἀπαγγελεῖ" Boeckh. sec. schol.; contra Mezgerus et Leop. Schmidt. πρόσωπον Thrasybuli esse contendunt: „tua facies pura luce splendens nuntiabit." Ne. V 17: οὔ τοι ἅπασα κερδίων φαίνοισα πρόσωπον ἀλάθει' ἀτρεκής: φανερὰ γινομένη. Schol. Is. II 8: οὐδ' ἐπέρναντο γλυκεῖαι μελιφθόγγου ποτὶ Τερψιχόρας ἀργυρωθεῖσαι πρόσωπα μαλθακόφωνοι ἀοιδαί: ἤτοι πρόσωπον κεκοσμημέναι καὶ λαμπρυνθεῖσαι, ὡς τὰ ὤνια ὑπὸ τῶν πωλούντων ἐκοσμοῦντο. Schol. „man hat an eine Silberschminke zu denken" Mezger.

προταινί v. **πτανός**.

πρότερος (a praep. πρό derivantur 1) comp. sg. f. προτέρας, -ᾳ. n. πρότερον. pl. m. πρότεροι, -ων. f. προτέραις. n. προτέρων. 2) superl. sg. m. πρῶτος, -ον. f. πρώτα, -ᾳ, -αν. n. πρῶτον, -ῳ, -ον. pl. m. πρῶτοι, -οις. — brevis vocalis ante compar. producitur sexies, bis non producitur Ol. X 78. Ne. III 52; ante superl. quater producitur Ol. VI 75. Py. I 33. IX 41. Ne. I 43, sexies non producitur, semel est anceps Ol. IX 44) A) Comp. I) adi. *prior* (*antiquus, priscus*) Ol. III 11: κραίνων ἐφετμὰς Ἡρακλέος προτέρας. X 78: ἀρχαῖς δὲ προτέραις ἑπόμενοι: τῇ παλαιᾷ συνηθείᾳ. Schol. Py. III 96: ἐκ προτέρων μεταμειψάμενοι καμάτων ἔστασαν ὀρθὰν καρδίαν. VIII 48: ὁ δὲ καμὼν προτέρᾳ πάθᾳ νῦν ἀρείονος ἐνέχεται ὄρνιχος ἀγγελίᾳ: „h. e. πρότερον" Mezger. Ne. III 13: Μυρμιδόνες ἵνα πρότεροι ᾤκησαν. Ol. VII 72: ἐπὶ προτέρων ἀνθρώπων. — plur. pro subst. Ne. III 52: λεγόμενον δὲ τοῦτο προτέρων ἔπος ἔχω (var. πρότερον). Ol. I 37 (36). Py. III 80. c. artic. fr. 279 (249): τὰ δεύτερα τῶν προτέρων πεφυκέναι κρατεῖν, ὥς ἔφη Πίνδαρος (Liban. Or. I 432). — II) adv. **πρότερον** *prius, antea* Is. IV (V) 37: δὶς πόλιν Τρώων πράθον, ἑσπόμενοι Ἡρακλῆι πρότερον, καὶ σὺν Ἀτρείδαις. Py. IV 25. VI 28. Ol. XIII

31: ἀντεβόλησεν τῶν ἀνὴρ θνατὸς οὔπω τις πρότερον (var. πρότερος). — B) Superl. I) adi. *primus* 1) de loco Py. VIII 47: θαέομαι σαφὲς δράκοντα ποικίλον αἰθᾶς Ἀλκμᾶν' ἐπ' ἀσπίδος νωμῶντα πρῶτον ἐν Κάδμου πύλαις. — 2) de numero et tempore Ol. VIII 45: οὐκ ἄτερ παίδων σέθεν, ἀλλ' ἅμα πρώτοις ἄρξεται καὶ τετράτοις: Telamonem dicit, fortasse etiam Peleum. Ol. IX 44: δόμον ἔθεντο πρῶτον. Py. III 43: βάματι δ' ἐν πρώτῳ κιχὼν παῖδ' ἐκ νεκροῦ ἅρπασε. Ol. X 58: ἔστασεν ἑορτὰν σὺν Ὀλυμπιάδι πρώτᾳ. Ne. IX 42: ἐν ἁλικίᾳ πρώτᾳ. Is. V (VI) 3: ἐν Νεμέᾳ μὲν πρῶτον, ὦ Ζεῦ, τὶν ἄωτον δεξαμένοι στεφάνων, νῦν αὖτις . . ., τρίτον . . ., ubi adv. esse πρῶτον placet Dissenio. — ad verbum refertur Py. IX 119: ἀπάγεσθαι, ὃς ἂν πρῶτος θορὼν ἀμφί οἱ ψαύσειε πέπλοις. Ol. VII 42: ὡς ἂν θεᾷ πρῶτοι κτίσαιεν βωμόν. VI 75: τοῖς, οἷς ποτε πρώτοις περὶ δωδέκατον δρόμον ἐλαυνόντεσσιν αἰδοία ποτιστάξῃ Χάρις εὐκλέα μορφάν (var. πρῶτον). Ne. VI 20 (18). fr. 125 (91), 2. 139, 7. — 3) de dignitate Py. I 33: ναυσιφορήτοις δ' ἀνδράσι πρῶτα χάρις ἐς πλόον ἀρχομένοις πομπαῖον ἐλθεῖν οὖρον: primum et maximum. Py. I 99: τὸ δὲ παθεῖν εὖ πρῶτον ἀέθλων· εὖ δ' ἀκούειν δευτέρα μοῖρ'. Ne. XI 6: ἀγαζόμενοι πρώταν θεῶν (var. πρῶταν, πρῶτα, Bergk. coni. πρῴραν): Vestam. — II) adv. **πρῶτον** *primum* Ol. VI 35: γλυκείας πρῶτον ἔψαυσ' Ἀφροδίτας. Ne. II 4: καὶ ὅδ' ἀνὴρ καταβολὰν ἱερῶν ἀγώνων νικαφορίας δέδεκται πρῶτον Νεμεαίου ἐν πολυυμνήτῳ Διὸς ἄλσει (Tricl. πρῶτα). I 43: πειρᾶτο δὲ πρῶτον μάχας. Py. IV 31. 217. fr. 30 (6), 1. 172 (158), 2. 193 (205). Ol. VI 88: πρῶτον μέν — ἔπειτ'. — c. art. τοπρῶτον (τὸ πρῶτον) Py. IX 41: ἀμφανδὸν ἁδείας τυχεῖν τοπρῶτον εὐνᾶς, ubi τυχεῖν τοπρῶτον idem valere atque ἄρχεσθαι existimat Mezgerus. sequ. ἔπειτα Ne. III 49. (de Ne. IX 17 v. μέγας.)

προτέρω v. **πόρσω.**

προτρέπω v. **προστρέπω.**

προτροπάδᾱν *concitate* Py. IV 94: ἀνὰ δ' ἡμιόνοις ξεστᾷ τ' ἀπήνᾳ προτροπάδαν Πελίας ἵκετο σπεύδων: „concitato cursu sine ullo hominum respectu invectus, qui mos tyrannis" Boeckh.

προτυγχάνω *sum promptus v. in promptu* Py. IV 35: ἂν δ' εὐθὺς ἁρπάξαις ἀρούρας δεξιτερᾷ προτυχὸν ξένιον μάστευσε δοῦναι: forte obvium.

προφαίνω *ostendo, conspicuum reddo*, met. 1) illustro Is. VII 55 (VIII 61): Αἴγιναν σφετέραν τε ῥίζαν πρόφαινεν. — 2) aperio fr. 42 (171): ἀλλοτρίοισιν μὴ προφαίνειν, τίς φέρεται μόχθος ἄμμιν (var. προφέρειν).

πρόφαντος *conspicuus*, met. Ol. I 120 (117): ἐμέ τε τοσσάδε νικαφόροις ὁμιλεῖν πρόφαντον σοφίᾳ καθ' Ἕλλανας ἐόντα παντᾷ (var. προφαντὸν).

πρόφᾰσις *excusatio* et vera et falsa Py. IV 32: ἀλλὰ γὰρ νόστου πρόφασις γλυκεροῦ κώλυεν μεῖναι. fr. 245: πρόφασις βληχροῦ γίνεται νείκεος. fr. 228 (252): τιθεμένων ἀγώνων πρόφασις ἀρετὰν ἐς αἰπὺν ἔβαλε σκότον. — pro persona Py. V 28: οὐ τὰν Ἐπιμαθέος ἄγων ὀψινόου θυγατέρα Πρόφασιν Βαττιδᾶν ἀφίκετο δόμους (Christ. πρόφασιν): v. Ἐπιμαθεύς.

προφᾱ́τας *interpres deorum, vates* Ne. I 60: Διὸς ὑψίστου προφάταν ἔξοχον, ὀρθόμαντιν Τειρεσίαν. fr. 202 (216): λευκίππων Μυκηναίων προφᾶται (Bergk. coni. προφάτα h. e. Amphiarao). fr. 90 (60), 5: με δέξαι — ἀοίδιμον Πιερίδων προφάταν. met. de re Ne. IX 50: ἐγκιρνάτω τίς νιν (craterem), γλυκὺν κώμου προφάταν: nuntium, den Vorboten.

προφᾱτεύω *vatem s. prophetam ago* fr. 150 (118): μαντεύεο Μοῖσα, προφατεύσω δ' ἐγώ. v. προφάτας.

πρόφᾱτος *conspicuus* Ol. VIII 16: ὃς σὲ μὲν Νεμέᾳ πρόφατον, Ἀλκιμέδοντα δὲ πὰρ Κρόνου λόφῳ θῆκεν Ὀλυμπιονίκαν (var. πρόφαντον, Schneidew. προφανῆ): ἐπιφανῆ καὶ ἔνδοξον. Schol. Hermanni coniecturam in margine ed. Boeckh. repertam πρόσφατον probat Th. Fritzschius Ann. Nov. 1882 p. 150 ita locum restituens: ὃς σὲ πρόσφατον ἐν Νεμέᾳ κτλ.

προφέρω 1) trans. *profero, eloquor* Is. IV (V) 43: τοῖσιν Αἴγιναν προφέρει στόμα πάτραν διαπρεπέα νᾶσον

(Christ. πρόφερε). — 2) intr. *emineo, praesto* Py. II 86: ἐν πάντα δὲ νόμον εὐθύγλωσσος ἀνὴρ προφέρει.

πρόφρων (sg. m. f. πρόφρων. m. πρόφρονα. pl. f. προφρόνων. adv. πρōφρόνως. brevis vocalis antecedens semel producitur Is. V 28) *benevolus, promtus, propitius* Py. IV 191: Μόψος ἄμβασε στρατὸν πρόφρων. Is. V (VI) 28: τὸν — ἄγε σὺν Τιρυνθίοισι πρόφρονα σύμμαχον ἐς Τρωίαν. de deis Py. V 117: θεός δέ οἱ τὸ νῦν τε πρόφρων τελεῖ δύνασιν. IX 56: Λιβύα δέξεται εὐκλέα νύμφαν δώμασιν ἐν χρυσέοις πρόφρων. Ne. V 22: πρόφρων δὲ καὶ κείνοις ἄειδ' ἐν Παλίῳ Μοισᾶν ὁ κάλλιστος χορός. Is. III 61 (IV 43): προφρόνων Μοισᾶν τύχοιμεν. — adv. **προφρόνως** *libenter, amice, propense* Ne. I 33: ἐγὼ δ' Ἡρακλέος ἀντέχομαι προφρόνως ἐν κορυφαῖς ἀρετᾶν μεγάλαις. Py. X 66: φιλέων φιλέοντ', ἄγων ἄγοντα προφρόνως. II 16: τὸν ὁ χρυσοχαῖτα προφρόνως ἐφίλησ' Ἀπόλλων.

προχέω *profundo* Py. I 22: ποταμοὶ δ' ἁμέραισιν μὲν προχέοντι ῥόον καπνοῦ αἴθων'. met. de voce Py. X 56: Ἐφυραίων ὄπ' ἀμφὶ Πηνεϊὸν γλυκεῖαν προχεόντων ἐμάν (var. ἐκπροχεόντων).

προχοά *ostium* Py. IV 20: Τριτωνίδος ἐν προχοαῖς λίμνας.

πρύμνα *puppis* Py. IV 194: χρυσέαν χείρεσσι λαβὼν φιάλαν ἀρχὸς ἐν πρύμνᾳ πατέρ' Οὐρανιδᾶν — ἐκάλει: „libatio fit in puppi, quod is locus ex posterioris aetatis usu praetori vel trierarcho datus est, ubi is haud dubie etiam sacra faciebat" Boeckh. Ol. IX 73: Δαναοὺς τρέψαις ἁλίαισιν πρύμναις Τήλεφος ἔμβαλεν.

πρυμνός *extremus*, neutr. plur. pro subst. Py. V 93: ἔνθα πρυμνοῖς ἀγορᾶς ἔπι δίχα κεῖται θανών.

πρυτανεῖον *prytaneum* Ne. XI 1: παῖ Ῥέας, ἅτε πρυτανεῖα λέλογχας, Ἑστία: „ubi colebatur Vesta perpetuo igni" Dissen.

πρύτανις *gubernator, dominus* Py. II 58: πρύτανι κύριε πολλᾶν μὲν εὐστεφάνων ἀγυιᾶν καὶ στρατοῦ: Hiero. Py. VI 24: Κρονίδαν, βαρύοπαν στεροπᾶν κεραυνῶν τε πρύτανιν.

πρών *mons* Ne. IV 52: βουβόται τόθι πρῶνες ἔξοχοι κατάκεινται Δωδώναθεν ἀρχόμενοι πρὸς Ἰόνιον πόρον.

πρῴραθε(ν) *de (e) prora* Py. IV 22: ξείνιᾰ πρῴραθεν Εὔφαμος καταβὰς δέξατ' (vulgo πρῴραθεν): „Euphamus est πρωρεύς, ut Argonautarum docet catalogus, isque in mari ambulare doctus; itaque prora desiliens, navi terrae non appulsa, quod fit puppi, excipit glebam" Boeckh. Py. X 52: κώπαν σχάσον, ταχὺ δ' ἄγκυραν ἔρεισον χθονὶ πρῴραθε, χοιράδος ἄλκαρ πέτρας (Bergk., vulgo πρῴραθε): „quum e prora pendeant ancorae" Dissen.

Πρωτεσίλας *Protesilaus*, rex Phylacae urbis prope sinum Pagasaeum sitae Is. I 58: Πρωτεσίλα, τὸ τεὸν δ' ἀνδρῶν Ἀχαιῶν ἐν Φυλάκᾳ τέμενος συμβάλλομαι: „is navi egressus primus ad Troiam occubuerat, Hom. Il. II 695 sqq.; dedicatus ei fuit in urbe patria ἐπιτάφιος ἀγών ad sepulcrum celebratus; unde τέμενος hic memoratur, nam in hoc erat sepulcrum" Dissen.

πρώτιστος *omnium primus* Py. II 32: ἐμφύλιον αἷμα πρώτιστος οὐκ ἄτερ τέχνας ἐπέμιξε θνατοῖς. — neutr. pro adv. *primum* Ne. V 25: αἱ δὲ πρώτιστον μὲν ὕμνησαν Διὸς ἀρχόμεναι σεμνὰν Θέτιν Πηλέα θ'. fr. 186 (185): αὐτόν με πρώτιστα συνοικιστῆρα γαίας ἔδεξαι τεμενοῦχον.

Πρωτογένεια *Protogenia*, Opuntis Epeorum regis filia ab avia, Deucalionis et Pyrrhae filia, appellata et nupta Locro, mater alterius Opuntis Ol. IX 41: φέροις δὲ Πρωτογενείας ἄστει γλῶσσαν.

πρωτόγονος *primigenitus*, met. Ol. X 51: ταύτᾳ δ' ἐν πρωτογόνῳ τελετᾷ παρέσταν μὲν ἄρα Μοῖραι σχεδόν: ἐν ταύτῃ πρῶτον ἀγομένῃ ἑορτῇ. Schol.

πρῶτος v. **πρότερος.**

πταίω *allido*, met. fr. 205 (221): ἀρχὰ μεγάλας ἀρετᾶς, ὦνασσ' Ἀλάθεια, μὴ πταίσῃς ἐμὰν σύνθεσιν τραχεῖ ποτὶ ψεύδει.

πτανός *alatus*, met. fr. 107 (74), 3: τί — ἄστρον ὑπέρτατον ἐν ἁμέρᾳ κλεπτόμενον ἔθηκας ἀμάχανον ἰσχὺν πτανὸν ἀνδράσιν καὶ σοφίας ὁδόν (Christ. ὀπτὰν, Bergk. προταινὶ): „ad Solis cursum refer" Dissen.

πτάσσω *obstupesco* Py. IV 57: ἔπταξαν δ' ἀκίνητοι σιωπᾷ ἥρωες (var. ἔπτασαν).

πτερόεις (sg. m. πτερόεις, -εντι, -(α)) *alatus* Py. II 50: *θεός, ὃ καὶ πτερόεντ' αἰετὸν κίχε.* Ol. XIII 86: *ἵππον πτερόεντ'.* cf. Is. VI (VII) 44: *πτερόεις ἔρριψε Πάγασος δεσπόταν.* de rebus Ol. IX 11: *πτερόεντα δ' ἵει γλυκὺν Πυθῶνάδ' ὀιστόν.* met. Py. II 22: *Ἰξίονα — ἐν πτερόεντι τροχῷ παντᾷ κυλινδόμενον: τὸν τροχὸν ἀειδίνητον παρασκευασθῆναι.* Schol. Is. IV (V) 63: *καὶ πτερόεντα νέον σύμπεμψον ὕμνον*, ubi est de arte poetica, ut *ποτανός*, q. v.

πτερόν *ala* Py. IV 182: *Ζήταν Κάλαΐν τε —, ἄνδρας πτεροῖσιν νῶτα πεφρίκοντας ἄμφω πορφυρέοις.* Ol. I 90 (88): *τὸν μὲν* (Pelopem) *ἀγάλλων θεὸς ἔδωκεν δίφρον τε χρύσεον πτεροῖσίν τε ἀκάμαντας ἵππους.* — met. de coronis Ol. XIV 24: *ἐστεφάνωσε κυδίμων ἀέθλων πτεροῖσι χαίταν*: „coronae alis comparantur, partim quod capiti cui imponuntur quasi alarum speciem addunt, ut fere Mercurius fingitur, partim quod victorem veluti alatum sublimem ferunt" Boeckh. cf. Py. IX 125: *πολλὰ δὲ πρόσθεν πτερὰ δέξατο Νίκας.*

πτέρυξ *ala* Py. I 6: *εὕδει δ' ἀνὰ σκάπτῳ Διὸς αἰετὸς ὠκεῖαν πτέρυγ' ἀμφοτέρωθεν χαλάξαις.* met. Is. I 64: *εὐφώνων πτερύγεσσιν ἀερθέντ' ἀγλααῖς Πιερίδων*: „h. e. celebrantibus Musis" Dissen.; v. *ποτανός.*

Πτοιόδωρος *Ptoeodorus*, pater Thessali Ol. XIII 41: *Πτοιοδώρῳ σὺν πατρὶ μακρότεραι Τερψίᾳ θ' ἕψοντ' Ἐριτίμῳ τ' ἀοιδαί*: „verba mallem sane referri ad patrem Terpsiae et Eritimi posse, sed non audeo hoc loco a Scholiorum auctoritate discedere" Boeckh.; audacius Mezgerus patrem Terpsiae et Eritimi Ptoeodorum esse contendit.

πτολίεθρον *urbs* fr. 76 (46), 2: *Ἑλλάδος ἔρεισμα, κλειναὶ Ἀθᾶναι, δαιμόνιον πτολίεθρον*: postrema duo verba ex Aristid. Schol. III 341 addidit Bergk.

πτολίπορθος *urbes vastans* Ol. VIII 35: *ἦν ὅτι νιν πεπρωμένον ὀρνυμένων πολέμων πτολιπόρθοις ἐν μάχαις λάβρον ἀμπνεῦσαι καπνόν.*

πτυχά *vallis et recessus montium* Ne. II 21: *ἐν ἐσλοῦ Πέλοπος πτυχαῖς* (Bergk. et Hecker. coni. *πύλαις*): in Isthmo. Py. IX 15: *Πίνδου κλεενναῖς ἐν πτυχαῖς.* VI 18: *Κρισαίαις ἐνὶ πτυχαῖς* (var. *πτυχαῖσιν*). — met. Ol. I 108 (105): *ξένον — κλυταῖσι δαιδαλωσέμεν ὕμνων πτυχαῖς*: „sunt artificiosi flexus numerorum, harmoniae, saltationis, non tamen proprie et unice ob strophas antistrophasque et epodos" Boeckh.; reconditos poesios recessus dici existimat Dissen.

Πτώιον *Ptoon*, mons Boeotiae fr. 101 (70), 4: *καί ποτε τὸν τρικάρανον Πτωίου κευθμῶνα κατέσχεθε* (Bergk. sec. Meinek., vulgo *Πτώου*, cuius formae priorem syllabam correptam censet Boeckh.).

πτώσσω *trepide repto, trepido* Py. VIII 87: *κατὰ λαύρας δ' ἐχθρῶν ἀπάοροι πτώσσοντι* (sc. adversarii devicti), *συμφορᾷ δεδαιγμένοι.*

πυγμά *pugilatus* Ol. X 67: *Δόρυκλος δ' ἔφερε πυγμᾶς τέλος.* VII 16: *εὐθυμάχαν ὄφρα πελώριον ἄνδρα παρ' Ἀλφειῷ στεφανωσάμενον αἰνέσω πυγμᾶς ἄποινα.*

πυγμαχία *pugilatus* Ol. XI 12: *τεᾶς, Ἀγησίδαμε, πυγμαχίας ἕνεκεν κόσμον ἐπὶ στεφάνῳ χρυσέας ἐλαίας ἀδυμελῆ κελαδήσω.* Ne. VI 29 (25): *ἕτερον οὔ τινα οἶκον ἀπεφάνατο πυγμαχίᾳ πλεόνων ταμίαν στεφάνων μυχῷ Ἑλλάδος ἁπάσας.*

πυγμάχος *pugil* Is. VII 63 (VIII 68): *ἔσσεταί τε Μοισαῖον ἅρμα Νικοκλέος μνᾶμα πυγμάχου κελαδῆσαι.*

Πυθέας (*Πυθέας, -έᾳ, -έαν, -έα* ci.) *Pytheas*, Lamponis filius maior, Aegineta, cui pancratio victori Pindarus carmen Ne. V cecinit ante Ol. 75, 1 (sec. Mommsen. Ol. 74, 2) scriptum; Ne. V 4: *Λάμπωνος υἱὸς Πυθέας εὐρυσθενὴς νίκη Νεμείοις παγκρατίου στέφανον.* V 43: *καὶ νῦν τεὸς μάτρως ἀγάλλει κεῖνον ὁμόσπορον ἔθνος, Πυθέα* (Mingarell., Boeckh., alii, libri *Πυθέας*): v. *μεταΐσσω.* Is. IV (V) 19: *τὶν δ' ἐν Ἰσθμῷ διπλόα θάλλοισ' ἀρετά, Φυλακίδα, κεῖται, Νεμέᾳ δὲ καὶ ἀμφοῖν Πυθέᾳ τε παγκρατίου.* IV (V) 59: *αἰνέω καὶ Πυθέαν ἐν γυιοδάμαις Φυλακίδᾳ πλαγᾶν δρόμον εὐθυπορῆσαι.* V (VI) 58: *Φυλακίδᾳ γὰρ ἦλθον, ὦ Μοῖσα, ταμίας Πυθέᾳ τε κώμων Εὐθυμένει τε.*

Πυθιάς *Pythia, ludi Pythii* Py. I 32: *Πυθιάδος δ' ἐν δρόμῳ κᾶρυξ ἀνέειπέ νιν.* V 21: *εὖχος ἤδη παρὰ*

Πυθιάδος ἵπποις ἑλών. VIII 84: *τοῖς — νόστος ὁμῶς ἔπαλπνος ἐν Πυθιάδι κρίθη.*

Πυθιονίκας *victor Pythicus* Py. IX 1: *ἐθέλω χαλκάσπιδα Πυθιονίκαν σὺν βαθυζώνοισιν ἀγγέλλων Τελεσικράτη Χαρίτεσσι γεγωνεῖν.*

Πυθιόνῑκος *ad victoriam Pythiam pertinens* Py. VI 5: *Πυθιόνικος ἔνθ' ὀλβίοισιν Ἐμμενίδαις — ἑτοῖμος ὕμνων θησαυρὸς ἐν πολυχρύσῳ Ἀπολλωνίᾳ τετείχισται νάπᾳ.* VIII 5: *Πυθιόνικον τιμὰν Ἀριστομένει δέκεν.*

Πύθιος (sg. m. *Πυθίου, -ιον.* pl. m. *Πυθίων.* n. *Πυθίοις, -οισι*) *Pythius* 1) adi. Py. IV 55: *Πύθιον ναὸν καταβάντα.* Ne. VII 34: *ἐν Πυθίοισι δὲ δαπέδοις κεῖται.* Is. VI (VII) 15: *μαντεύμασι Πυθίοις* (Tricl., var. *Πυθίοισι*). Py. III 73: *ἀέθλων Πυθίων.* X 26: *τυχόντα στεφάνων Πυθίων.* Ol. XIV 11: *παρὰ Πύθιον Ἀπόλλωνα.* — 2) subst. Ne. III 70: *σεμνὸν — Πυθίου Θεάριον*: Apollinis. — neutr. pl. *Πύθια* Pythia, ludi Pythii Ne. II 9: *ἐν Πυθίοισί τε νικᾶν.*

πῡθμήν *fundus* fr. 207 (223): *Ταρτάρου πυθμὴν πιέζει σ'.*

Πυθόνικος *Pythonicus*, pater Thrasydaei Py. XI 43: *ἢ πατρὶ Πυθονίκῳ τό γέ νυν ἢ Θρασυδαίῳ, τῶν εὐφροσύνα τε καὶ δόξ' ἐπιφλέγει* (Tricl., var. *Πυθιονίκῳ* v. *Πυθιονίκου*): vulgo victorem Pythium intellegunt, Bergkius vero sec. schol. ad v. 58 proprium nomen esse arbitratur; „nam poeta si patrem quoque aliquando Pythia vicisse dicere voluisset, haud dubie *Πυθονίκᾳ* scripsisset, ut ambiguitatem evitaret."

Πῡθώ *Pytho s. Delphi*, ubi celebrabantur Pythia Py. IV 66: *τῷ μὲν Ἀπόλλων ἅ τε Πυθὼ κῦδος ἐξ ἀμφικτιόνων ἔπορεν.* X 4: *ἀλλά με Πυθώ τε καὶ τὸ Πελινναῖον ἀπύει.* fr. 90 (60), 2: *πρὸς Ὀλυμπίου Διός σε, χρυσέα κλυτόμαντι Πυθοῖ, λίσσομαι — με δέξαι.* — adv. ***Πυθοῖ (Πυθόι)*** *Pythone* Is. VI (VII) 51: *πόρε, Λοξία, τεαῖσιν ἁμίλλαις εὐανθέα καὶ Πυθόι στέφανον* (Schmid., vulgo *Πυθοῖ*). Ol. XIII 37: *ἐπ' Ἀλφεοῦ —, Πυθοῖ τε.* VII 10: *Ὀλυμπίᾳ Πυθοῖ τε νικώντεσσιν*, cf. Py. XI 49. — ***Πυθῶθεν*** (*ex*) *Pythone* Is. I 65: *καὶ Πυθῶθεν Ὀλυμπιάδων τ' ἐξαιρέτοις Ἀλφεοῦ ἔρνεσι φράξαι χεῖρα*: „*ἔρνεα Πυθῶθεν* sunt frondes Pythiae" Dissen.

Πυθών (*Πυθῶνος, -ι, -α. Πυθῶνάδε*) *Pytho s. Delphi*, ubi templum oraculumque Apollinis et celebrabantur Pythia Py. VII 11: *Ἐρεχθέος ἀστῶν, Ἄπολλον, οἳ τεόν γε δόμον Πυθῶνι δίᾳ θαητὸν ἔτευξαν.* Ol. VI 48: *πετραέσσας ἐλαύνων ἵκετ' ἐκ Πυθῶνος*, cf. v. 37. Ol. II 43 (39): *ἐν δὲ Πυθῶνι χρησθὲν παλαίφατον τέλεσσεν.* Py. XI 9: *ὄφρα Θέμιν ἱερὰν Πυθῶνά τε καὶ ὀρθοδίκαν γᾶς ὀμφαλὸν κελαδήσετ'.* VIII 63: *τὺ δ', ἑκαταβόλε, πάνδοκον ναὸν εὐκλέα διανέμων Πυθῶνος ἐν γυάλοις.* III 27: *ἐν δ' ἄρα μηλοδόκῳ Πυθῶνι τόσσαις ἄιεν ναοῦ βασιλεὺς Λοξίας.* Ne. IX 5: *ματέρι καὶ διδύμοις παίδεσσιν αὐδὰν μανύει Πυθῶνος αἰπεινᾶς ὁμοκλάροις ἐπόπταις.* Py. IV 3: *Λατοίδαισιν ὀφειλόμενον Πυθῶνί τ' — οὖρον ὕμνων.* XII 5: *δέξαι στεφάνωμα τόδ' ἐκ Πυθῶνος εὐδόξῳ Μίδᾳ.* Ol. XII 18: *νῦν δ' Ὀλυμπίᾳ στεφανωσάμενος καὶ δὶς ἐκ Πυθῶνος Ἰσθμοῖ τ'* (recc. *ἐν Πυθῶνι*). Py. IX 71: *καί νυν ἐν Πυθῶνί νιν ἀγαθέα Καρνειάδα υἱὸς εὐθαλεῖ συνέμιξε τύχᾳ.* Ne. VI 40 (35): *ἐν ἀγαθέᾳ χεῖρας ἱμάντι δεθεὶς Πυθῶνι κράτησεν.* XI 23: *ἐν Πυθῶνι πειρᾶσθαι καὶ Ὀλυμπίᾳ ἀέθλων.* X 25: *ἐκράτησε δὲ καί ποθ' Ἕλλανα στρατὸν Πυθῶνι.* Ol. II 54 (49): *Ὀλυμπίᾳ —, Πυθῶνι δ' — Ἰσθμοῖ τε.* — adv. ***Πυθῶνάδε*** *Pythonem* Ol. VI 37: *ἀλλ' ὁ μὲν Πυθῶνά δ' — ᾤχετ' ἰὼν μαντευσόμενος* (Steph., libri *Πυθῶναδ', Πυθώναδ', Πυθῶν'*). IX 12: *πτερόεντα δ' ἵει γλυκὺν Πυθῶνάδ' ὀιστόν.* — ***Πυθωνόθεν*** *ex Pythone* Py. V 105: *ἔχοντα Πυθωνόθεν τὸ καλλίνικον λυτήριον δαπανᾶν μέλος χαρίεν.*

πῠκινός, πῠκνός (sg. m. *πυκινῷ.* f. *πυκινάν.* pl. f. *πυκναῖς.* superl. m. *πυκνότατον.* n. *πυκινώτατον*) *solidus, praeclarus*, de celeritate fr. 106 (73), 2: *ἀπὸ Ταϋγέτοιο μὲν Λάκαιναν ἐπὶ θηρσὶ κύνα τρέφειν πυκινώτατον ἑρπετον*: pernicissimum. — de ingenio: *prudens* Py. IV 58: *πυκινὰν μῆτιν κλύοντες.* Is. VI (VII) 8: *ἀμφὶ πυκναῖς Τειρεσίαο βουλαῖς* (Heynius, libri *Τειρεσίαο πυκιναῖς*). Py. IV 73: *ἦλθε δέ οἱ κρυόεν πυκινῷ μάντευμα θυμῷ.* Ol. XIII 52: *οὐ ψεύσομ' ἀμφὶ*

Κορίνθῳ Σίσυφον μὲν πυκνότατον παλάμαις ὡς θεόν.

πύκτας *pugil* Ol. X 16: *πύκτας δ' ἐν Ὀλυμπιάδι νικῶν.* Ne. V 52: *πύκταν τέ νιν καὶ παγκρατίῳ φθέγξαι ἑλεῖν Ἐπιδαύρῳ διπλόαν νικῶντ' ἀρετάν* (var. *πύκτα*).

πύλα (pl. *πυλᾶν, -αις, -αισι, -ας*) *porta* urbis Py. VIII 47: *ἐν Κάδμου πύλαις.* Is. V (VI) 75: *παρ' εὐτειχέσιν Κάδμου πύλαις*: „Thebis propter Neitam portam, ubi habitabat Pindarus" Mezger. Ol. IX 86: *ἐν Κορίνθου πύλαις*: h. e. in Isthmo. — aedium Ne. I 41: *τοὶ μὲν οἰχθεισᾶν πυλᾶν ἐς θαλάμου μυχὸν εὐρὺν ἔβαν.* — met. aditus, introitus Ne. X 27: *τρὶς μὲν ἐν πόντοιο πύλαισι λαχών*: *ἐνίκησε τὰ Ἴσθμια· πόντου γὰρ πύλας εἶπε τὸν Ἰσθμὸν διὰ τὸ στενόν.* Schol. fr. 256 (155): *καὶ ὁ Πίνδαρος οὕτως ἂν ὀρθῶς λέγοι πύλας Γαδειρίδας, εἰ ἐπὶ τοῦ στόματος νοοῖντο αἱ στῆλαι· πύλαις γὰρ ἔοικε τὰ στόματα* (Strabo III p. 171). Ol. VI 27: *χρὴ τοίνυν πύλας ὕμνων ἀναπιτνάμεν αὐταῖς* (mulabus): tanquam cancellos stadii antea clausos, ut intrent mulae in poesin iisque quasi vehamur.

Πῠλάδας *Pylades*, Strophii filius, nepos Crissi Py. XI 15: *ἐν ἀφνεαῖς ἀρούραισι Πυλάδα νικῶν ξένου Λάκωνος Ὀρέστα*: *τὴν Φωκίδα χώραν ἀφνεὰν ἄρουραν Πυλάδου εἴρηκε· τῆς γὰρ Φωκίδος ἡ Πυθών, ἧς Στρόφιος ὁ πατὴρ Πυλάδου ἐβασίλευσε.* Schol.

Ὑψιπύλεια *Hypsipyle*, Thoantis filia, uxor Iasonis Ol. IV 21 (25): *χαλκέοισι δ' ἐν ἔντεσι νικῶν δρόμον ἔειπεν Ὑψιπυλείᾳ, μετὰ στέφανον ἰών*: sc. „Erginus, qui cum Argonautis in Lemno in Thoantis funebribus ludis ab eius filia Hypsipyla institutis decurrens, quamquam a mulieribus derisus erat, vicit Hypsipylaeque qualis esset probavit" Boeckh.

ὑψίφρων *alta cogitans, superbus* Py. II 51: *καὶ ὑψιφρόνων τιν' ἔκαμψε βροτῶν* (*θεός*).

ὑψιχαίτας *alte comatus* Py. IV 172: *δοιοὶ δ' ὑψιχαῖται ἀνέρες*: „vigorem et robur indicat" Boeckh.

ὑψίων, ὕψιστος (comp. et superl. adv. *ὕψι*) 1) Comp. *altior* fr. 213 (232): *πότερον δίκᾳ τεῖχος ὕψιον ἢ σκολιαῖς ἀπάταις ἀναβαίνῃ ἐπιχθονίων γένος ἀνδρῶν, δίχα μοι νόος ἀτρέκειαν εἰπεῖν.* — 2) Superl. *altissimus, summus*, met. Ne. XI 2: *Ζηνὸς ὑψίστου.* I 60: *Διὸς ὑψίστου προφάταν*: „quum Iuppiter summus oraculorum Apollineorum auctor sit" Dissen. Py. I 100: *στέφανον ὕψιστον δέδεκται.* Is. I 51: *κέρδος ὕψιστον δέκεται.*

ὑψόθεν *desuper* Py. VIII 81: *τέτρασι δ' ἔμπετες ὑψόθεν σωμάτεσσι κακὰ φρονέων*: „apte de luctatore, qui adversarium medium prehensum flectit superincumbens et deiicit" Dissen. — c. gen. *super* Ol. III 12: *ᾧ τινι — Ἑλλανοδίκας γλεφάρων Αἰτωλὸς ἀνὴρ ὑψόθεν ἀμφὶ κόμαισι βάλῃ γλαυκόχροα κόσμον ἐλαίας.*

ὑψοῦ *alte, sublime*, met. Ol. I 118 (115): *εἴη σέ τε τοῦτον ὑψοῦ χρόνον πατεῖν* (var. *ὑψοῖς*, Bergk. coni. *ὑψοῖ*): *ἐν ὕψει καὶ εὐδαιμονίᾳ διαζῆν.* Schol.; „ad regiam potentiam pertinet victoriarum gloria ornatam" Dissen. Py. X 70: *ὑψοῦ φέροντι νόμον Θεσσαλῶν αὔξοντες*: extollunt; „prosperam et illustrem reddunt" Dissen.

ὕω *pluo* Ol. VII 50: *κείνοις ὁ μὲν* (Iuppiter) *ξανθὰν ἀγαγὼν νεφέλαν πολὺν ὗσε χρυσόν*: ortam esse fabulam divitiis celeriter in insula crescentibus coni. Mezgerus, cf. Hom. Il. II 670: *καί σφιν θεσπέσιον πλοῦτον κατέχευε Κρονίων.*

Φ

φαγεῖν *comedere* Ol. I 52 (51): *τραπέζαισί τ' ἀμφὶ δεύτατα κρεῶν σέθεν διεδάσαντο καὶ φάγον.*

φαεννός (sg. m. *φαεννόν*. f. *φαεννᾶς, -άν*. n. *φαεννόν*. pl. f. *φαενναῖς*. superl. sg. n. *φαεννότατον*) *lucidus, splendidus, clarus* Ol. I 6: *φαεννὸν ἄστρον* (var. *φαενὸν, φαεινὸν*): solem. Ol. VII 67: *φαεννὸν ἐς αἰθέρα* (recc. *φαενὸν* et *φανερὸν*, Herm. coni. *φανὸν*). Ne. IV 49: *ἐν δ' Εὐξείνῳ πελάγει φαεννὰν Ἀχιλεὺς νᾶσον* (sc. *ἔχει*): *τὴν λεγομένην Λευκὴν ἀκτὴν ἐν τῷ Εὐξείνῳ πόντῳ, ἐν ᾗ πλεῖστοι ἐρωδιοὶ φαινόμενοι ἐκεῖθεν τοῖς πλέουσι μηνύουσιν αὐτήν.* Schol.; quod verum videtur Boeckhio; Dissenius tamen quum Iphigenia, quae ibi cum Achille colebatur, dea Luna fuisse videatur, inde nomen *Λευκῆς* insulae datum suspicatur. Ne. VI 59 (52): *φαεννᾶς υἱὸν — Ἀόος.* — de voce Py. IV 283: *ὀρφανίζει μὲν κακὰν γλῶσσαν φαεννᾶς ὀπός*: „vox calumniae clara est, quoniam confidens est, ut *ὕβρις θρασύμυθος* Ol. XIII 10 et *ὕβρις κελαδεννά* Is. III 26" Boeckh. — met. *illustris, conspicuus* fr. 77 (196): *ὅθι παῖδες Ἀθαναίων ἐβάλοντο φαεννὰν κρηπῖδ' ἐλευθερίας.* Is. IV

(V) 30: ἐν μὲν Αἰτωλῶν θυσίαισι φαενναῖς Οἰνεΐδαι κρατεροί. Ne. VII 51: θρασύ μοι τόδ' εἰπεῖν φαενναῖς ἀρεταῖς ὁδὸν κυρίαν λόγων οἴκοθεν. Py. V 56: πύργος ἄστεος ὄμμα τε φαεννότατον ξένοισι.

φαίδιμος *splendidus, candidus* Ne. I 68: φαιδίμαν γαίᾳ πεφύρσεσθαι κόμαν ἔνεπεν. Py. IV 28: φαιδίμαν ἀνδρὸς αἰδοίου πρόσοψιν θηκάμενος. Ol. VI 14: κατὰ γαῖ' αὐτόν τέ νιν καὶ φαιδίμας ἵππους ἔμαρψεν (var. φαιδίμους). I 27: ἐλέφαντι φαίδιμον ὦμον κεκαδμένον.

Φαίδρα v. **Δημοφῶν.**

φαιδρός *hilaris* fr. 109 (228), 3: ἐρευνασάτω μεγαλάνορος Ἁσυχίας τὸ φαιδρὸν φάος (var. ἱερὸν).

φαίνω (act. praes. φαινέμεν. φαίνων, -οισα. aor. ἔφᾶνας. pass. praes. φαίνεται. φαινομέναν. perf. πέφαντ(αι). aor. φάνη, φάνεν, ἔφανεν. φανείη. φανείς, -έντος, -έντα) I) Act. *in lucem profero, ostendo, aperio* Ne. V 6: οὔπω γένυσι φαίνων τέρειναν ματέρ' οἰνάνθας ὀπώραν. V 17: οὔ τοι ἅπασα κερδίων φαίνοισα πρόσωπον ἀλάθει' ἀτρεκής. Is. III 20 (IV 2): εὐμαχανίαν γὰρ ἔφανας Ἰσθμίοις ὑμετέρας ἀρετὰς ὕμνῳ διώκειν (plerique libri ἔφανες). Py. IV 171: ὦρνυεν κάρυκας ἐόντα πλόον φαινέμεν παντᾷ: denuntiare. — 2) Pass. 1) *in lucem prodeo, appareo, conspicior* Ol. XIII 34: δύο δ' αὐτὸν ἔρεψαν πλόκοι σελίνων ἐν Ἰσθμιάδεσσιν φανέντα: ἤγουν παρρησιασάμενον, ἀγωνισάμενον. Schol. Is. I 29: τῶν ἀθρόοις ἀνδησάμενοι θαμάκις ἔρνεσιν χαίτας ῥεέθροισί τε Δίρκας ἔφανεν καὶ παρ' Εὐρώτᾳ πέλας (Schmid., libri ἔφανε). V (VI) 53: καί νιν ὄρνιχος φανέντος κέκλεν ἐπώνυμον εὐρυβίαν Αἴαντα. Ol. I 76 (74): ὁ δ' αὐτῷ πὰρ ποδὶ σχεδὸν φάνη. X 85: τὰ (carmina) παρ' εὐκλέι Δίρκᾳ χρόνῳ μὲν φάνεν (var. φάναι, φάνα, φάνη, φάναιεν). Py. XII 29: ἄνευ καμάτου οὐ φαίνεται (ὄλβος). III 55: ἔτραπεν καὶ κεῖνον ἀγάνορι μισθῷ χρυσὸς ἐν χερσὶν φανείς: „fulgens" Boeckh. Ne. IX 21: φαινομέναν δ' ἄρ' ἐς ἄταν σπεῦδεν ὅμιλος ἱκέσθαι: apertam, manifestam. — add. partic. c. adi. Ol. IX 96: τὰ δὲ Παρρασίῳ στρατῷ θαυμαστὸς ἐὼν φάνη. Ne. IV 30: ἀπειρομάχας ἐών κε φανείη λόγων ὁ μὴ ξυνιείς. suppl. partic. Ne. VI 15: νῦν πέφαντ' οὐκ ἄμμορος ἀμφὶ πάλᾳ (Herm. olim πέφανται, quod probarunt Boeckh. et Christ. Py. V 115: πέφανται θ' ἁρματηλάτας σοφός. — 2) *videor*, c. inf. Py. X 49: θεῶν τελεσάντων οὐδέν ποτε φαίνεται ἔμμεν ἄπιστον.

Φαισάνα *Phaesana*, urbs in meridionali Arcadia sita ad superiorem Alpheum Ol. VI 34: δόμεν Εἰλατίδᾳ βρέφος, ὃς ἀνδρῶν Ἀρκάδων ἄνασσε Φαισάνᾳ λάχε τ' Ἀλφεὸν οἰκεῖν.

Φάλαρις *Phalaris*, tyrannus Agrigentinorum Py. I 96: τὸν δὲ ταύρῳ χαλκέῳ καυτῆρα νηλέα νόον ἐχθρὰ Φάλαριν κατέχει παντᾷ φάτις: v. ταῦρος.

φᾱμα 1) *vox* Ol. VI 63: ὄρσο, τέκος, δεῦρο πάγκοινον ἐς χώραν ἴμεν φάμας ὄπισθεν: loquitur Apollo, quem non cernit Iamus filius: τῇ ἐμῇ φωνῇ ἐπικατακολούθει. Schol. — 2) *fama, laus* Py. II 16: κελαδέοντι μὲν ἀμφὶ Κινύραν πολλάκις φᾶμαι Κυπρίων. Is. III 40 (IV 23): ἐκ λεχέων ἀνάγει φάμαν παλαιὰν εὐκλέων ἔργων. Ol. VII 10: ὁ δ' ὄλβιος, ὃν φᾶμαι κατέχοντ' ἀγαθαί: „laus et fama bona per carmina a poeta victori parata" Dissen.

φᾱμί (act. praes. φαμί, φαμέν, φαντί. φαίην, -ης, φαῖμεν. φάμεν. ipf. ἔφα, φᾶ, φάν. fut. φάσει. aor. φᾶσε. med. fut. φάσομαι. aor. φάτο. φάσθαι. φαμένῳ) I) Act. 1) *verbis ostendo v. aperio sententiam; dico, aio, affirmo, commemoro*, a) c. acc. Ol. I 36 (35): ἔστι δ' ἀνδρὶ φάμεν ἐοικὸς ἀμφὶ δαιμόνων καλά. XIII 103: τά τ' ἐσσόμενα τότ' ἂν φαίην σαφές. Ne. VIII 19. pro obi. est sent. relativa Ne. IV 91. — b) c. inf. v. acc. c. inf. Py. IV 102: φαμὶ διδασκαλίαν Χείρωνος οἴσειν: „ich rühme mich" Mezger. cf. Py. IX 91. fr. 243. add. negat. Ne. VII 102. — Py. II 64: ὅθεν φαμὶ καὶ σὲ τὰν ἀπείρονα δόξαν εὑρεῖν. XII 17: τὸν ἀπὸ χρυσοῦ φαμὲν αὐτορύτου ἔμμεναι. Ol. VI 49: Φοῖβον γὰρ αὐτὸν φᾶ γεγάκειν πατρός. Ol. III 38. VII 54. Py. IV 14. 278. Ne. I 66. Is. V (VI) 20. — nullo certo subiecto Is. V (VI) 72: φαίης κέ νιν ἄνδρ' ἐν ἀεθληταῖσιν ἔμμεν Ναξίαν — ἀκόναν. Ne. VII 87: φαῖμέν κε γείτον' ἔμμεναι

— *γείτονι χάρμα πάντων ἐπάξιον.* *φαντί* dicunt, tradunt, ferunt Py. I 52: *φαντὶ δὲ Λαμνόθεν ἕλκει τειρόμενον μεταλάξοντας ἐλθεῖν ἥρωας.* VII 20 (18): *φαντί γε μὰν οὕτω κεν ἀνδρὶ παρμονίμαν θάλλοισαν εὐδαιμονίαν τὰ καὶ τὰ φέρεσθαι.* Py. II 21. IV 88. 287. VI 21. Is. VII 46 (VIII 51). — c) abs. interponitur orationi rectae Py. III 75: *ἀστέρος οὐρανίου φαμὶ τηλαυγέστερον κείνῳ φάος ἐξικόμαν κε βαθὺν πόντον περάσαις.* postponitur Is. II 11: *νῦν δ' ἐφίητι τὸ τὠργείου φυλάξαι ῥῆμ' —, χρήματα χρήματ' ἀνήρ, ὃς φᾶ κτεάνων θ' ἅμα λειφθεὶς καὶ φίλων.* — 2) *iubeo*, sequ. acc. c. inf. Ne. III 28: *Αἰακῷ σε φαμὶ γένει τε Μοῖσαν φέρειν.* — II) Med. *dico, commemoro, loquor* 1) c. acc. Is. V (VI) 49: *ταῦτ' ἄρα οἱ φαμένῳ πέμψεν θεὸς — αἰετόν.* Ne. IX 43. — 2) c. inf. Py. IV 33: *φάτο δ' Εὐρύπυλος — ἔμμεναι.* — 3) c. adv. *ὥς* Py. IV 120: *ὣς φάτο.* III 43. add. part. Is. VII 45 (VIII 48): *ὣς φάτο Κρονίδαις ἐννέποισα θεά:* „ut dicitur *εἶπε λέγων, ἔφη λέγων*“ Dissen.

φᾰνερός *conspicuus* Ol. VII 56: *οὔπω — φανερὰν ἐν πελάγει Ῥόδον ἔμμεν ποντίῳ:* conspectui patuisse. — met. Ol. VI 73: *τιμῶντες δ' ἀρετὰς ἐς φανερὰν ὁδὸν ἔρχονται:* illustrem, gloriosam; v. *καθαρός.* Ol. XIII 98: *Ἰσθμοῖ τά τ' ἐν Νεμέᾳ παύρῳ γ' ἔπει θήσω φανέρ' ἀθρό':* manifesta.

φάος (sg. *φάος, -ει, -ος*) *lux, lumen* 1) siderum caelestium Ol. X 75: *ἐν δ' ἕσπερον ἔφλεξεν εὐώπιδος σελάνας ἐρατὸν φάος.* pro sidere est etiam Hesychia fr. 109 (228), 3: *ἐρευνασάτω μεγαλάνορος Ἁσυχίας τὸ φαιδρὸν φάος.* — imprimis lux solis, itaque abs. pro die, opp. nox, caligo Ne. VII 3: *ἄνευ σέθεν οὐ φάος, οὐ μέλαιναν δρακέντες εὐφρόναν.* fr. 142 (106): *θεῷ δὲ δυνατὸν ἐκ μελαίνας νυκτὸς ἀμίαντον ὄρσαι φάος.* Ol. VI 44: *ἦλθεν — ἐς φάος αὐτίκα:* natus est. fr. 203 (217), 2: *νέκρον ἵππον στυγέοισιν λόγῳ κτάμενον ἐν φάει* (Heynius, libri *ἐν φασί*): palam. — met. Is. V (VI) 62: *ἀνὰ δ' ἄγαγον ἐς φάος οἵαν μοῖραν ὕμνων:* aperuerunt, divulgaverunt. — 2) oculorum Ne. X 40: *ἀξιωθείην κεν — Ἄργεϊ μὴ κρύπτειν φάος ὀμμάτων.* de hilaritate faciei Py. VI 14: *φάει δὲ πρόσωπον ἐν καθαρῷ — ἅρματι νίκαν Κρισαίαις ἐνὶ πτυχαῖς ἀπαγγελεῖ:* v. *πρόσωπον.* — 2) met. gloria, laus, decus Ne. III 84: *Ἐπιδαυρόθεν τ' ἀπὸ καὶ Μεγάρων δέδορκεν φάος.* Ol. IV 9 (11): *δέκευ — τόνδε κῶμον, χρονιώτατον φάος εὐρυσθενέων ἀρετᾶν*, ubi Mezger. expl.: „den so spät erschienenen Aufstrahl“. Ne. IV 38: *σφόδρα δόξομεν δαΐων ὑπέρτεροι ἐν φάει καταβαίνειν.* — felicitas, iucunditas Py. IV 270: *ἐσσὶ δ' ἰατὴρ ἐπικαιρότατος, Παιάν τέ σοι τιμᾷ φάος.* Ol. X 23: *ἄπονον δ' ἔλαβον χάρμα παῦροί τινες, ἔργων πρὸ πάντων βιότῳ φάος.* V 14: *ἀπ' ἀμαχανίας ἄγων ἐς φάος τόνδε δᾶμον ἀστῶν.* de hominibus Is. II 17: *εὐάρματον ἄνδρα γεραίρων, Ἀκραγαντίνων φάος.* Py. III 75: *ἀστέρος οὐρανίου φαμὶ τηλαυγέστερον κείνῳ φάος ἐξικόμαν κε βαθὺν πόντον περάσαις.*

φᾰρέτρα *pharetra* Py. IV 91: *βέλος Ἀρτέμιδος — ἐξ ἀνικάτου φαρέτρας ὀρνύμενον.* Ol. II 92 (84): *πολλά μοι ὑπ' ἀγκῶνος ὠκέα βέλη ἔνδον ἐντὶ φαρέτρας φωνάεντα συνετοῖσιν.*

φάρμᾰκον (sg. a. *φάρμακον.* pl. *φαρμάκων, -α*) *medicamen, remedium* morborum Ne. III 55: *Ἀσκλαπιόν, τὸν φαρμάκων δίδαξε μαλακόχειρα νόμον* (sc. Chiron). Py. III 53: *τοὺς δὲ προσανέα πίνοντας, ἢ γυίοις περάπτων πάντοθεν φάρμακα.* — met. Ol. IX 97: *ψυχρᾶν ὁπότ' εὐδιανὸν φάρμακον αὐρᾶν Πελλάνα φέρε:* laenam; v. *Πέλλανα.* Ol. XIII 85: *φάρμακον πραῢ τείνων ἀμφὶ γένυι:* frenum. Py. IV 187: *ἐπὶ καὶ θανάτῳ φάρμακον κάλλιστον ἑᾶς ἀρετᾶς ἅλιξιν εὑρέσθαι σὺν ἄλλοις:* „lenimen ac praemium, victoriam et gloriam“ Dissen.

φαρμακόω *imbuo aliqua re ac misceo, ut sit pro remedio* Py. IV 221: *σὺν δ' ἐλαίῳ φαρμακώσαισ' ἀντίτομα στερεᾶν ὀδυνᾶν δῶκε χρίεσθαι: μίξασα.* Schol.

φάσγᾰνον (sg. *φασγάνου, -ῳ, -ον*) *ensis* Ne. I 52: *ἐν χερὶ δ' Ἀμφιτρύων κολεοῦ γυμνὸν τινάσσων φάσγανον.* Py. IX 21: *ἀκόντεσσίν τε χαλκέοις φασγάνῳ τε μαρναμένα κεράιζεν ἀγρίους θῆρας.* IX 81: *Εὐρυσθῆος ἐπεὶ κεφαλὰν ἔπραθε φασγάνου ἀκμᾷ.* Ne. VIII 23: *Τελαμῶνος δάψεν υἱὸν*

φασγάνῳ ἀμφικνλίσαις. Is. III 54 (IV 36): ἴστε μὰν Αἴαντος ἀλκὰν φοίνιον, τὰν ὀψίᾳ ἐν νυκτὶ ταμὼν περὶ ᾧ φασγάνῳ μομφὰν ἔχ' ἐν παίδεσσιν Ἑλλάνων.

Φᾶσις *Phasis*, amnis Colchus Py. IV 211: ἐς Φᾶσιν δ' ἔπειτεν ἤλυθον (sc. Argonautae). Is. II 41: ἀλλ' ἐπέρα ποτὶ μὲν Φᾶσιν θερείαις, ἐν δὲ χειμῶνι πλέων Νείλου πρὸς ἀκτάν: extremos poeta dicit navigationis terminos, ut Xenocratis hospitalitatem aestate et hieme eandem fuisse atque summam significet.

φάσμα *ostentum* Ol. VIII 43: ὡς ἐμοὶ φάσμα λέγει Κρονίδα πεμφθὲν βαρυγδούπου Διός.

φάτις *fama*, *sermo* Py. I 96: ἐχθρὰ Φάλαριν κατέχει παντᾷ φάτις. Ol. I 29: η θαυματὰ πολλά, καί πού τι καὶ βροτῶν φάτις ὑπὲρ τὸν ἀλαθῆ λόγον. δεδαιδαλμένοι ψεύδεσι ποικίλοις ἐξαπατῶντι μῦθοι (Mezger., vulgo λόγον δεδ. nulla distinctione, Friederichs. ex schol. φάτιν, quod rec. Christ., Mommsen. φάτις acc. plur. statuens, Th. Fritzschius φύσιν ὕπερ): sc. ἐστίν. — de personis Py. III 112: Νέστορα καὶ Σαρπηδόν', ἀνθρώπων φάτῖς, ἐξ ἐπέων κελαδεννῶν — γινώσκομεν (Bergk. φάτι κῆξ): h. e. φάτιας, das Gespräch. (de Is. VII 40 v. φρήν.)

φάτνα *praesepe* Ol. XIII 92: τὸν δ' (Pegasum) ἐν Οὐλύμπῳ φάτναι Ζηνὸς αρχαῖαι δέκονται: κατηστερίσθη γάρ· καὶ Ἄρατος μέμνηται ὅτι εἰσὶ φάτναι ἐν οὐρανῷ καὶ ὄνοι καλούμενοι ἀστέρες. Schol.

φᾰτός *qui dici potest*, c. negat. Is. VI (VII) 37: ἔτλαν δὲ πένθος οὐ φατόν: h. e. summum, gravissimum. Ol. VI 37: ἐν θυμῷ πιέσαις χόλον οὐ φατόν.

φαυσίμβροτος *fulgens mortalibus* Ol. VII 39: φαυσίμβροτος δαίμων Ὑπεριονίδας: Sol.

φέγγος (n. a. φέγγος) *lux*, *lumen* 1) solis Py. IV 111: ἐπεὶ πάμπρωτον εἶδον φέγγος: h. e. natus sum. — 2) met. splendor, decus, gloria, salus Ol. II 62 (56: ὁ μὰν πλοῦτος ἀρεταῖς δεδαιδαλμένος —, ἀστὴρ ἀρίζηλος, ἐτυμώτατον ἀνδρὶ φέγγος: „Leuchte" Mezger.; cf. Py. IX 90: Χαρίτων κελαδεννᾶν μή με λίποι καθαρὸν φέγγος. fr. 153 (125): δενδρέων δὲ νομὸν πολυγαθὴς Διόνυσος αὐξάνοι, ἁγνὸν φέγγος ὀπώρας, ubi φέγγος nominativum esse de Baccho dictum censet Dissen. Ne. IV 13: δέξαιτο δ' Αἰακιδᾶν ἠύπυργον ἕδος, δίκᾳ ξεναρκέι κοινὸν φέγγος: Aegina. Ne. III 64: τηλαυγὲς ἄραρε φέγγος Αἰακιδᾶν αὐτόθεν. IX 42: δέδορκεν παιδὶ τοῦτ' Ἀγησιδάμου φέγγος. Py. VIII 97: ὅταν αἴγλα διόσδοτος ἔλθῃ, λαμπρὸν φέγγος ἔπεστιν ἀνδρῶν καὶ μείλιχος αἰών (Heynius, libri ἔπεστι φέγγος, Bergk. coni. ἔλθῃ ἀνδρὶ, λαμπρὸν ἔπεστι φέγγος καί).

φείδομαι *parco* 1) parce utor Is. V (VI) 33: σφετέρας οὐ φείσατο χερσὶν βαρυφθόγγοιο νευρᾶς Ἡρακλέης: h. e. strenue usus est. — 2) abstineo, omitto Ne. IX 20: οὐδὲ Κρονίων ἀστεροπὰν ἐλελίξαις οἴκοθεν μαργουμένους στείχειν ἐπώτρυν', ἀλλὰ φείσασθαι κελεύθου.

φελλός *suber* Py. II 80: ἅτε γὰρ εἰνάλιον πόνον ἐχοίσας βαθὺ σκευᾶς ἑτέρας, ἀβάπτιστός εἰμι φελλὸς ὣς ὑπὲρ ἕρκος ἅλμας: ἐγὼ γὰρ ὡς φελλὸς ἁλιευτικοῦ δικτύου, αὐτοῦ ὄντος ἐν βάθει, ἐπιπλέω καὶ οὐ βαπτίζομαι. Schol.

(φένω) (aor. ἔπεφνε(ν), πέφνε(ν), πέφνον. paenultimae vocalis ter non producitur, semel anceps est Ol. X 27) *occido*, *neco* Ol. X 27: πέφνε Κτέατον ἀμύμονα, πέφνε δ' Εὔρυτον. XIII 90: Ἀμαζονίδων — γυναικεῖον στρατὸν καὶ Χίμαιραν πῦρ πνέοισαν καὶ Σολύμους ἔπεφνεν. Py. X 46. XI 37. Is. V (VI) 31. fr. 135 (100). semel plur. Is. IV (V) 39: λέγε, τίνες Κύκνον, τίνες Ἕκτορα πέφνον. transfertur ad Furiam Ol. II 46 (41): ὀξεῖ' Ἐριννὺς ἔπεφνέ οἱ σὺν ἀλλαλοφονίᾳ γένος ἀρήιον (var. πέφνεν οἱ v. πέφνε οἱ).

φέρβω *nutrio*, *alo* Ol. II 81 (73): ὕδωρ δ' ἄλλα φέρβει (sc. ἄνθεμα). — Med. met. Py. V 110: κρέσσονα μὲν ἁλικίας νόον φέρβεται γλῶσσάν τε: h. e. habet.

Φερένῑκος *Pherenicus*, nobilis Hieronis equus Ol. I 19: εἴ τί τοι Πίσας τε καὶ Φερενίκου χάρις νόον ὑπὸ γλυκυτάταις ἔθηκε φροντίσιν, ὅτε παρ' Ἀλφεῷ σύτο δέμας ἀκέντητον ἐν δρόμοισι παρέχων, κράτει δὲ προσέμιξε δεσπόταν. Py. III 74: στεφάνοις, τοὺς ἀριστεύων Φερένικος

ἕλεν Κίρρᾳ ποτέ: „surely the Pherenikos of Py. III was grandsire to the Pherenikos of Ol. I" Fennell.

φερέπολις fr. 39 (14): ᾖσε δὲ καὶ ὕστερον Πίνδαρος ἄλλα τε ἐς τὴν Τύχην, καὶ δὴ καὶ φερέπολιν ἀνεκάλεσεν αὐτήν (Paus. IV 30, 6).

φερέπονος *aerumnam afferens* Py. II 31: αἱ δύο δ' ἀμπλακίαι φερέπονοι τελέθοντι.

Φέρης *Pheres*, Aesonis frater Py. IV 125: ἐγγὺς μὲν Φέρης κράναν Ὑπερῇδα λιπών, ἐκ δὲ Μεσσάνας Ἀμυθάν (sc. ἤλυθον).

Φερσεφόνα (Φερσεφόνα, -ας, -ᾳ, *Persephone*, domina inferorum Ol. XII 21: μελαντειχέα νῦν δόμον Φερσεφόνας ἔλθ', Ἀχοῖ (var. Περσεφόνας). Is. VII 55 (VIII 59): οἷς δῶμα Φερσεφόνας μανύων Ἀχιλεύς (Boeckh., vulgo Περσεφόνας). a mortuis poenam sumit luctus olim excitati fr. 133 (98): οἷσι δὲ Φερσεφόνα ποινὰν παλαιοῦ πένθεος δέξεται, ἐς τὸν ὕπερθεν ἅλιον κείνων ἐνάτῳ ἔτεϊ ἀνδιδοῖ ψυχὰς πάλιν. — sacrum ei erat Agrigentum a Iove εἰς τὰ ἀνακαλυπτήρια donatum Py. XII 2: αἰτέω σε, φιλάγλαε, καλλίστα βροτεᾶν πολίων, Φερσεφόνας ἕδος. etiam universa Sicilia Ne. I 14: σπεῖρέ νυν ἀγλαΐαν τινὰ νάσῳ, τὰν Ὀλύμπου δεσπότας Ζεὺς ἔδωκεν Φερσεφόνᾳ (var. Περσ.): δοκεῖ δὲ αὐτὴν ὁ Ζεὺς εἰς τὸν γάμον Πλούτωνος τοῖς ἀνακαλυπτηρίοις τῇ Φερσεφόνῃ δωρήσασθαι. Schol.

φέρτερος, φέρτατος, φέρτιστος (comp. sg. m. φερτέρου, -ον. — superl. sg. m. φέρτατος, -ον. n. φέρτατον. φέρτιστον. pl. m. φερτάτων) *praestantior, praestantissimus* 1) Comp. Ol. I 7: μηδ' Ὀλυμπίας ἀγῶνα φέρτερον αὐδάσομεν. Py. I 35: ἐοικότα γὰρ καὶ τελευτᾷ φερτέρου νόστου τυχεῖν. Is. VII 33 (VIII 35): φέρτερόν κε γόνον ἄνακτα πατρὸς τεκεῖν ποντίαν θεόν. — 2) Superl. Ne. III 57: γόνον τέ οἱ φέρτατον ἀτίταλλεν. Is. VI (VII) 5: δεξαμένα τὸν φέρτατον θεῶν: Iovem; cf. Ol. IX 56: κορᾶν καὶ φερτάτων Κρονιδᾶν. Is. V (VI) 39: φέρτατος — Τελαμών. Ne. X 13: ὁ δ' ὄλβῳ φέρτατος ἵκετ' ἐς κεῖνον γενεάν: Amphitruo. Py. V 48: λόγων φερτάτων μναμήι'. Ol. VII 26: ὅ τι νῦν ἐν καὶ τελευτᾷ φέρτατον ἀνδρὶ τυχεῖν (var. φέρτερον). fr. 126 (92): πολύ τοι φέρτιστον ἀνδρὶ τερπνὸς αἰών (Boeckh., libri φέριστον).

φέρω (act. praes. φέρεις, -ει, -ομεν, -οντι, -οισιν. φέροις, -οι. φέρε, -έτω. φέρειν. [οἴσειν.] φέρων, -οισα. ipf. ἔφερε, φέρε(ν), -ον. fut. οἴσει. aor. ἔνεικε(ν), ἔνεικ', ἤνεγκ'. ἐνεῖκαι. ἐνεγκών. pass. praes. φέρεται, -ονται. med. praes. φέρεσθαι) *fero* 1) onus vel pondus sustineo virium quadam contentione: *trage* 1) porto Py. IV 26: ἐξ Ὠκεανοῦ φέρομεν νώτων ὑπὲρ γαίας ἐρήμων εἰνάλιον δόρυ, ubi paraphr. interpretatur ἐφέρομεν. Py. III 15: φέροισα σπέρμα θεοῦ καθαρόν. Ne. X 17: ἀθανάτων βασιλεὺς αὐλὰν ἐσῆλθεν σπέρμ' ἀδείμαντον φέρων Ἡρακλέος. de viis Ol. VII 52: ἔργα δὲ ζωοῖσιν ἑρπόντεσσί θ' ὁμοῖα κέλευθοι φέρον. — met. pro „habere" Ne. III 30: οὐδ' ἀλλοτρίων ἔρωτες ἀνδρὶ φέρειν κρέσσονες. Py. VI 29: ἔγεντο καὶ πρότερον Ἀντίλοχος βιατὰς νόημα τοῦτο φέρων. Is. VII 61 (VIII 67): τὸ καὶ νῦν φέρει λόγον. — in ore habeo Py. I 87: εἴ τι καὶ φλαῦρον παραιθύσσει, μέγα τοι φέρεται πὰρ σέθεν: fertur, habetur. — 2) gigno, procreo Ne. XI 41: δένδρεά τ' οὐκ ἐθέλει πάσαις ἐτέων περόδοις ἄνθος εὐῶδες φέρειν πλούτῳ ἴσον, ἀλλ' ἐν ἀμείβοντι. — 3) tolero Py. II 93: φέρειν δ' ἐλαφρῶς ἐπαυχένιον λαβόντα ζυγὸν ἀρήγει. fr. 42 (171): ἀλλοτρίοισιν μὴ προφαίνειν, τίς φέρεται μόχθος ἄμμιν. Py. III 82: τὰ μὲν (πήματα) ὦν οὐ δύνανται νήπιοι κόσμῳ φέρειν. V 13: σοφοὶ δέ τοι κάλλιον φέροντι καὶ τὰν θεόσδοτον δύναμιν. — 2) movendi notione addita: ducendo v. vehendo moveo loco, *führe, bringe* a) schaffe wohin, deduco, defero Py. I 24: πέτρας φοίνισσα κυλινδομένα φλὸξ ἐς βαθεῖαν φέρει πόντου πλάκα. Is. VII 21 (VIII) 23): σὲ δ' ἐς νᾶσον Οἰνοπίαν ἐνεγκὼν κοιμᾶτο (Bergk. φέρων ἐκοιμᾶτο). Py. IX 53: μέλλεις ὑπὲρ πόντου Διὸς ἔξοχον ποτὶ κᾶπον ἐνεῖκαι (Cyrenam). IX 6: ἔνεικέ τε χρυσέῳ παρθένον ἀγροτέραν δίφρῳ, τόθι κτλ. (Bergk. c. var. ἔνεγκε): eo vexit, ubi. c. dat. Py. III 45: καί ῥά νιν Μάγνητι φέρων πόρε Κενταύρῳ διδάξαι. Ol. IX 59. Py. IV 216. IX 61. Ne. V 54: προθύροισιν δ' Αἰακοῦ ἀνθέων ποιάεντα φέρειν στεφανώματα. Ol. XIII 66: πρίν γέ οἱ —

χαλινὸν Παλλὰς ἤνεγκ'. XIV 21: ἐλθ', Ἀχοῖ, πατρὶ κλυτὰν φέροισ' ἀγγελίαν. — met. Ne. I 24: ὕδωρ καπνῷ φέρειν ἀντίον: v. καπνός. Is. VI (VII) 28: λοιγὸν ἄντα φέρων ἐναντίῳ στρατῷ (Thiersch., libri ἀμύνων, Bergk. ἀντιφέρων). Py. X 70: ὑψοῦ φέροντι νόμον Θεσσαλῶν: v. ὑψοῦ. Ol. IX 41: φέροις δὲ Πρωτογενείας ἄστει γλῶσσαν: convertas ad; cf. Ne. III 28: Αἰακῷ σε φαμὶ γένει τε Μοῖσαν φέρειν. Is. I 44: χρή νιν εὑρόντεσσιν ἀγάνορα κόμπον μὴ φθονεραῖσι φέρειν γνώμαις: tribuere. Ol. V 22: σέ τ' — φέρειν γῆρας εὔθυμον ἐς τελευτάν: deducat. fr. 223 (244): καὶ φέρονταί πως ὑπὸ δούλειον τύχαν αἰχμάλωτοι: mittuntur; sermo est de avaris. — Pass. de celeri motu fr. 292 (226): ἡ δὲ διάνοια — πανταχῇ φέρεται (var. πέτεται) κατὰ Πίνδαρον (Plato Theaet. 173 D). fr. 10: ἐλπίσιν ἀθανάταις ἁρμῷ φέρονται. — b) adduco, affero, bringe (führe) herbei, mit Ol. II 87 (79): Ἀχιλλέα τ' ἔνεικ' — μάτηρ: adduxit. III 14: κόσμον ἐλαίας, τάν ποτε Ἴστρου ἀπὸ σκιαρᾶν παγᾶν ἔνεικεν Ἀμφιτρυωνιάδας (var. ἔνεγκεν, quod praetulit Mommsen.). Ne. VIII 15: φέρων Λυδίαν μίτραν καναχηδὰ πεποικιλμέναν. cf. Is. IV (V) 62. Py. II 3: ὔμμιν τόδε τᾶν λιπαρᾶν ἀπὸ Θηβᾶν φέρων μέλος ἔρχομαι. Py. IV 102: φαμὶ διδασκαλίαν Χείρωνος οἴσειν, ubi οἴσειν est pro inf. praes., v. Buttm. Gr. Gr. p. 407 annot.; κομίζειν. Schol. Ne. VI 20 (18) ci. de mari fr. 220 (241), 3: ὅσσ' ἀγλαὰ χθὼν πόντου τε ῥιπαὶ φέροισιν (Boeckh., libri φέρουσιν): apportant. — met. affero, paro, moveo Ol. II 59 (53): ὁ μὰν πλοῦτος — φέρει τῶν τε καὶ τῶν καιρόν. Py. I 36: ὁ δὲ λόγος — δόξαν φέρει: exspectationem movet. Ne. IX 34: αἰδὼς γὰρ ὑπὸ κρύφα κέρδει κλέπτεται, ἃ φέρει δόξαν: affert gloriam. Is. I 63: τὸ σεσωπαμένον εὐθυμίαν μείζω φέρει. fr. 107 (74), 10: πολέμου δ' εἰ σᾶμα φέρεις τινὸς ἢ στάσιν οὐλομέναν ἢ κτλ. c. dat. Py. IV 278: ἄγγελον ἐσλὸν ἔφα τιμὰν μεγίσταν πράγματι παντὶ φέρειν. Ol. X 17: νικῶν Ἴλα φερέτω χάριν: referto. Py. X 48: ἦλυθε νασιώταις λίθινον θάνατον φέρων. — Med. Py. VII 22 (20): φαντί γε — εὐδαιμονίαν τὰ καὶ τὰ φέρεσθαι: haec atque illa bona secum afferre. — c) aufero Py. VIII 14: κέρδος δὲ φίλτατον, ἑκόντος εἴ τις ἐκ δόμων φέροι (var. φέρει). — imprimis: praemium fero e certaminibus Ol. IX 98: εὐδιανὸν φάρμακον αὐρᾶν Πελλάνᾳ φέρε. X 67: Δόρυκλος δ' ἔφερε πυγμᾶς τέλος (var. δὲ φέρε). Is. VI (VII) 21: φέρει γὰρ Ἰσθμοῖ νίκαν παγκρατίου: habet consecutus; cf. Ne. III 18: πλαγᾶν ἄκος ὑγιηρὸν ἐν βαθυπεδίῳ Νεμέᾳ τὸ καλλίνικον φέρει (Bergk. sec. paraphr. φέρειν, ut sit τὸ φέρειν καλλ.). VIII 64: τίς τρόπος ἄνδρα προβάσει ἐξ ἱερῶν ἀέθλων μέλλοντα ποθεινοτάταν δόξαν φέρειν. — ad alia transfertur Ne. VII 39: Μολοσσίᾳ δ' ἐμβασίλευεν ὀλίγον χρόνον· ἀτὰρ γένος αἰεὶ φέρεν τοῦτό οἱ γένος (var. φέρει). Py. VIII 38: αὔξων δὲ πάτραν Μειδυλιδᾶν λόγον φέρεις: „dir gilt das Wort" Mezger. Is. I 40: ὁ πονήσαις δὲ νόῳ καὶ προμάθειαν φέρει.

φεύγω (praes. φεύγομεν, -οντι. φεύγειν. φεύγων. ipf. φεῦγε. aor. φύγε, -ον. φύγοι. φυγών, -όντες. pf. πεφευγότες) 1) *fugio*, fugam capio ad periculum imminens evitandum a) abs. Ne. IX 27: ἐν γὰρ δαιμονίοισι φόβοις φεύγοντι καὶ παῖδες θεῶν. — b) c. acc. Py. V 58: κεῖνόν γε καὶ βαρύκομποι λέοντες περὶ δείματι φύγον (Mosch. et Schmid. ex schol.; vett. libri φεῦγον). Ne. IX 13: φεῦγε γὰρ Ἀμφιάρηον ποτὲ θρασυμήδεα καὶ δεινὰν στάσιν πατρῴων οἴκων ἀπό τ' Ἄργεος. — 2) *effugio, evado, devito* fr. 143 (107), 3: πορθμὸν πεφευγότες Ἀχέροντος. Ne. X 83: θάνατόν τε φυγὼν καὶ γῆρας. Py. IX 92: σιγαλὸν ἀμαχανίαν ἔργῳ φυγών. Ol. VI 90: ἀρχαῖον ὄνειδος ἀλαθέσιν λόγοις εἰ φεύγομεν, Βοιωτίαν ὗν. VI 6: τίνα κεν φύγοι ὕμνον κεῖνος ἀνήρ (var. φύγῃ): ἀντὶ τοῦ τίνι ἂν ὕμνῳ ἀνοίκειος γένοιτο. Schol. Py. II 53: ἐμὲ δὲ χρεὼν φεύγειν δάκος ἀδινὸν κακαγοριᾶν: ἐμὲ δὲ φεύγειν δεῖ τὰς κακηγορίας, τουτέστι τὸ κατηγορεῖν τινων. Schol. Py. X 43: πόνων δὲ καὶ μαχᾶν ἄτερ οἰκέοισι φυγόντες ὑπέρδικον Νέμεσιν. — 3) *abripio me, citatus feror* Py. IX 121: ἐπεὶ φύγε λαιψηρὸν δρόμον: „celerrime emensus erat et ante ceteros absolverat" Boeckh. Ne. I 36: ἐς αἴγλαν παῖς Διὸς ὠδῖνα φεύγων — μόλεν.

Φήρ *Pher, Centaurus* Py. IV 119: *Φὴρ δέ με θεῖος Ἰάσονα κικλήσκων προσηύδα*: Chiron. Py. III 6: *ἤθελον Χείρωνά κε Φιλυρίδαν — ζώειν τὸν ἀποιχόμενον Οὐρανίδα γόνον εὐρυμέδοντα Κρόνου, βάσσαισί τ' ἄρχειν Παλίου Φῆρ' ἀγρότερον νόον ἔχοντ' ἀνδρῶν φίλον.* plur. fr. 166 (147): *ἐπεὶ Φῆρες δάεν ῥιπὰν μελιαδέος οἴνου.*

φθέγγομαι (praes. *φθεγγόμενος.* fut. *φθέγξομαι.* aor. *ἐφθεγξάμαν*, *(ἐ)φθέγξατ'. φθέγξαιο. φθέγξαι*) *sonum edo, loquor, dico, cano,* abs. Py. I 81: *καιρὸν εἰ φθέγξαιο.* c. acc. Py. VIII 56: *τοιαῦτα μὲν ἐφθέγξατ' Ἀμφιάρηος.* Ol. VI 14: *αἶνος —, ὃν ἐν δίκᾳ ἀπὸ γλώσσας Ἄδραστος — ἐς Ἀμφιάρηον φθέγξατ'.* fr. 238 Boeckh.: *χορὸς εὐρυόπα κέλαδον ἀκροσόφων ἀγνύμενον διὰ στομάτων φθεγγόμενος.* fr. 177 (166). c. acc. et inf. Ne. V 52: *πύκταν τέ νιν καὶ παγκρατίῳ φθέγξαι ἑλεῖν Ἐπιδαύρῳ διπλόαν νικῶντ' ἀρεταν.* Ol. I 37 (36).

φθέγμα *vox, dictum, cantus* Py. IV 198: *ἐκ νεφέων δέ οἱ ἀντάυσε βροντᾶς αἴσιον φθέγμα.* fr. 188 (190): *φθέγμα μὲν πάγκοινον ἔγνωκας Πολυμνάστου.* Py. VIII 31: *εἰμὶ δ' ἄσχολος ἀναθέμεν πᾶσαν μακραγορίαν λύρᾳ τε καὶ φθέγματι μαλθακῷ.*

φθείρω *perdo* Py. III 36: *γειτόνων πολλοὶ ἐπαῦρον, ἁμᾶ δ' ἔφθαρεν* (var. *ἔφθαρε*): *λοιμὸς γὰρ ἐγένετο, αἴτιοι δὲ τοῦ λοιμοῦ Ἀπόλλων καὶ Ἄρτεμις.* Schol.

Φθία *Phthia*, urbs Thessalica Ne. IV 51: *Θέτις δὲ κρατεῖ Φθίᾳ.* Py. III 101: *παῖς, ὅνπερ μόνον ἀθανάτα τίκτεν ἐν Φθίᾳ Θέτις.*

φθινόκαρπος *fructus amittens, sterilis* Py. IV 265: *καὶ φθινόκαρπος ἐοῖσα διδοῖ ψᾶφον περ' αὐτᾶς* (sc. *δρῦς*).

φθινοπωρίς *fructibus exitialis* Py. V 102: *μὴ φθινοπωρὶς ἀνέμων χειμερία καταπνοὰ δαμαλίζοι πότμον* (Bergk. *κατὰ πνοὰ δνοπαλίζοι*).

φθίνω, φθίω (act. praes. *φθίνει.* med. aor. *φθιμένου, -ον, -ων*) *pereo* Py. I 94: *οὐ φθίνει Κροίσου φιλόφρων ἀρετά* (Schmid. *φθινεῖ*). — Med. aor. **φθίμενος** *defunctus* Is. VII 60 (VIII 66): *ἐσλόν γε φῶτα καὶ φθίμενον ὕμνοις θεᾶν διδόμεν.* III 28 (IV 10): *μαρτύρια φθιμένων ζωῶν τε φωτῶν.* Ne. X 59: *εἵλετ' αἰῶνα φθιμένου Πολυδεύκης Κάστορος ἐν πολέμῳ.* sine subst. Py. IV 112: *κᾶδος ὡσείτε φθιμένου δνοφερὸν ἐν δώμασι θηκάμενοι.*

φθίσις *interitus* fr. 107 (74), 11: *καρποῦ φθίσιν.*

φθονερός (pl. m. *φθονεροί, -ῶν, -οῖσιν.* f. *φθονεραί, -αῖς, -αῖσι.* n. *φθονερά*) *invidus* Ol. I 48 (47): *ἔννεπε κρυφᾷ τις αὐτίκα φθονερῶν γειτόνων.* Py. X 20: *τῶν δ' ἐν Ἑλλάδι τερπνῶν λαχόντες οὐκ ὀλίγαν δόσιν μὴ φθονεραῖς ἐκ θεῶν μετατροπίαις ἐπικύρσαιεν.* Is. II 43: *φθονεραὶ θνατῶν φρένας ἀμφικρέμανται ἐλπίδες.* I 44: *χρή νιν εὑρόντεσσιν ἀγάνορα κόμπον μὴ φθονεραῖσι φέρειν γνώμαις: μὴ φθονερῶς φέρειν, ἀλλ' ἐπαινεῖν.* Schol. — sine subst. Py. II 90: *οὐδὲ ταῦτα νόον ἰαίνει φθονερῶν.* XI 54: *φθονεροὶ δ' ἀμύνονται ἄτᾳ* (Herm. *ἆται*, Bergk. *ἄγᾳ*). Ne. VIII 21: *ὄψον δὲ λόγοι φθονεροῖσιν.* — neutr. pl. pro adv. Ne. IV 39: *φθονερὰ δ' ἄλλος ἀνὴρ βλέπων γνώμαν κενεὰν σκότῳ κυλίνδει χαμαὶ πετοῖσαν.*

φθονέω *invideo*, abs. Ol. VI 74: *μῶμος ἐξ ἄλλων κρέμαται φθονεόντων τοῖς.* c. dat. Py. III 71: *οὐ φθονέων ἀγαθοῖς, ξείνοις δὲ θαυμαστὸς πατήρ.* c. inf. Is. IV (V) 25: *μὴ φθόνει κόμπον τὸν ἐοικότ' ἀοιδᾷ κιρνάμεν ἀντὶ πόνων.*

φθόνος (sg. *φθόνος, -ον*) *invidia* Py. I 85: *ἀλλ' ὅμως, κρέσσων γὰρ οἰκτιρμοῦ φθόνος, μὴ παρίει καλά.* VII 19 (17): *τὸ δ' ἄχνυμαι, φθόνον ἀμειβόμενον τὰ καλὰ ἔργα.* XI 29: *ἴσχει τε γὰρ ὄλβος οὐ μείονα φθόνον.* fr. 212 (231): *φθόνον κενεοφρόνων ἑταῖρον ἀνδρῶν, ὥς φησι Πίνδαρος* (Plut. de cap. ex host. util. c. 10). Ol. VIII 55: *μὴ βαλέτω με λίθῳ τραχεῖ φθόνος*, ubi *φθόνος* est pro invidis. c. gen. Is. VI (VII) 39: *ὁ δ' ἀθανάτων μὴ θρασσέτω φθόνος.*

φιάλα (sg. *φιάλαν.* pl. *φιάλαις, -αισι*) *phiala*, data in convivio Ol. VII 1: *φιάλαν ὡς εἴ τις ἀφνειᾶς ἀπὸ χειρὸς ἑλὼν ἔνδον ἀμπέλου καχλάζοισαν δρόσῳ δωρήσεται νεανίᾳ γαμβρῷ προπίνων οἴκοθεν οἴκαδε, πάγχρυσον, κορυφὰν κτεάνων.* adhibita in libationibus Py. IV 193: *χρυσέαν χείρεσσι λαβὼν φιάλαν ἀρχὸς ἐν πρύμνᾳ πατέρ' Οὐρανιδᾶν — ἐκάλει.* Is. V (VI) 40: *ἄνδωκε δ' αὐτῷ φέρ-*

τατος οἰνοδόκον φιάλαν χρυσῷ πεφρικυῖαν Τελαμών. praemium certaminis Ne. IX 51: *ἀργυρέαισι δὲ νωμάτω φιάλαισι βιατὰν ἀμπέλου παῖδ᾽, ἅς ποθ᾽ ἵπποι κτησάμεναι Χρομίῳ πέμψαν θεμιπλέκτοις ἅμα Λατοΐδα στεφάνοις ἐκ τᾶς ἱερᾶς Σικυῶνος: ἐν γὰρ τοῖς κατὰ Σικυῶνα Πυθίοις ἀργυραῖ φιάλαι ἔπαθλα.* Schol. cf. Ne. X 43: *Σικυωνόθε δ᾽ ἀργυρωθέντες σὺν οἰνηραῖς φιάλαις ἀπέβαν.* Is. I 20: *καὶ τριπόδεσσιν ἐκόσμησαν δόμον καὶ λεβήτεσσιν φιάλαισί τε χρυσοῦ, γενόμενοι στεφάνων νικαφόρων.*

φῐλάγλᾰος *splendoris elegantiaeque amicus* Py. XII 1: *αἰτέω σε, φιλάγλαε, καλλίστα βροτεᾶν πολίων:* „urbs Agrigentum quasi heroina invocatur, commixtis, ut solet, heroinae urbisque attributis; pulcherrima autem dicitur, quum iam tum splendide instructa esset vel ante Theronis regnum, sub hoc enim inde ab Ol. 75, 1 ex Punica praeda ornata est“ Boeckh. et Dissen.

φιλᾱ́νωρ 1) *amans hominum* fr. 236 (260): *φιλάνορα δ᾽ οὐκ ἔλιπον βιοτάν.* — 2) **Φιλάνωρ** *Philanor*, pater Ergotelis Ol. XII 13: *υἱὲ Φιλάνορος.*

φιλάρματος *amans curruum* et curulium certaminum Is. VII 20 (VIII 22): *τᾶν μὲν παρὰ καλλιρόῳ Δίρκᾳ φιλαρμάτου πόλιος ᾤκισσεν ἁγεμόνα:* Thebarum.

φῐλέω (act. praes. *φιλεῖς, -εῖ, -έοισιν. φιλεῖν, -έειν. φιλέων, -έοντ᾽.* aor. *ἐφίλησεν, (ἐ)φίλησ᾽. φιλήσαντ᾽.* pf. *πεφίληκε.* pass. pf. *πεφιλημένον*) *amo, diligo, magni facio* 1) aliquem, de cognatis et amicis Ol. II 28: *φιλεῖ δέ νιν* (Semelen) *Παλλὰς αἰεί, καὶ Ζεὺς πατήρ, μάλα φιλεῖ δὲ παῖς ὁ κισσοφόρος.* Py. II 83: *φίλον εἴη φιλεῖν.* X 66: *φιλέων φιλέοντ᾽, ἄγων ἄγοντα προφρόνως.* V 26: *φιλεῖν δὲ Κάρρωτον ἔξοχ᾽ ἑταίρων* (Bergk. *φίλει*, antiquam scripturam esse ratus). abs. Ne. VII 88: *φαῖμέν κε γείτον᾽ ἔμμεναι νόῳ φιλήσαντ᾽ ἀτενέι γείτονι χάρμα πάντων ἐπάξιον* (Tricl. *φιλήσαντά γ᾽*, Boeckh. *φιλάσαντ᾽*). — de deis hominem cura atque honore prosequentibus Py. II 16: *Κινύραν —, τὸν ὁ χρυσοχαῖτα προφρόνως ἐφίλησ᾽ Ἀπόλλων* (Mosch. *ἐφίλασ᾽*): „ut musicae studiosum“ Dissen. abs. Ol. VI 102: *θεὸς τῶνδε κείνων τε κλυτὰν αἶσαν παρέχοι φιλέων:* benignus. — 2) aliquid Py. IX 18: *ἁ μὲν οὔθ᾽ ἱστῶν παλιμβάμους ἐφίλησεν ὁδοὺς οὔτε δείνων τέρψιας οὔθ᾽ ἑταρᾶν οἰκουρίαν.* fr. 154 (126): *ἐλαφρὰν κυπάρισσον φιλέειν* (Ahrens. *φιλεῖν*): „contentum esse“ Boeckh. de deis Py. I 39: *Λάλοι᾽ ἀνάσσων Φοῖβε Παρνασοῦ τε κράναν Κασταλίαν φιλέων.* Ne. V 44: *μείς τ᾽ ἐπιχώριος, ὃν φίλησ᾽ Ἀπόλλων* (Boeckh. *φίλασ᾽*). Py. I 13: *ὅσσα δὲ μὴ πεφίληκε Ζεύς, ἀτύζονται βοὰν Πιερίδων ἀίοντα,* ubi perf. aucta vi est pro praes. — Pass. Ne. IV 45: *μέλος πεφιλημένον Οἰνώνᾳ τε καὶ Κύπρῳ:* dilectum. — ad res transfertur Ne. III 7: *ἀεθλονικία δὲ μάλιστ᾽ ἀοιδὰν φιλεῖ.* IX 48: *ἁσυχία δὲ φιλεῖ μὲν συμπόσιον* (Tricl. *ἡσυχίαν*). — 3) c. infin. Ne. I 12: *μεγάλων δ᾽ ἀέθλων Μοῖσα μεμνᾶσθαι φιλεῖ.* Py. III 18: *ἰαχὰν ὑμεναίων, ἅλικες οἷα παρθένοι φιλέοισιν ἑταῖραι ἑσπερίαις ὑποκουρίζεσθ᾽ ἀοιδαῖς* (var. *φιλέουσιν*). I 90: *εἴπερ τι φιλεῖς ἀκοὰν ἁδεῖαν αἰεὶ κλύειν.*

φιλησίμολπος *amans cantus* Ol. XIV 13: *ὦ πότνι᾽ Ἀγλαΐα φιλησίμολπέ τ᾽ Εὐφροσύνα.*

φίλιος *amicus*, ad amicum pertinens Py. IV 29: *φιλίων δ᾽ ἐπέων ἄρχετο.* itaque *gratus* Py. I 60: *ἄγ᾽ ἔπειτ᾽ Αἴτνας βασιλεῖ φίλιον ἐξεύρωμεν ὕμνον: προσφιλέστατον.* Schol. Py. IV 196: *φιλίαν νόστοιο μοῖραν* (*ἐκάλει*). Ol. I 77 (75): *φίλια δῶρα Κυπρίας.*

φίλιππος *amans equorum*, studiosus rei equestris Ne. IX 32: *ἐντί τοι φίλιπποί τ᾽ αὐτόθι καὶ κτεάνων ψυχὰς ἔχοντες κρέσσονας ἄνδρες: ὡς νῦν ὁ Χρόμιος ἵπποις νενικηκώς. εἰς τοῦτον γὰρ ἡ ἀπότασις.* Schol.

φιλοκερδής *amans v. cupidus lucri* Is. II 6: *ἁ Μοῖσα γὰρ οὐ φιλοκερδής πω τότ᾽ ἦν οὐδ᾽ ἐργάτις.*

Φιλοκτήτας *Philoctetes*, Pocantis filius Py. I 50: *νῦν γε μὰν τὰν Φιλοκτήταο δίκαν ἐφέπων ἐστρατεύθη:* cuius res narrantur v. 52—55.

φιλόμᾰχος *amans pugnae, bellicosus* fr. 164 (142): *φιλόμαχον γένος ἐκ Περσέος.*

φιλόμολπος *amans cantus* Ne. VII 9: *πόλιν γὰρ φιλόμολπον οἰκεῖ δορικτύπων Αἰακιδᾶν: τὶν εὔυμνον*

Αἴγιναν. διὰ τοὺς γράφοντας τοῖς νικῶσιν ἐπινίκους. Schol.

φιλόνεικος *amans contentionum, contentiosus* Ol. VI 19: *οὔτε δύσηρις ἐὼν οὔτ' ὦν φιλόνεικος ἄγαν, καὶ μέγαν ὅρκον ὀμόσσαις τοῦτό γέ οἱ σαφέως μαρτυρήσω* (Bergk. *φιλόνικος*): „significatur rem esse extra contentionem et dubitationem positam, ut optime Hermannus monet" Boeckh.

φιλόξεινος, φιλόξενος *amans hospitum, hospitalis* Ne. I 20: *ἔσταν δ' ἐπ' αὐλείαις θύραις ἀνδρὸς φιλοξείνου καλὰ μελπόμενος*: Chromii. Ol. III 1: *Τυνδαρίδαις τε φιλοξείνοις ἁδεῖν καλλιπλοκάμῳ θ' Ἑλένᾳ — εὔχομαι* (var. *φιλοξένοις*): *ἑορτὴν ἐξεῦρον (οἱ Διόσκουροι, ἣν διὰ τὸ πρὸς πάντας τοὺς θεοὺς γίνεσθαι Θεοξενία ἐκάλουν, οἱονεὶ ξενίαν καὶ τράπεξαν τῶν θεῶν.* Schol. Is. II 24: *ὅντε* (Nicomachum) *καὶ κάρυκες ὡρᾶν ἀνέγνον, σπονδοφόροι Κρονίδα Ζηνὸς Ἀλεῖοι, παθόντες πού τι φιλόξενον ἔργον: ὑπεδέξατο γὰρ αὐτοὺς καὶ φιλοξένως ἐξένισεν.* Schol.

φιλόπολις *amans civitatis* Ol. IV 14 (18): *πρὸς Ἁσυχίαν φιλόπολιν καθαρᾷ γνώμᾳ τετραμμένον: ἀντὶ τοῦ φιλοῦντα τὴν ἑαυτοῦ πόλιν καὶ οὐ στάσει χαίροντα.* Schol.

φίλος (sg. m. *φίλος, -ου, -ῳ, -ον, -(ε)*. f. *φίλας, -αν, -α*. n. *φίλῳ, -ον*. pl. m. *φίλοι, -ων, -οισι, -οις, -οι*. f. *φίλας*. n. *φίλων, -α*. — comp. sg. n. *φίλτερον*. superl. sg. m. *φίλτατον*. n. *φίλτατον*) I) adi. 1) pass. *amatus, dilectus, carus, gratus, iucundus* a) de personis Ne. X 55: *παρὰ πατρὶ φίλῳ*. Py. IX 61: *φίλας ὑπὸ ματέρος*. cf. V 114. Py. VIII 98: *Αἴγινα φίλα μᾶτερ*. Ol. VII 41: *παισὶν φίλοις*. Py. IX 98: *φίλτατον — πόσιν ἢ υἱόν*. fr. 171 (157): *φίλα τέκν'*. Ol. XIII 58: *γένει φίλῳ σὺν Ἀτρέος*. Py. XII 18: *φίλον ἄνδρα*. cf. Py. IV 1. Ne. VII 62. Is. V (VI) 18. plur. Py. V 123. IX 64. Ne. VIII 42. Ol. IX 4: *φίλοις — σὺν ἑταίροις*. — de membris corporis Py. IV 239: *φίλας ὤρεγον χεῖρας*. III 61: *μή, φίλα ψυχά, βίον ἀθάνατον σπεῦδε*: se ipse alloquitur poeta; cf. Ol. I 4: *φίλον ἦτορ*. — b) de regionibus et rebus Is. VI (VII) 27: *πρὸ φίλας πάτρας*. Ne. VIII 13: *πόλιός θ' ὑπὲρ φίλας*. cf. Ol. IX 21. Ol. I 39 (38): *φίλαν τε Σίπυλον*. — Ol. I 16: *φίλαν — τράπεξαν*. Py. II 17: *φίλων — ἀντὶ ἔργων*. Ol. I 87 (85): *τὺ δὲ πρᾶξιν φίλαν δίδοι*: optatam. Py. VIII 13: *κέρδος δὲ φίλτατον*. Ol. X 12: *φίλαν — ἐς χάριν*: iucundam. — c) c. dat. Is. I 5: *τί φίλτερον κεδνῶν τοκέων ἀγαθοῖς*. fr. 81 (49), 2: *τὸ δὲ μὴ Δὶ φίλτερον σιγῷμι πάμπαν*. fr. 155 (127): *τί δ' ἔρδων φίλος σοί τε, καρτερόβροντα Κρονίδα, φίλος δὲ Μοίσαις Εὐθυμίᾳ τε μέλων εἴην*. fr. 224 (246) ci. — 2) act. *amicus, benignus*, c. gen. Py. III 5: *Φῆρ' ἀγρότερον νόον ἔχοντ' ἀνδρῶν φίλον*. Ne. V 8: *ματρόπολίν τε, φίλαν ξένων ἄρουραν*: hospitalem; v. *φιλόξεινος*. — II) subst. *amicus, sodalis* Is. II 11: *κτεάνων θ' ἅμα λειφθεὶς καὶ φίλων*. cf. Ne. X 78. Ol. VII 5: *φίλων παρεόντων*. Ne. IV 22: *φίλοισι γὰρ φίλοις ἐλθών*. I 32: *ἐόντων εὖ τε παθεῖν καὶ ἀκοῦσαι φίλοις ἐξαρκέων*. Ol. II 103 (93): *φίλοις ἄνδρα μᾶλλον εὐεργέταν*. Py. II 83: *φίλον εἴη φιλεῖν· ποτὶ δ' ἐχθρὸν ἅτ' ἐχθρὸς ἐὼν λύκοιο δίκαν ὑποθεύσομαι*. I 51: *σὺν δ' ἀνάγκᾳ νιν φίλον καί τις ἐὼν μεγαλάνωρ ἔσανεν* (Bergk. *μὴ φίλον*). fr. 229 (253): *νικώμενοι γὰρ ἄνδρες ἀγρυξίᾳ δέδενται οὐ φίλων ἐναντίον ἐλθεῖν*. fr. 160: *θανόντων δὲ καὶ φίλοι προδόται*. c. gen. Py. IX 93: *εἰ φίλος ἀστῶν εἴ τις ἀντάεις*. in compellatione Ne. III 76: *χαῖρε, φίλος*: nom. pro voc. Py. I 92: *μὴ δολωθῇς, ὦ φίλ', εὐτραπέλοις κέρδεσσ'* (Bergk., libri *ὦ φίλε κέρδεσιν εὐτραπέλοις*, Herm. *ὦ φίλος, εὐτραπ. κέρδεσσ'*, quod rec. Christ.). Py. XI 38: *ὦ φίλοι*.

φιλότας *amor* Ol. X 87: *μάλα δέ οἱ θερμαίνει φιλότατι νόον*. Py. IV 92: *ὄφρα τις τᾶν ἐν δυνατῷ φιλοτάτων ἐπιψαύειν ἔραται*. IX 39: *κρυπταὶ κλαῖδες ἐντὶ σοφοῖς Πειθοῦς ἱερᾶν φιλοτάτων*. Ne. VIII 1: *Ὥρα πότνια, κᾶρυξ Ἀφροδίτας ἀμβροσιᾶν φιλοτάτων*.

φιλοτιμία *honor* fr. 210 (229): *ἄγαν φιλοτιμίαν μνώμενοι ἐν πόλεσιν ἄνδρες ἢ στάσιν* (Plut. de cohib. ira c. 8).

φιλοφροσύνα *comitas, benevolentia* Ol. VI 98: *σὺν δὲ φιλοφροσύναις εὐηράτοις Ἁγησία δέξαιτο κῶμον*.

φιλόφρων *benevolus, benignus* Py. I 94: *οὐ φθίνει Κροίσου φιλόφρων ἀρετά*. VIII 1: *φιλόφρον Ἁσυχία*.

φίλτρον *delinimentum* Py. III 64:

εἰ δὲ σώφρων ἄντρον ἔναι᾽ ἔτι Χείρων, καί τί οἱ φίλτρον ἐν θυμῷ μελιγάρυες ὕμνοι ἁμέτεροι τίθεν: sc. „ut captus cantu audiret preces meas" Dissen. — met. Ol. XIII 68: ἄγε φίλτρον τόδ᾽ ἵππειον δέκεν: h. e. χαλινόν, v. 65.

Φῐλῠ́ρα *Philyra*, mater Chironis Py. IV 103: ἄντροθε γὰρ νέομαι πὰρ Χαρικλοῦς καὶ Φιλύρας, ἵνα Κενταύρου με κοῦραι θρέψαν ἁγναί. Ne. III 43: Ἀχιλεὺς τὰ μὲν μένων Φιλύρας ἐν δόμοις. Py. VI 22: τά ποτ᾽ ἐν οὔρεσι φαντὶ μεγαλοσθενῆ Φιλύρας υἱὸν ὀρφανιζομένῳ Πηλεΐδᾳ παραινεῖν.

Φῑλῠρίδας *Philyrides* h. e. Philyrae filius Chiron Py. III 1: Χείρωνα — Φιλυρίδαν (var. Φιλλυρίδαν). IX 30: σεμνὸν ἄντρον, Φιλυρίδα, προλιπών (var. Φιλλ.).

Φίντις (Δωρικῶς pro Φίλτις) *Phintis*, auriga Agesiae Ol. VI 22: ὦ Φίντις, ἀλλὰ ζεῦξον ἤδη μοι σθένος ἡμιόνων: „Siculum aurigae nomen pro Φίλτις, ut Φιντίας Φιντύλος; comitabatur hic rhedam, quam tamen in Olympico certamine Agesias ipse vexerat"; quodsi alius pro Agesia rhedae in certamine rector fuisset, vacaret locus de periculo vs. 9—11" Boeckh. et Dissen.

φλαῦρος *levis*, met. Py. I 87: εἴ τι καὶ φλαῦρον παραιθύσσει, μέγα τοι φέρεται πὰρ σέθεν.

φλάω *contundo* Ne. X 68: ἀλλ᾽ οὔ νιν φλάσαν οὐδ᾽ ἀνέχασσαν.

Φλέγρα *Phlegra*, in Isthmo Thracico peninsulae Pallenae Ne. I 67: ὅταν θεοὶ ἐν πεδίῳ Φλέγρας Γιγάντεσσιν μάχαν ἀντιάζωσιν. plur. Is. V (VI) 33: τὸν βουβόταν οὔρεϊ ἴσον Φλέγραισιν εὑρὼν Ἀλκυονῆ σφετέρας οὐ φείσατο χερσὶν βαρυφθόγγοιο νευρᾶς Ἡρακλέης.

Φλεγύας *Phlegyas*, rex Lapitharum, Ixionis et Coronidis pater Py. III 8: εὐίππου Φλεγύα θυγάτηρ (Coronis).

φλέγω (act. praes. φλέγει, -οντι. ipf. φλέγεν. pass. pr. φλέγεται) 1) trans. *illustro*, met. Py. V 45: Ἀλεξιβιάδα, σὲ δ᾽ ἠύκομοι φλέγοντι Χάριτες. Pass. Ne. X 2: φλέγεται δ᾽ ἀρεταῖς μυρίαις (sc. Argos): splendet. Is. VI (VII) 23: φλέγεται δὲ ἰοπλόκοισι Μοίσαις (sc. Strepsiades): celebratur. — 2) intr. *splendeo, fulgeo* Ol. II 79 (73): ἄνθεμα δὲ χρυσοῦ φλέγει. met. Ne. VI 43 (38): παρὰ Κασταλίᾳ τε Χαρίτων ἑσπέριος ὁμάδῳ φλέγεν (var. φλέγειν, φλέγε): v. ὅμαδος. — fr. 26: καὶ τὸ πέδα στόμα φλέγει ἀντὶ τοῦ μετὰ στόμα (Eust. Pr. 21).

Φλῑοῦς *Phlius*, urbs Argolica Ne. VI 50 (44): βοτάνα τέ νίν ποθ᾽ ἁ λέοντος νικῶντ᾽ ἤρεφε δασκίοις Φλιοῦντος ὑπ᾽ ὠγυγίοις ὄρεσιν (Bergk. ὠγυγίοι᾽). v. βοτάνα.

φλόξ (sg. φλόξ, φλογός, -ί, φλόγ᾽) *flamma* sacrificiorum Ol. VII 48: καὶ τοὶ γὰρ αἰθούσσας ἔχοντες σπέρμ᾽ ἀνέβαν φλογὸς οὔ. Is. III 83 (IV 65): τοῖσιν ἐν δυθμαῖσιν αὐγᾶν φλὸξ ἀνατελλομένα συνεχὲς παννυχίζει αἰθέρα κνισάεντι λακτίζοισα καπνῷ. montis ignivomi Py. I 24: ἀλλ᾽ ἐν ὄρφναισιν πέτρας φοίνισσα κυλινδομένα φλὸξ ἐς βαθεῖαν φέρει πόντου πλάκα σὺν πατάγῳ. boum Py. IV 225: βόας, οἳ φλόγ᾽ ἀπὸ ξανθᾶν γενύων πνέον καιομένοιο πυρός. — met. fr. 123 (88), 5: ὃς μὴ πόθῳ κυμαίνεται, ἐξ ἀδάμαντος ἢ σιδάρου κεχάλκευται μέλαιναν καρδίαν ψυχρᾷ φλογί.

φόβα *iuba, crinis* Py. X 47: ἔπεφνέν τε Γοργόνα καὶ ποικίλον κάρα δρακόντων φόβαισιν ἤλυθε νασιώταις λίθινον θάνατον φέρων. met. fr. 75 (45), 18: ἐραταὶ ἴων φόβαι: „folia larga" Dissen.

φόβος *metus, terror* Py. IX 32: φόβῳ δ᾽ οὐ κεχείμανται φρένες. Ne. III 39: οὐδέ νίν ποτε φόβος ἀνδροδάμας ἔπαυσεν ἀκμὰν φρενῶν. Py. V 61: ἔδωκ᾽ Ἀπόλλων θῆρας αἰνῷ φόβῳ (var. θηρσὶν αἰνὸν φόβον). Ne. IX 27: ἐν γὰρ δαιμονίοισι φόβοις φεύγοντι καὶ παῖδες θεῶν.

Φοῖβος (Φοῖβος, -ου, -ῳ, -ον, -ε) *Phoebus Apollo* Py. I 39: Λύκιε καὶ Δάλοι᾽ ἀνάσσων Φοῖβε Παρνασοῦ τε κράναν Κασταλίαν φιλέων: invocatur hic utpote Pythiae victoriae dator. Py. IV 54: τὸν μὲν πολυχρύσῳ ποτ᾽ ἐν δώματι Φοῖβος ἀμνάσει θέμισσιν Πύθιον ναὸν καταβάντα κτλ. V 104: τὸν ἐν ἀοιδᾷ νέων πρέπει χρυσάορα Φοῖβον ἀπύειν, ἔχοντα Πυθωνόθεν τὸ καλλίνικον λυτήριον δαπανᾶν μέλος χαρίεν. Ne. IX 9: ἱππίων ἀέθλων κορυφάν, ἅ τε Φοίβῳ θῆκεν Ἄδραστος ἐπ᾽ Ἀσωποῦ ῥεέθροις: „dicit Sicyoniorum ludos in Apollinis hono-

rem institutos, quorum in locum postea Pythia substituit Clisthenes" Boeckh. Is. I 7: *τὸν ἀκειρεκόμαν Φοῖβον χορεύων ἐν Κέῳ ἀμφιρύτᾳ σὺν ποντίοις ἀνδράσιν*: hymnum dici ob victoriam in Delo reportatam a poeta faciendum docuit Hartung.; Dissenius vero templo Apollinis Carthaeae in urbe Deliaca sito hymnum destinatum fuisse existimat. Py. III 14: *πρόσθεν ἀκειρεκόμᾳ μιχθεῖσα Φοίβῳ* (Coronis). Ol. VI 49: *Φοίβου γὰρ αὐτὸν φᾶ γεγάκειν πατρός*: sc. Euadnae filium Iamum. Py. IX 40: *κρυπταὶ κλαΐδες ἐντὶ σοφᾶς Πειθοῦς ἱερᾶν φιλοτάτων, Φοῖβε.* Ol. IX 33: *ἤρειδεν δέ νιν* (Herculem) *ἀργυρέῳ τόξῳ πελεμίζων Φοῖβος.*

φοινῑκάνθεμος *purpura floridus, purpureis floribus laetus* Py. IV 64: *φοινικανθέμου ἦρος ἀκμᾷ.*

φοινίκεος *puniceus* Is. III 36 (IV 18): *νῦν δ' αὖ μετὰ χειμέριον ποικίλων μηνῶν ζόφον χθὼν ἅτε φοινικέοισιν ἄνθησεν ῥόδοις.*

φοινικόκροκος *trama punicei coloris intextus* Ol. VI 39: *φοινικόκροκον ζώναν καταθηκαμένα.*

φοινικόπεζα *rubicundis pedibus insignis* Ol. VI 94: *φοινικόπεζαν ἀμφέπει Δάματρα*: Boeckhio aliisque iudicibus ob segetis maturae colorem, ut ap. Verg. Ge. I 297 seges matura est rubicunda Ceres; aut ob pedes ab artificibus minio pictos, ut ait Winkelmann. Hist. art. III. p. 23.

φοινικόροδος *purpurea rosa variegatus* fr. 129 (95), 2: *φοινικορόδοις δ' ἐνὶ λειμώνεσσι.*

φοινικοστερόπας *rutila fulgurans* Ol. IX 6: *Δία τε φοινικοστερόπαν*: „aut ex communibus notionibus aut quod fulmen Iovis etiam apud Opuntios Locros insignem venerationem habuit, ut apud Epizephyrios; posterius mihi magis probatur, quum praesertim statim vs. 45 redeat idem epitheton *αἰολοβρόντα Διός*" Boeckh. v. *πυρπάλαμος.*

Φοινικόστολος *a Phoenicibus paratus v. missus* Ne. IX 28: *πεῖραν μὲν ἀγάνορα Φοινικοστόλων ἐγχέων ταύταν θανάτου πέρι καὶ ζωᾶς ἀναβάλλομαι* (var. *φοινικοστόλον*): h. e. belli a Carthaginiensibus illati; Mezgerus vero *φοινικοστόλων* scribendum statuit: „rubro colore h. e. sanguine imbutorum", *ταύταν* explicans „talem".

φοῖνιξ 1) *palma* fr. 75 (45), 14: *ἐν Ἀργείᾳ Νεμέᾳ μάντιν οὐ λανθάνει φοίνικος ἔρνος, ὁπότ' οἰχθέντος Ὡρᾶν θαλάμου εὔοδμον ἐπαΐωσιν ἔαρ φυτὰ νεκτάρεα* (var. *φοινικοσάων*, *φοίνικος ἑανῶν*, unde Bergk. sec. Kochium *φοινικοεάνων*): „a Nemea palma non aliena est; nam in Nemeaeis ludis, ut in plurimis, victori in dexteram dabatur" Boeckh. — 2) **Φοῖνιξ** *Poenus* Py. I 72: *ἅμερον ὄφρα κατ' οἶκον ὁ Φοῖνιξ ὁ Τυρσανῶν τ' ἀλαλατὸς ἔχῃ ναυσίστονον ὕβριν ἰδὼν τὰν πρὸ Κύμας*: „clade Cumana, quae paulo ante hoc carmen acciderat, soli Tyrrheni percussi erant; poeta autem etiam Poenos Siciliae hostes spectata Etruscorum strage ab invadendis Graecis deterreri vult" Boeckh.

φοίνιος *cruentus* Is. III 53 (IV 35): *ἴστε μὰν Αἴαντος ἀλκὰν φοίνιον*: sc. caesorum hostium sanguine.

φοίνισσα 1) *rubicunda, rutila* Py. I 24: *φοίνισσα κυλινδομένα φλόξ.* IV 205: *φοίνισσα δὲ Θρηικίων ἀγέλα ταύρων ὑπᾶρχεν.* — 2) **Φοίνισσα** *Phoenicia* Py. II 67: *τόδε μὲν κατὰ Φοίνισσαν ἐμπολὰν μέλος ὑπὲρ πολιᾶς ἁλὸς πέμπεται*: „ad instar mercis, quae Phoenicia audit, quia Phoenices mercaturae auctores" Dissen.

φονά *occisio, caedes* Py. XI 37: *πέφνεν τε ματέρα θῆκέ τ' Αἴγισθον ἐν φοναῖς*: „stravit cruenta occisione" Dissen.; „er streckte in sein Blut hin" Mezger. Boeckhius, quum grammatici *φονὰς* de loco caedis explicent, intellegit locum, ubi Agamemno occisus erat.

φονεύω *occido* Py. XI 17: *τὸν δὴ φονευομένου πατρὸς Ἀρσινόα — ἄνελε.*

φόνιος *cruentus*, met. fr. 132 (97), 2: *ψυχαὶ δ' ἀσεβέων ὑπουράνιοι γαίᾳ ποτῶνται ἐν ἄλγεσιν φονίοις.*

φόνος (sg. *φόνου*, *-ῳ*, *-ον*) 1) *nex, caedes* Ne. III 46: *μάχᾳ λεόντεσσιν ἀγροτέροις ἔπρασσεν φόνον.* fr. 234 (258), 3: *κάπρῳ δὲ βουλεύοντα φόνον κύνα χρὴ τλάθυμον ἐξευρεῖν.* Ne. VIII 27: *Αἴας στερηθεὶς ὅπλων φόνῳ πάλαισεν.* IX 37: *παῦροι δὲ βουλεῦσαι φόνον παρποδίου νεφέλαν τρέψαι ποτὶ δυσμενέων ἀνδρῶν στίχας χερσὶ καὶ ψυχᾷ δυνατοί.* c. gen. Is. IV (V) 50: *πόλις Αἴαντος ὀρθωθεῖσα ναύταις ἐν πολυφθόρῳ Σαλαμὶς Διὸς ὄμβρῳ*

ἀναρίθμων ἀνδρῶν χαλαζάεντι φόνῳ (Bergk. coni. δνόφῳ). — met. de persona Py. IV 250: κλέψεν τε Μήδειαν σὺν αὐτᾷ, τὰν Πελίαο φόνον (var. πελιαοφόνον, πελιαφόνον): „quum post reditum Argonautarum filiabus Peliae persuaderet, ut patrem occiderent, dicens se occiso iuventutem restituturam, quod non fecit“ Dissen.; femininum defendit Boeckh. in Nott. critt. — 2) *sanguis* Is. VII 50 (VIII 55): ὃ καὶ Μύσιον ἀμπελόεν αἴμαξε Τηλέφου μέλανι ῥαίνων φόνῳ πεδίον.

φορβάς *compascuus* fr. 122 (87), 15: φορβάδων κορᾶν ἀγέλαν ἑκατόγγυιον: „dicuntur meretrices, quod gregatim vivebant“ Dissen.

φορέω *huc illuc fero*, met. fr. 123 (88), 7: γυναικείῳ θράσει ψυχὰν φορεῖται πᾶσαν ὁδὸν θεραπεύων (Bergk. γυναικείαν): h. e. vagatur mobilis, inconstans est, flatterhaft.

φορητός *vagus* fr. 88 (58), 1: ἦν γὰρ τοπάροιθε φορητὰ κυμάτεσσιν παντοδαπῶν τ' ἀνέμων ῥιπαῖσιν (sc. Delus).

Φόρκος *Phorcus*, Gorgonum pater Py. XII 12: τό τε θεσπέσιον Φόρκοι' ἀμαύρωσεν γένος (Herm. et Boeckh. Φόρκοιο μαύρωσεν): sc. Perseus.

φόρμιγξ (sg. φόρμιγγος, -ι, -(α), -ιγξ. pl. φόρμιγγες, -εσσι(ν)) *cithara* (plerumque octo chordarum, quamquam etiam heptachordo antiquo Terpandri Pindari aetate utebantur, cf. Py. II 70. Ne. V 24; v. Boeckh. de Metr. Pind. p. 206) Py. I 1: χρυσέα φόρμιγξ, Ἀπόλλωνος καὶ ἰοπλοκάμων σύνδικον Μοισᾶν κτέανον. Ne. V 24: ἐν δὲ μέσαις (Μοίσαις) φόρμιγγ' Ἀπόλλων ἑπτάγλωσσον χρυσέῳ πλάκτρῳ διώκων ἁγεῖτο παντοίων νόμων. Py. II 71: τὸ Καστόρειον δ' ἐν Αἰολίδεσσι χορδαῖς θέλων ἄθρησον χάριν ἑπτακτύπου φόρμιγγος ἀντόμενος. Ol. I 18: ἀλλὰ Δωρίαν ἀπὸ φόρμιγγα πασσάλου λάμβαν': quod tensio Dorium modum habebat, cf. Boeckh. de Metr. Pind. p. 256; sec. Schneidewinum, quod hymnus inter Dores cantatus est. Ol. IX 13: ἀνδρὸς ἀμφὶ παλαίσμασιν φόρμιγγ' ἐλελίζων. Py. I 97: οὐδέ νιν φόρμιγγες ὑπωρόφιαι κοινωνίαν μαλθακὰν παίδων ὀάροισι δέκονται. IV 296: ἔν τε σοφοῖς δαιδαλέαν φόρμιγγα βαστάζων πολίταις ἡσυχίᾳ θιγέμεν. fr. 129 (95), 5: τοὶ δὲ φορμίγγεσσι τέρπονται. Is. II 2: ἐς δίφρον Μοισᾶν ἔβαινον κλυτᾷ φόρμιγγι συναντόμενοι. Ne. IV 5: εὐλογία φόρμιγγι συνάορος. IV 44: ἐξύφαινε, γλυκεῖα, καὶ τόδ' αὐτίκα, φόρμιγξ, Λυδίᾳ σὺν ἁρμονίᾳ μέλος. Is. IV (V) 27: κλέονται δ' ἔν τε φορμίγγεσσιν ἐν αὐλῶν τε παμφώνοις ὁμοκλαῖς (var. φορμίγγεσιν). Ol. III 8: φόρμιγγά τε ποικιλόγαρυν καὶ βοὰν αὐλῶν ἐπέων τε θέσιν Αἰνησιδάμου παιδὶ συμμῖξαι. VII 12: ἄλλοτε δ' ἄλλον ἐποπτεύει Χάρις ζωθάλμιος ἁδυμελεῖ ἅμα μὲν φόρμιγγι παμφώνοισί τ' ἐν ἔντεσιν αὐλῶν. Ne. IX 8: ἀλλ' ἀνὰ μὲν βρομίαν φόρμιγγ', ἀνὰ δ' αὐλὸν ἐπ' αὐτὰν ὄρσομεν ἱππίων ἀέθλων κορυφάν.

φορμικτάς *citharista*, *citharae peritus* Py. IV 176: ἐξ Ἀπόλλωνος δὲ φορμικτὰς ἀοιδᾶν πατὴρ ἔμολεν, εὐαίνητος Ὀρφεύς (var. φορμιγκτὰς).

φραδά *consilium*, *cognitio* Ol. XII 9: τῶν δὲ μελλόντων τετύφλωνται φραδαί. v. τυφλόω.

φραδάζω (φραδιάω) *notum facio*, *indico* Ne. III 26: ἐρεύνασε (Hercules) τεναγέων ῥοὰς — καὶ γᾶν φράδασσε (Mosch., vett. φράδασε): ἐποίησε δήλην, ἕως τίνος ἐστὶ πορευτὴ καὶ ἕως τίνος ἡ θάλασσα πλωτή, ἐπιστήσας τὰς στήλας αὐτός. Schol.

φράζω (act. praes. φράζων. ipf. φράζε. aor. ἔφρασε. φράσσατε. φράσαι. φράσαις. med. praes. φράζεται. aor. ἐφράσθη. brevis vocalis antecedens semel non producitur Ol. XIII 11) 1) Act. *indico*, *dico*, *eloquor*, c. acc. Py. IV 117: δόμους πατέρων, κεδνοὶ πολῖται, φράσσατέ μοι σαφέως. Ol. VIII 74: ἀλλ' ἐμὲ χρὴ μναμοσύναν ἀνεγείροντα φράσαι χειρῶν ἄωτον Βλεψιάδαις ἐπίνικον. Is. III 56 (IV 38): αὐτοῦ (Aiacis) πᾶσαν ὀρθώσαις ἀρετὰν κατὰ ῥάβδον ἔφρασεν θεσπεσίων ἐπέων λοιποῖς ἀθύρειν. Ol. II 66 (60): κατὰ γᾶς δικάζει τις ἐχθρᾷ λόγον φράσαις ἀνάγκᾳ (var. φράσας, φράσαισ'). suppl. acc. Ol. XIII 11: ἔχω καλά τε φράσαι. Is. V (VI) 68: μάλα τιμᾷ τοῦτ' ἔπος υἱοῖσί τε φράζων παραινεῖ. — sent. pendente Ol. II 110 (100): καὶ κεῖνος ὅσα χάρματ' ἄλλοις ἔθηκε, τίς ἂν φράσαι δύναιτο; Ne. I 61: ὁ δὲ οἱ φράζε καὶ παντὶ στρατῷ, ποίαις ὁμιλήσει τύχαις, ὅσσους μὲν ἐν χέρσῳ κτανών, ὅσσους δὲ πόντῳ θῆρας. — 2) Med. *mecum considero*, *cogito*, *intellego* Ne. V 34: ὁ δ' ἐφρά-

σθη (Schol., libri εὖ φράσθη): sc. Iuppiter. c. part. Is. I 68: ψυχὰν Ἀίδᾳ τελέων οὐ φράζεται δόξας ἄνευθεν.

φράσσω *implico, impleo* Is. I 66: ἔτι καὶ Πυθῶθεν Ὀλυμπιάδων τ' ἐξαιρέτοις Ἀλφεοῦ ἔρνεσι φράξαι χεῖρα: „si quis plures coronas reportavit, unam capite gerit, reliquis manus implicat“ Dissen.; idem tamen in Add. statuit verba pertinere ad coronae dedicationem, in qua victor coronam manu tenuerit, nam inter cantus amicorum κωμαζόντων in pompa victorem potius caput corona redimitum incessisse, non eam manu gestasse.

Φράστωρ *Phrastor* Olympionices Ol. X 71: ἄκοντι Φράστωρ ἔλασε σκοπόν.

